ΣΥΝΤΑΓΜΑ

ΤΩΝ ΘΕΙΩΝ

ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ

ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ

ΑΠΟΣΤΟΛΩΝ,

ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ

ΣΥΝΟΔΩΝ,

ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ

ΠΑΤΕΡΩΝ,

ΕΚΔΟΘΕΝ,

Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,

ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,

Καὶ διαφόρων ἀναγνωσμάτων,

ΥΠΟ

Γ. Α. ΡΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,

Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΤΟΜΟΣ ΕΚΤΟΣ,

Περιέχων τὸ κατὰ στοιχεῖον Σύνταγμα τοῦ Βλαστάρεως, καὶ γενικὸν ἀναλυτικὸν πίνακα.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΥΓΗΣ.

(Ὁδὸς Ἁγ. Μάρκου καὶ Μιλτιάδου).

1859.

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

123206

ΜΑΤΘΑΙΟΥ

ΤΟΥ

ΒΛΑΣΤΑΡΕΩΣ

ΣΥΝΤΑΓΜΑ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

ΤΩΝ

ΕΜΠΕΡΙΕΙΛΗΜΜΕΝΩΝ ΑΠΑΣΩΝ ΥΠΟΘΕΣΕΩΝ

ΤΟΙΣ ΘΕΙΟΙΣ ΚΑΙ ΙΕΡΟΙΣ ΚΑΝΟΣΙ,

ΜΕΤΑ ΔΙΑΦΟΡΩΝ ΑΝΑΓΝΩΣΜΑΤΩΝ

ΚΑΙ ΑΝΑΛΥΤΙΚΟΥ ΠΙΝΑΚΟΣ

Τῶν ἐν τοῖς ἓξ τόμοις τοῦ Συντάγματος τῶν θείων καὶ ἱερῶν Κανόνων περιεχομένων,

ΥΠΟ

Γ. Α. ΡΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ.

ΕΝ ΑΘΗΝΑΙΣ.

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΥΓΗΣ.

(Ὁδὸς ἁγ. Μάρκου καὶ Μιλτιάδου).

1859.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται ὡς ἐπὶ τυποκλοπίας προερχόμενον.

ΤΩι ΦΙΛΟΓΕΝΕΣΤΑΤΩι ΚΥΡΙΩι ΣΙΜΩΝΙ ΣΙΝΑι,

ΠΡΕΣΒΕΥΤΗ ΤΟΥ ΜΕΓΑΛΕΙΟΤΑΤΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΒΑΣΙΛΕΩΣ

ΠΑΡΑ ΤΗ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗ ΤΗΣ ΒΙΕΝΝΗΣ ΑΥΛΗ

ΚΑΙ ΤΑΙΣ ΒΑΣΙΛΙΚΑΙΣ

ΤΟΥ ΒΕΡΟΑΙΝΟΥ ΚΑΙ ΜΟΝΑΧΙΟΥ,

ΧΑΙΡΕΙΝ.

Πρὸ δύω σχεδὸν ἐτιαυτῶν ἐς τὴν φίλην πατρίδα ἐκ Παρισίων ἐπανιόντι μοι καὶ ἐς τὴν βασιλεύουσαν τῆς Αὐστρίας πόλιν ἀφικομένῳ, ἐντυχεῖν μὲν τῇ Σῇ φιλογενεστάτῃ κορυφῇ οὐ παρέσχεν ἡ τύχη, τοτηνικαῦτα ἀποδημούσῃ, ἔδοξε δὲ, τὴν Σὴν εὖ εἰδότι περὶ τὰ καλὰ σπουδὴν καὶ φιλοτιμίαν, διὰ γραμμάτων δηλῶσαί Σοι, τί δὴ βουλόμενος μακρὰν οὕτως ἀνηρήμην πορείαν καὶ ἐς τὰς μητροπόλεις ἐκείνας διεγγώκειν ἐλθεῖν. Τὸ γὰρ τῶν θείων καὶ ἱερῶν κανόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς ἡμῶν Ἐκκλησίας Σύνταγμα τύποις ἐκδοῦναι ἐπιβαλόμενος, καὶ ἑπταετίαν ὅλην διατρίψας περὶ τὸ ἔργον, πλήρη δ' ὡς οἷόν τε καὶ χρησιμωτάτην παρασκευάσαι τὴν ἔκδοσιν ἐφιέμενος, προὔργου ἡγησάμην εἶναι, ἐς τὴν τῶν Γαλλῶν μητρόπολιν καὶ τὴν τῆς Αὐστρίας ἀπᾶραι, τὰς ἐκεῖ πλουσιωτάτας βιβλιοθήκας διερευνήσων, καὶ ἐκ πηγῶν οὕτω πολυχευμόνων ἀρυσόμενος εἴ τι χρήσιμον ἦν ἐς τοὐμὸν ἀνευρέσθαι ἐγχείρημα. Σὺ δ', Ἄνερ φιλογενέστατε, οὐ πολλῷ ὕστερον ἐς τὴν Αὐτοκρατορικὴν πόλιν ἐπανακάμψας, ἀντεπιστεῖλαί μοι οὐκ ἀπηξίωσας, ἅμα μὲν φιλόφρονα Σεαυτὸν

μοι παρέχων, ἅμα δὲ τὴν ἐμὴν πρόθεσιν ἐπαινῶν καὶ γενναίως ἐς ἀποπεράτωσιν τοῦ κοινωφελοῦς ἔργου παραθαρρύνων με. Ἐπειδὴ οὖν νῦν, τοῦ θείου συναιρομένου, ἐπὶ τὸ τέρμα ἀφῖγμαι, προσῆκόν μοι ἔδοξε τοῖς δὲ τοῖς γράμμασι τὴν ἀγγελίαν διαπέμψαι Σοι ταύτην, ὥσπερ ἀγαθόν τινα οἰωνὸν κρειττόνων φιλολογικῶν ἔργων τῷ κλεινῷ τῆς νῦν ἐν Ἀθήναις ἀνεγειρομένης Ἀκαδημίας ἱδρυτῇ θυμήρη ἐσομένην. Ἔοικε δὲ καλὸν εἶναι καὶ τὸ συγκύρημα· ἐν τῷ αὐτῷ γὰρ συνεπήνεκται χρόνῳ τό τ' ἐμὸν ἔργον συντελεσθῆναι καὶ τὴν καταβολὴν τοῦ θεμελίου τῆς Ἀκαδημίας λίθου, τοῦ μεγάλου δὴ τούτου καὶ κοινωφελεστάτου τῆς Σῆς φιλογενείας ἔργου, παρασκευάζεσθαι. Δέξαι δή, Ἄνερ φιλογενέστατε, τοὐμὸν τουτὶ φιλοπόνημα ὥς τινα τῶν γενναίων καρπῶν προάγγελον, οὓς ἐκ τῆς νεοδμήτου Ἀκαδημίας, ὡς ἐξ ἀγροῦ τινος ἐριβώλακος, φιλοπόνως μὲν ὑπὸ τῶν νέων Ἑλλήνων γεωργουμένου, ἐλευθερίως δ' ὑπὸ Σοῦ ἀρδευομένου, οὐκ ἐς μακρὰν ἡ Ἑλλὰς συγκομιεῖσθαι ἐλπίζει. Ἔρρωσο.

Ἀθήνησι, Σωτηρίῳ ἔτει φωνθ', Μαρτίου λ'.

Γ. Α. ΡΑΛΛΗΣ.

Τοῖς ἐντευξομένοις.

Το κατὰ στοιχεῖον Σύνταγμα τῶν τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ἐμπεριειλημμένων ἁπασῶν ὑποθέσεων ὑπὸ Ματθαίου τοῦ Βλαστάρεως ἐπιστέφει ἤδη τὸ ἀπὸ ἑπταετίας ἐπιχειρηθὲν ἡμῖν πολύμοχθον ἔργον τῆς ἐκ πρωτοτύπων πηγῶν ἐκδόσεως τῶν κανονικῶν συλλογῶν τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας μετὰ τῶν ἀρχαίων ἐξηγήσεων. Οὐδεὶς δὲ, πεποίθαμεν, τῶν μετ' ἐπιστασίας τῇ βίβλῳ ταύτῃ ἐντευξομένων κακίσει τὴν βραδεῖαν αὐτῆς ἀποπεράτωσιν, ἂν, παραβάλλων τὰ κείμενα τῆς παρούσης ἐκδόσεως πρὸς τὰ τῆς ἐν τῷ Συνοδικῷ τοῦ Βενερηγίου, σταθμίσῃ ἀκριβῶς τὴν γενομένην πέρι ἐπεξεργασίαν.

Εἰ γὰρ καὶ τὸ εὐμέθοδον καὶ περιεκτικὸν τοῦ κατὰ στοιχεῖον Συντάγματος κοινοτάτης αὐτὸ παρὰ τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ ἀνέδειξε χρήσεως, πολλαπλασιασθὲν τούτου ἕνεκα ὑπὲρ πᾶν ἄλλο βιβλίον διὰ τῆς ἀντιγραφῆς, ἀλλ' ἐκ τῆς τῶν γραφέων ἀμαθίας παρεισέδυσαν ἐν τοῖς πλείστοις τῶν σωζομένων αὐτοῦ ἀντιγράφων οὐσιωδέσταται ἐλλείψεις καὶ οὐκ εὐάριθμα παροράματα, κἀντεῦθεν ἡ ὀλίγη ἀκρίβεια τῆς ἐν τῷ Συνοδικῷ σωζομένης αὐτοῦ πρώτης καὶ μόνης ἄχρι τοῦδε ἐκδόσεως 1), ἧς πλεῖστα μὲν χωρία στεροῦνται παντάπασιν ἐννοίας, ἀναρίθμητα δὲ τοῦ κειμένου μέρη ἐλλιπῆ ἢ παρεφθαρμένα ἐξελέγχονται.

Τῶν παραμορφούντων τὸ πολλοῦ λόγου ἄξιον τοῦτο σύγγραμμα στιγμάτων ἐκκαθᾶραι προθέμενοι δύο τῆς Γαλλίας

1) Ἐξεδόθησαν καὶ παρὰ Λεϋγκλαυΐῳ ἐν τῷ Γραικο-Ῥωμαϊκῷ αὐτοῦ νομίμῳ τεμάχιά τινα τῆς περὶ γάμου πραγματείας τοῦ Βλαστάρεως.

Ἑλληνισταὶ, ὅτε Ἰάκωβος ὁ Γοάριος, γνωστὸς ἐκ τῆς εἰς τὴν ἐν Παρισίοις ἔκδοσιν τῆς Βυζαντίδος συμπράξεως αὐτοῦ 1), *καὶ Ἰωάννης ὁ Κοτελέριος, ὁ διασώσας ἡμῖν μεταξὺ ἄλλων ἑλληνικῶν πραγματειῶν καὶ πλεῖστα τὴν ἡμετέραν Ἐκκλησίαν ἀφορῶντα πονημάτια* 2), *εὐλόγως δὲ τὸ τοῦ Βλαστάρεως Σύνταγμα ἐν ταῖς ἀρίσταις τῶν ἀνατολικῶν κανονικῶν Συλλογῶν κατατάσσοντες, καὶ πλείστης αὐτὸ ὅσης ὠφελείας τοῖς περὶ τὴν μελέτην τοῦ ἐκκλησιαστικοῦ δικαίου ἐσχολακόσι κρίνοντες, παρεσκεύασαν ἑκάτερος δι' ἰδιοχείρου ἐπιμελεστάτης ἀντιγραφῆς τὰ πρὸς τὴν διὰ τοῦ τύπου προτεθεῖσαν ἔκδοσιν ἀναγκαῖα χειρόγραφα, πλουτίσαντες αὐτὰ δι' ὑποσημειώσεων, ἰδίως δὲ ὁ Γοάριος καὶ διὰ λατινικῆς ἑρμηνείας· ἀλλ' οὐδέτερος ἔφερεν εἰς πέρας τὴν μελετηθεῖσαν ἔκδοσιν. Τὰ χειρόγραφα ταῦτα διατηροῦνται παρὰ τῇ ἐν Παρισίοις αὐτοκρατορικῇ βιβλιοθήκῃ* 3).

---

1) Ἐξέδοτο Κωδινὸν τὸν Κουροπαλάτην ἔτει 1676 καὶ τὸ Εὐχολόγιον.

2) Ecclesiæ Græcæ Monumenta εἰς 4 τόμους.

3) Ἰδοὺ αἱ ἔν τισι τῶν πρωτίστων εὐρωπαϊκῶν βιβλιοθηκῶν σωζόμεναι χειρόγραφοι βίβλοι τοῦ κατὰ στοιχεῖον Συντάγματος τοῦ Βλαστάρεως.

Ἐν ταῖς κατὰ τὸν Ἄθω ἱεραῖς μοναῖς τοῦ Ἁγίου Ὄρους,

τοῦ Βατοπαιδίου, ὑπ' ἀρ. 7, τῆς ΙΕ' ἑκατονταετηρίδος·
τοῦ Διονυσίου, » 4, τῆς ΙΔ' ἑκατονταετηρίδος·
» 5, τοῦ ἔτους 1648·
τοῦ Δοχειαρίου, » 1, τῆς ΙΕ' ἑκατονταετηρίδος·
τῶν Ἰβήρων, » 7, τῆς ΙΔ' ἑκατονταετηρίδος·
» 9, τῆς ΙΕ' ἑκατονταετηρίδος·
» 10, τοῦ ἔτους 1570·
τοῦ Κουτλουμούση » 2, τῆς ΙΔ' ἑκατονταετηρίδος·
τοῦ Σταυρονικήτου » 1, τῆς ΙΔ' ἑκατονταετηρίδος·
τῆς Ἁγίας Λαύρας » 8, τῆς ΙΔ' ἑκατονταετηρίδος·
» 9, ὡσαύτως.
» 10, ὡσαύτως.
» 11, τῆς ΙΕ' ἑκατονταετηρίδος·
» 12, τοῦ ἔτους 1694·
» 13, τῆς ΙΣ' ἑκατονταετηρίδος·

Ἐν τῇ κατὰ τὴν νῆσον Χάλκην ἱερᾷ μονῇ
τῆς Ἁγίας Τριάδος, ἀριθ. 1, τῆς ΙΔ' ἑκατονταετηρίδος·

Ὑπὸ τοιούτων ἀνδρῶν καὶ ἐν μέσῳ τοσούτου πλούτου παντοδαπῶν φιλολογικῶν βοηθημάτων προεπεξειργασμένου τοῦ βιβλίου, τολμηρὸν ἡμῖν καὶ ἀσύγγνωστον ἄντικρυς ἐδόκει, νεωτέραν αὐτοῦ διαπράξασθαι ἔκδοσιν, μὴ ἐρευνήσασι τὰ πρὸ ἡμῶν ἐκείνοις ἐπὶ τῷ αὐτῷ τέλει πεπονημένα· διὸ οὐδὲ πέρας τῷ ἡμετέρῳ ἐπιθεῖναι ἠνεσχόμεθα ἔργῳ, ἕως οὗ, βασιλικῇ εὐδοκήσει, εἰς τὴν μητρόπολιν τῆς Γαλλίας ἀπάραντες,

---

τῆς Παναγίας, ἀριθ. 7. τῆς ΙΣ' ἑκατονταετηρίδος·
Ἐν τῇ κατὰ τὴν Τραπεζοῦντα μητροπόλει, ἀρ. 2, τοῦ ἔτους 1570·
» 3, τοῦ ἔτους 1746·
ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Γεωργίου. ἀρ, 2, τοῦ ἔτους 1746·
(ἀμφότερα τὰ τελευταῖα ἀντίγραφα τοῦ πρώτου.)
Βολληϊάνειος Κώδ. ξ 158, Βάρκκ. φύλλ. 1-143 τῆς ΙΕ' ἑκατονταετηρίδος·
» » Σκιβαντιανὸς, φύλλ. 1—597 τῆς ΙΣ' ἑκατονταετηρίδος·
Ἐν τῇ αὐτοκρατορικῇ βιβλιοθήκῃ τῶν Παρισίων,
ὑπ' ἀριθ. 1259 τοῦ ἔτους 1516·
» » 1337 φύλλ. 1—196, τῆς ΙΕ' ἑκατονταετηρίδος·
» » 1338 φύλλ. 1—205 τῆς ΙΕ' ἑκατονταετηρίδος·
» » 1339 φύλλ. 1—232 τῆς ΙΕ' ἑκατονταετηρίδος·
» » 1341 τῆς 18 Ἰουνίου 1593, (ἐν Ῥώμῃ ὑπὸ Ἰωάννου Ἀγιομαυρίτου τοῦ Κυπρίου.)
» » 1342 τῆς ΙΣ' ἑκατονταετηρίδος·
» » 1373 τῆς ΙΕ' ἑκατονταετηρίδος·
» » 1374 ὡσαύτως·
» » 1375 φύλλ. 1—305 τοῦ ἔτους 1541 (ὑπὸ Κυρίλλου τοῦ Ναυπακτίου.)
Παράρτ. Ἑλλην. 484. τῆς ΙΕ' ἑκατονταετηρίδος·
Ἐν Γενεύῃ, Χειρ. Ἑλλ. 23 τῆς ΙΣ' ἑκατονταετηρίδος·
Ἐν Μεδιολάνοις, Ἀμβροσιανὸς, Ε. 145.
Ἐν Νεαπόλει, Βραγκατιανὸς III, C. 27.
Ἐν τῷ Οὐατικανῷ 1184, φύλλ. 2—213.
Ἐν τῇ βιβλιοθήκῃ Ἐσκουριαλίου II. X. 18. φύλλ. 1—231, τῆς ΙΣ' ἑκατονταετηρίδος.
Ἐν Βιέννῃ VIII. 51 φύλλ. 23—288.
52 φύλλ. 1—292.
53 φύλλ. 1—174.
54 φύλλ. 1—288.
55 φύλλ. 1—310.

ἐν τῇ Αὐτοκρατορικῇ βιβλιοθήκῃ οὐ μόνον τὰ τοῦ Γοαρίου καὶ Κοτελερίου ἔργα, ἀλλὰ καὶ μύρι' ἄλλα ἐπὶ τὴν μεγάλην ἐκείνην ἀτεχνῶς λυχνίαν τεθειμένα τηλαυγῆ βοηθήματα ἐπισκέψασθαι ἐγένετο 1).

Ἐχρησάμεθα δὲ ἰδίως πρὸς τὴν παροῦσαν ἔκδοσιν ταῖς ἑξῆς χειρογράφοις βίβλοις.

Α'. Τῇ ὑπὸ τὸν ἀριθμὸν 1340 τοῦ τῆς Αὐτοκρατορικῆς βιβλιοθήκης καταλόγου, γεγραμμένῃ, ὡς ἄρτι εἴρηται, τῇ χειρὶ Ἰωάννου τοῦ Κοτελερίου, καθηγητῇ τῶν Ἑλληνικῶν γραμμάτων ἐν Παρισίοις, ἐν ἔτει ᾳχπ'. Σύγκειται δὲ αὕτη ἐκ σελίδων φοσ', κοινοῦ χάρτου, μετὰ σημειώσεων ἐν περισελίδῳ 2).

Β'. Τῇ ὑπὸ τὸν ἀριθμὸν 406 τοῦ αὐτοῦ καταλόγου, ἐκ σελίδων φπ' κοινοῦ χάρτου, γεγραμμένῃ τῇ χειρὶ Ἰακώβου τοῦ Γοαρίου, ὡς ἐκ τῆς ἐπιγραφῆς δηλοῦται 3). Καὶ ἐν μὲν τῷ πρώτῳ αὐτῆς μέρει ἀναγινώσκεται τὸ ἑλληνικὸν κείμενον, οὐ

---

1) Χάριτας ἐνταῦθα ἀπονέμομεν δημοσίᾳ, ἐν γένει μὲν τοῖς τὰ τῆς ἐν Παρισίοις Αὐτοκρατορικῆς βιβλιοθήκης διέπουσιν, ἰδίως δὲ τῷ τόν τε νοῦν, τήν τε καρδίαν, καὶ τὴν γλῶτταν Ἕλληνι, τῷ περικλεεῖ καθηγητῇ Κ. Ἀσίῳ (M. Hass), πᾶσαν πρὸς τὸ ἡμέτερον ἔργον παρασχόντι ἀρωγήν, ὡς οὐ μόνον ἐκ τοῦ ἐπὶ τῆς μεγάλης λυχνίας αὐγασθῆναι φωτὸς, ἀλλὰ καὶ τὰς ἀναγκαιούσας ἡμῖν βίβλους κατ' οἶκον μεταγαγεῖν, ὅπου ἐν τεσσαράκοντα ὅλαις ἡμέραις, συμπράξει καὶ τῶν ἡμετέρων Ἀλεξάνδρου καὶ Ἑλένης, τρεῖς οὐ μετρίου ὄγκου βίβλοι μετ' ἐπιστασίας παραβέβληνται.

2) Ἐν κεφαλίδι τῆς βίβλου ἀναγινώσκεται τάδε· Codex iste scriptus est manu viri doctissimi Joannis Baptistæ Cotelerii, literarum græcarum lectoris regii, mihi dono datus à nobili viro Josepho Hectore Cotelerio, consiliario regio apud clarissimam Coloniam Nemausensem, anno MDCLXXXVI, idibus Septembriis. Stephanus Baluzius.

3) Matthæi Blastaris collectio elementaria sacrorum et divinorum Canonum, e codice manuscripto probato bibliothecæ Regiæ Parisiis apud F F. Minores asservato, per R. A. P. F. Jacobum Goar Parisinum, ordinis FF. Prædicatorum, conventus Parisiensis S. Mariæ Annunciatæ alumnum, ex congregatione S. Ludovici, Regis Francorum, vicarium generalem anno 1683 die 23 Septembris in eodem conventu Parisiensi ætatis suæ anno 55 defunctum, propria manu fidelissime transcripta et latina interpretatione donata.

πάντη καθαρεῦον παροραμάτων· ἐν τῷ δευτέρῳ, ἑρμηνεία λατινική· ἐν δὲ τῷ τρίτῳ, ἔλεγχος τῶν ἐν τῷ Συντάγματι ἀπαντωμένων ἐπιστημονικῶν ἢ ἐκκλησιαστικῶν σπανίων ὅρων μεθερμηνευομένων λατινιστί.

Γ'. Τῇ ὑπὸ τὸν ἀριθμὸν 1375 ἐκ τοῦ Βυζαντίου εἰς τὴν ἐν Παρισίοις Αὐτοκρατορικὴν βιβλιοθήκην μετενεχθείσῃ, γεγραμμένῃ δὲ λίαν ἐπιμελῶς ἐν ἔτει ,ζμθ' (1541), τῇ τετάρτῃ τοῦ Ὀκτωβρίου, ὑπὸ Κυρίλλου ἀρχιερέως τοῦ Ναυπακτίου. Ἐν τῇ βίβλῳ ταύτῃ ἀπαντᾶται πολλάκις τὸ πλάτος τῶν ἐν ἑτέροις ἀντιγράφοις τοῦ Συντάγματος ἁπλῶς μνημονευομένων κανόνων.

Ἐκτὸς δὲ τοῦ κατὰ στοιχεῖον Συντάγματος, περιέχονται ἐν αὐτῇ καὶ τὰ ἑξῆς·

Φωτίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ἀγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, συλλεγεῖσαι ἔκ τε συνοπτικῶν καὶ ἱστορικῶν γραφῶν, περὶ ἐπισκόπων καὶ μητροπολιτῶν, καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ἐκκλησιαστικῶν ζητημάτων, κατ' ἐρωτα-πόκρισιν. (ἀνέκδοτον.)

Τοῦ ἐν ἁγίοις Πατριάρχου Πέτρου Ἀλεξανδρείας ἀντιγραφὴ πρὸς τὸν ἁγιώτατον Πατριάρχην Γράνδης ἤτοι Ἀκυλίας, περὶ τοῦ μὴ εἶναι δεκτὸν ὡς μηδὲ ἀκουσθέν ποτε ὀνομάζεσθαι Πατριάρχην τὸν τοιοῦτον ἀρχιεπίσκοπον, καὶ περὶ τῶν ἀζύμων.

Νόμοι Γεωργικοί.

Κανονικὸν Ἰωάννου τοῦ Νηστευτοῦ.

Νικήτα Ἡρακλείας ἀποκρίσεις πρός τινα Κωνσταντῖνον ἐπίσκοπον, περὶ ὧν ἠρωτήθη.

Τοῦ ἐν ἁγίοις Νικηφόρου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ κανόνες ἐκ τῶν ἐκκλησιαστικῶν αὐτοῦ συντάξεων καὶ τῶν σὺν αὐτῷ ἁγίων Πατέρων.

Ἐκ τῶν ἀποκρίσεων τοῦ ἱερωτάτου ἐπισκόπου Κίτρους, πρὸς τὸν ἱερώτατον ἐπίσκοπον Δυρραχίου τὸν Καβάσιλαν.

Περὶ τῶν ἐκκλησιαστικῶν ὀφφικίων.

Ἡ γεγονυῖα ὑποτύπωσις παρὰ τοῦ Βασιλέως Λέοντος τοῦ

Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν ἐκκλησιῶν τῶν ὑποκειμένων τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως.

Ἑρμηνεία ἐκκλησιαστικῶν τινων ὅρων.

Ἐρωτήσεις τοῦ Πατριάρχου Ἀλεξανδρείας Μάρκου, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς τοῦ ἁγιωτάτου Πατριάρχου Κυροῦ Θεοδώρου.

Ἐρωτήσεις τινῶν μοναχῶν ἔξω τῆς πόλεως, καὶ ἀποκρίσεις παρὰ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας Συνόδου, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου Πατριάρχου Νικολάου, βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως Κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ.

Τάξις τῶν θρόνων τῶν ὑποκειμένων τῷ μητροπολίτῃ Θεσσαλονίκης.

Ἐν τέλει δὲ ἡ ἐξῆς μαρτυρία· Ἐτελειώθη ἡ παροῦσα βίβλος διὰ χειρὸς ἐλαχίστου Κυρίλλου ἀρχιερέως τοῦ Ναυπακτίου, ἔτους ,ζιθ', ἐν μηνὶ Ὀκτωβρίῳ δ' 1).

Ἐκ δὲ τῶν ἐν τῇ Αὐτοκρατορικῇ βιβλιοθήκῃ Βιέννης βιβλων ὁ κατὰ τὴν προκειμένην ἔκδοσιν ἀξιότιμος ἡμῶν συνεργάτης Κ. Μ. Ποτλῆς παρέβαλε μέχρι τινὸς τὰς ὑπὸ τοὺς ἀριθμοὺς 51, 52, 53, καὶ 54 βίβλους, παρατιθεμένας ἐν ταῖς ἡμετέραις ὑποσημειώσεσι διὰ τῶν στοιχείων α. β. γ. καὶ δ. Ἀλλὰ τῆς ὥρας τοῦ χρόνου ἐπειγούσης, διεξελθεῖν αὐτὰς ἐντελῶς οὐκ ἠδυνήθη.

Ἀλλ' οὐδ' ἐν Ἀθήναις ἐξέλιπον ἡμῖν τοιαῦτα βοηθήματα. Δυσὶ γὰρ ἐνετύχομεν βίβλοις, τῇ μὲν παρασχεθείσῃ ἡμῖν ὑπὸ τοῦ τὸν ἀρχιεπισκοπικὸν θρόνον Φθιώτιδος εὐκλεῶς διέποντος σεβασμιωτάτου Κυρίου Καλλινίκου τοῦ Καστόρχη, τῇ δὲ, ὑπὸ τοῦ φιλοτίμου φοιτητοῦ τῆς νομικῆς σχολῆς τοῦ καθ' ἡμᾶς Ὀθωνείου Πανεπιστημίου Κυρίου Γεωργίου Βιδάλη.

Κἀκείνη μὲν, γεγραμμένη ὑπὸ Ἰωάννου ἱερέως καὶ μεγάλου Σακελλαρίου τῆς μεγάλης ἐκκλησίας, τοῦ Βυζαντίου, ἐν ἔτει ,αχ'ϟδ', εἰ καὶ μὴ πάντη καθαρεύουσα παροραμάτων, οὐ σμικρὰν παρέσχεν ἡμῖν ἐν τοῖς ἀμφιβόλοις χωρίοις τὴν ἀρω-

1) Ἐν τῷ τελευταίῳ φύλλῳ ἀναγινώσκεται καὶ ταῦτα· Ἡ παροῦσα βίβλος πάρχει τῆς μονῆς τῆς μεγαλομάρτυρος ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας.

γήν. Περιέχονται δ' ἐν αὐτῇ, ἐκτὸς τοῦ κατὰ στοιχεῖον Συντάγματος ἐν σελ. 1—264, καὶ διάφοροι ἄλλαι πραγματεῖαι περὶ ἐκκλησιαστικῶν ζητημάτων.

Ἡ δευτέρα δὲ, κτῆμα τοῦ ἐκ Τήνου Ἰακώβου Βιδάλη τοῦ ἱερέως, ἀρίστης ἐστὶ γραφῆς, τῆς 15ης, ὡς εἰκάσαι, ἑκατονταετηρίδος, περιέχουσα, ἐν μὲν τῷ πρώτῳ μέρει, φύλλ. α—σξ', τὸ κατὰ στοιχεῖον Σύνταγμα, ἐν δὲ τῷ δευτέρῳ, τοὺς κανόνας Ἰωάννου τοῦ Νηστευτοῦ, τὰς τοῦ Ἡρακλείας Νικήτα ἀποκρίσεις, τοὺς κανόνας Νικηφόρου τοῦ Ὁμολογητοῦ, καὶ τὰς ἀποκρίσεις Ἰωάννου τοῦ ἐπισκόπου Κίτρους πρὸς τὸν ἐπίσκοπον Δυρραχίου τὸν Καβάσιλαν· τέλος δὲ ἐν τῷ τρίτῳ, ἐν σελίσιν ὅλαις νιθ', τὰς ἐξῆς πραγματείας περὶ ἐκκλησιαστικῶν πραγμάτων καὶ ζητημάτων.

Περὶ τῶν παρ' αἱρετικῶν κεχειροτονημένων.

Περὶ τῆς παραιτήσεως τοῦ Μάκρης Θεοδούλου.

Κανόνες τῶν ἁγίων Ἀποστόλων, τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων, καὶ τῶν κατὰ μέρος ἁγίων Πατέρων.

Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, κεφάλαιον κανονικόν.

Περὶ τῶν τῆς συγγενείας βαθμῶν ἐκ τοῦ γ'. βιβλίου τῶν Ἰνστιτούτων.

Ὑποτύπωσις Λέοντος τοῦ Σοφοῦ ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν ἐκκλησιῶν, τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κωνσταντινουπόλεως.

Λέξεις Λατινικαί.

Ἐκ τῆς πρὸς Καισαρίαν πατρικίαν ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου περὶ τῆς ἁγίας κοινωνίας.

Δόξαι αἱρεσιαρχῶν.

Κανόνες Θεοδώρου Σκυθουπόλεως.

Τοῦ μητροπολίτου Κρήτης Ἡλιοῦ, ἀποκρίσεις περὶ ὧν ἠρωτήθη παρά τινος μοναχοῦ Διονυσίου.

Νικήτα Ἡρακλείας ἀποκρίσεις πρὸς Κωνσταντῖνον ἐπίσκοπον.

Ἐρωτήσεις τοῦ Πατριάρχου Ἀλεξανδρείας Μάρκου, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς Θεοδώρου τοῦ Βαλσαμῶνος.

Φωτίου συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβῶς συνειλεγμέναι

ἐκτε συνοδικῶν καὶ ἱστορικῶν γραφῶν περὶ ἐπισκόπων καὶ μητροπολιτῶν, καὶ ἑτέρων ἀναγκαίων ἐκκλησιας. ζητημάτων.

Ἐρωτήσεις τινὸς μοναχοῦ καὶ λύσεις τούτων γεγονῖαι παρὰ τοῦ μακαριωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας Πέτρου.

Κυρίλλου Ἀλεξανδρείας περὶ τῆς τετοκυίας δίδυμα.

Νικολάου Κωνσταντινουπόλεως πρὸς τὸν ἐπίσκοπον Ζητουνίου λύσεις περὶ ὧν ἐκεῖνος ἐγγράφως ἐδεήθη.

Μιχαὴλ Χούμνου τοῦ Θεσσαλονίκης περὶ τῶν βαθμῶν τῆς συγγενείας.

Ἐκ τῆς ἐν Νικαίᾳ Συνόδου διάταξις τῶν ἁγίων Ἀποστόλων περὶ ἑορτῶν, περὶ νηστειῶν, καὶ περὶ τῆς τεσσαρακοστῆς τοῦ ἁγίου Πάσχα.

Τάξις γινομένη ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπί τε τῷ ἑσπερινῷ, τῷ ὄρθρῳ, τῇ θείᾳ καὶ ἱερᾷ λειτουργίᾳ, καὶ ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου.

Τὰ ἐκκλησιαστικὰ ὀφφίκια.

Οἱ λοιποὶ Κανόνες Πέτρου, Ἀλεξανδρείας.

Τὰ λοιπὰ κεφάλαια Θεοφίλου, Ἀλεξανδρείας.

Ἀθανασίου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Ῥουφινιανὸν ἐπίσκοπον.

Παμφίλου ἱερομάρτυρος ἐκ τῆς ἐν Ἀντιοχείᾳ τῶν Ἀποστόλων συνόδου, τουτέστι ἐκ τῶν συνοδικῶν αὐτῶν κανόνων, μέρος τῶν ὑπ' αὐτοῦ εὑρεθέντων εἰς τὴν τοῦ Ὠριγένους βιβλιοθήκην.

Ἐκ τοῦ Συνοδικοῦ Σωφρονίου, Ἱεροσολύμων, ὃν ἔπεμψεν ἐν Ῥώμῃ περὶ τῆς παναγίας καὶ ζωοποιοῦ Τριάδος.

Τοῦ αὐτοῦ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ Κυρίου ἡμῶν.

Ὃ μεμυσταγώγηται προτροπῇ τῆς Θεοτόκου, παρὰ Ἰωάννου τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ, Γρηγόριος ὁ θαυματουργός.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ πρὸς Εὔβουλον, πῶς ὁ Υἱὸς καὶ Λόγος ἐκ τοῦ Πατρὸς ἐγεννήθη.

Τοῦ ἁγίου Μαξίμου, τίνος τύπον καὶ εἰκόνα ἔχει ἡ καθολικὴ Ἐκκλησία.

Ἰωάννου τοῦ Δαμασκηνοῦ,[1] *περὶ τῶν Μακεδόνων μηνῶν, ἐκ τῆς Ἐκκλησιαστικῆς ἐκδόσεως.*

Καὶ βάσιν μὲν τῆς παρούσης ἐκδόσεως ἐθέμεθα ἰδίως τὰς τῆς Αὐτοκρατορικῆς βιβλιοθήκης τῶν Παρισίων ὑπ' ἀρ. 1340 καὶ 1375 βίβλους, ὡς τῶν λοιπῶν ὑπερεχούσας κατά τε τὴν μείζονα τῶν κειμένων ἀκρίβειαν, καὶ τὴν εὐμεθοδωτέραν τῆς ὕλης κατάταξιν· οὐ παρημέληται δὲ οὐδ' ἡ ἐν ὑποσημειώσεσι παράθεσις τῶν ἔν τε ταῖς λοιπαῖς καὶ τῷ Συνοδικῷ ἀξιολογωτέρων διαφόρων ἀναγνωσμάτων, ἢ καὶ ἡ δι' αὐτῶν ἀνόρθωσις τῶν ἐν ἐκείναις ἐνιαχοῦ ἡμαρτημένων.

Τέλος, ὡσεὶ κάτοπτρον τῶν ἐν τοῖς ἓξ τόμοις περιειλημμένων, εὑρήσει ὁ ἀναγνώστης ἐν τῷ παρόντι ἔλεγχον καθολικὸν ἁπάσης τῆς ἐκδόσεως κατὰ τάξιν ἀλφαβητικὴν, οὐ σμικρὸν εἰς τὴν μελέτην καὶ λύσιν τῶν ἀναφυομένων ἐκκλησιαστικῶν ζητημάτων συντελέσοντα.

Ἀφικόμενοι οὕτω, θείᾳ συνάρσει, εἰς τὸ τέρμα τοῦ ἡμετέρου ἐγχειρήματος, εὐλόγως ἂν ἀχαριστίας γραφὴν φεύγοιμεν, εἰ μὴ πανδήμους ἐνταῦθα τὰς χάριτας τοῖς τε παρ' ἡμῖν καὶ τοῖς ἐν τῇ ἀλλοδαπῇ λογίοις καὶ σοφοῖς ἀνδράσιν ἀποδοίημεν, ἀνθ' ὅσων περὶ τοῦ ἡμετέρου ἔργου εὐνούστατα ἐδημοσίευσαν. Ἐπιτραπείτω δὲ ἡμῖν ἰδίως μνημονεῦσαι τοῦ ἐξόχου τῆς Σαξωνίας καθηγητοῦ Κυρίου Βινερίου 1), καὶ τοῦ Σ. Π. Κυρίου Ι. Β. Πιτρᾶ, ἐκ τοῦ ἐν Γαλλίᾳ θρησκευτικοῦ τάγματος τῶν Βενεδικτίνων 2), εὐγνώμονάς τε ἡμᾶς αὐτοῖς διομολογήσασθαι, οὐ μόνον χάριν τῆς ὑπὲρ τοῦ ἡμετέρου Συντάγματος εὐνοϊκωτάτης αὐτῶν κρίσεως, ἀλλὰ καὶ ὅτι τὴν ἔκδοσιν ταύτην ἀφορμὴν ἀνέδειξαν πολλῶν καὶ μεγίστης προσοχῆς ἀξίων

---

1) Kritische Zeitschrift für Rechts-Wissenschaft und Gesetzgebung des Auslandes, Heidelberg 1856, 2 Heft.

2) Des Canons et des collections canoniques de l' Eglise grecque, d' après l' édition de M. G. A. Rhalli, président de l' Aréopage, par le R. P. Dom J. B. Pitra, religieux Bénédictin de la Congrégation de France. Paris, librairie de A. Durand, Rue des Grès, 7. 1858.

σκέψεων, ἐς τε διαφόρων ἱστορικῶν ζητημάτων ὀρθοτέραν λύσιν, καὶ πρὸς μείζονα τῆς ἐπιστήμης τοῦ ἐκκλησιαστικοῦ δικαίου ἀνάπτυξιν.

Ἔγραφον ἐν Ἀθήναις ἐν ἔτει ᾳωνθ', Μαρτίου κθ'.

Γ. Α. ΡΑΛΛΗΣ.

ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΕΠΙΤΕΤΜΗΜΕΝΩΝ ΛΕΞΕΩΝ.

Γ. *Χειρόγραφον Παρισίων ὑπὸ Γοαρίου γεγραμμένον.*
1340. *Χειρόγραφον Παρισίων ὑπὸ Κοτελερίου.*
1375. *Χειρόγραφον Παρισίων ὑπὸ Κυρίλλου τοῦ Ναυπακτίου.*
Β. *Συνοδικὸν Βενερηγίου.*
α. *Χειρόγραφον Βιέννης ἀριθ.* 51.
β. *Χειρόγραφον* » *ἀριθ.* 52.
γ. *Χειρόγραφον* » *ἀριθ.* 53.
δ. *Χειρόγραφον* » *ἀριθ.* 54.
ε. *Χειρόγραφον Βιδάλη.*
Κ. *Χειρόγραφον τοῦ ἀρχιεπισκόπου Φθιώτιδος Κ. Καλλινίκου.*

ΣΥΝΤΑΓΜΑ

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΤΩΝ ΕΜΠΕΡΙΕΙΛΗΜΜΕΝΩΝ

ΑΠΑΣΩΝ ΥΠΟΘΕΣΕΩΝ ΤΟΙΣ ΙΕΡΟΙΣ ΚΑΙ ΘΕΙΟΙΣ ΚΑΝΟΣΙ,

ΠΟΝΗΘΕΝ ΤΕ ΑΜΑ ΚΑΙ ΣΥΝΤΕΘΕΝ 1)

ΤΩ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ 2) ΕΛΑΧΙΣΤΩ

ΜΑΤΘΑΙΩι 3).

Προθεωρία.

Το τῶν ἱερῶν καὶ θείων χρῆμα κανόνων ἤνθησε μὲν ἀπ' αὐτῆς, ὡς ἔπος εἰπεῖν, τῆς θεανδρικῆς ἐν τῷ κόσμῳ πολιτείας τοῦ Λόγου, ἀφ' οὗ δὴ καὶ τὸ τῶν Χριστιανῶν σεβάσμιον δόγμα, τῇ πολυστόμῳ τῶν Ἀποστόλων σάλπιγγι, ἀνὰ τὴν οἰκουμένην σύμπασαν τῷ δώρῳ τῆς χάριτος ἤχησε· ταῖς κατὰ μέρος δὲ προσθήκαις αὐξάνον καὶ πλατυνόμενον διὰ τῶν ἐμπιπτόντων τῇ Ἐκκλησίᾳ κατὰ διαφόρους αἰτίας καὶ χρόνους νεωτέρων πραγμάτων, ἄχρι τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης Συνόδου ἔστη σχεδόν· ἀκραιφνῆ μέντοι καὶ εἰς ἡμᾶς τὴν οἰκείαν ἀκμὴν Θεοῦ χάριτι διατετήρηκε, μηδὲν τῆς τοῦ χρόνου παραπολαῦσαν ἐπιβουλῆς. Οὗτοι γάρ μοι δοκοῦσιν εἶναι οἱ πολὺ μὲν τὸ ποικίλον καὶ διάφορον ἔχοντες τίμιοι λίθοι, μίαν δὲ τὴν τῆς Ἐκκλησίας ὑφαίνοντες οἰκονομίαν 4), συντιθέμενοι καὶ συναρμολογούμενοι, ὧν τὰς τοῦ ᾅδου πύλας μήποτε κατισχύσειν ὁ Σωτὴρ ἡμῶν ἀπεφήνατο. Ἐπεὶ γὰρ μετὰ τὸ ἀναθεῖλαι τὸ σωτήριον κήρυγμα, ὁ τῆς εἰδωλομανίας πλάνος ἀπήνθει καὶ ἐμαραίνετο, καὶ εἰς τὸ ἀνύπαρκτον, ὡς εἶχε φύσεως, διελύετο, ὥσπερεὶ σκότος τῇ ἐπεισαγωγῇ τοῦ φωτὸς, μὴ ἐνεγκὼν τὰ τῆς ἥττης ταύτης ὁ πονηρὸς, οὐκ ᾤετο δεῖν ἠρεμεῖν, ἀλλὰ τῆς οἰκείας διπλόης

1) συνταχθὲν δ. — 2) κυρῷ, ἄνευ τοῦ, ἐλαχίστῳ δ. καὶ 1340. — 3) 1340. 1375, καὶ Γ. — τῷ Βλάστορι Β. — 4) οἰκοδομίαν 1340 καὶ 1375.

ἐπιμνησθεὶς, καὶ ἀνθρώπους ὀλέθρους 1) καὶ δυσσεβεῖς ὑποδὺς, ἑτέρῳ τρόπῳ, νόθοις καὶ ἀπατηλοῖς δόγμασι, τῆς ἀληθείας αὖθις ἐπειρᾶτο περιγενέσθαι, τοῖς δευτέροις φιλονεικῶν ἀποκρύψαι τὰ φθάσαντα· ἀλλὰ λύκος ὤφθη, τὸ τοῦ λόγου, μάτην χανών· Σύνοδοι γὰρ ὡς τάχιστα θεοφόρων Πατέρων, οἰκουμενικαί τε ἅμα καὶ τοπικαὶ, καιροῖς ἰδίοις ἠθροίζοντο, καὶ τῆς τούτου λύσσης τὴν λώβην ἀπεωθοῦντο 2). Αἱ μὲν γὰρ ταύτην εἰλήφασι τὴν ἐπωνυμίαν, τῷ 3) κελεύσει τῶν κατ' ἐκεῖνο τοῦ καιροῦ βασιλέων, οἰκειότερον δ' εἰπεῖν, τοῦ ἁγίου Πνεύματος, συνδεδραμηκέναι εἴς τινα πόλιν τοὺς ἀνὰ πᾶσαν τὴν ὑπὸ Ῥωμαίοις ἀρχὴν ποίμνης προεστηκότας· οἷς δέ γε μὴ παρὸν τὴν ἐκδημίαν στείλασθαι ταύτην, ἀποστόλοις χρησαμένους οἰκείοις, ἐφ' ᾧ δημοτελεῖ τῇ χειροτονίᾳ ἤτοι ψήφισμα περὶ τῆς εὐσεβοῦς πίστεως τροπαίου κρεῖττον ἐξενεγκεῖν, ἢ, κοινῆς προσδοκωμένης περὶ τὴν εὐσέβειαν ζημίας, τοῖς ὅπλοις φραξαμένους τῆς ἀληθείας, τὴν ταύτης λύμην ἀπώσασθαι 4). Αἱ δὲ τοπικαὶ προσηγορεύθησαν, ἅτε μιᾶς ἐπαρχίας ἐπισκόπων πρὸς τὸν αὐτῶν ἔξαρχον συνεληλυθότων 5), οὐ τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην μετακληθέντων 6), οὐδὲ μὴν περὶ κοινοῦ δόγματος τῆς ζητήσεως οὔσης, ἀλλ' ἢ πρὸς βεβαίωσιν τῶν ὁρισθέντων ταῖς προλαβούσαις Συνόδοις, ἢ πρὸς καθαίρεσιν τῶν ἀπ' ἐναντίας αὐτοῖς τολμησάντων ἰέναι, ἢ περὶ κανόνων καὶ ζητημάτων εἰς τὴν κοινὴν εὐταξίαν συντελούντων τῆς Ἐκκλησίας· οὗτοι δὴ πάντες, οὐχ ὅπως τὰ ἐπισπειρόμενα νόθα τῶν δογμάτων ῥίζαις αὐταῖς ἠξίωσαν ἐξελεῖν, ῥᾳουδὴν πᾶσαν εἰσενεγκάμενοι, ἀλλά γε καὶ θεσμοὺς συντάξαι βιωφελεῖς, τὴν ἱερὰν ἡμῶν πολιτείαν ἐπανορθοῦντας, καὶ πρὸς ἀκρίβειαν δογμάτων ἅμα καὶ βίου θεοφιλοῦς ἡμᾶς ἐκπαιδεύοντας, διπλῆν ἀνθ' ἁπλῆς τῷ τυράννῳ, ὡς τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολοι, ἐντείνοντες τὴν πληγήν· οὕτως ἔγνω καθ' ἑαυτοῦ σοφισάμενος, καὶ, ὡς τὰ πανοῦργα τῶν θηρίων, ταῖς ἑαυτοῦ τέχναις ἁλούς· βεβαιότερον γὰρ ταύτῃ τὸ

---

1) ὀλεθρίους δ. — 2) ἀπωθοῦντο γ. — ἐν περισελίδῳ· Τίνες αἱ οἰκουμενικαὶ σύνοδοι; Γ. 1373. — 3) τῇ Β. καὶ ε. —4) Τίνες αἱ τοπικαὶ Γ. ἐν περισελίδῳ καὶ 1373 ἐν τίτλῳ. — 5) 6) συνδεδραμηκότων, γ.

θεῖον ἔλαθε κήρυγμα καθιστὰς, ὀχυρώμασι πλείοσι τῆς Ἐκκλησίας ἑαυτὴν ἀσφαλισαμένης, καὶ νηπίων τοξεύματα τὰ τούτου μηχανήματα ἐλεγχούσης· τοσοῦτο γὰρ ἀπέσχον τοῦ καταπτῆξαι τὴν πρὸς τοῦτον ἀγωνίαν καὶ διαμάχην οἱ τῆς ἱερᾶς ἀγελάρχαι ποίμνης, ὥστε καὶ τῆς σφῶν ἀνδρίας καὶ τῆς ἀρετῆς ἐπίδειξιν, καὶ ἁφορμὴν βραβείων, τὰ ἐκείνου ἡγήσαντο σκαιωρήματα· οὕτω τῇ προθυμίᾳ τοὺς ἐν τοῖς στεφάνίταις 1) διαύλους ἀπέκρυψαν, τοσούτῳ θαυμασιωτέραν 2) τὴν εὐψυχίαν ἐπιδειξάμενοι, ὅσῳ καὶ περὶ καλλιόνων ἄθλων ἦν αὐτοῖς ὁ ἀγών· οὗ γὰρ ἔδει καὶ μὴ ἀναιμωτὶ τῆς ἀληθείας ὑπερμαχῆσαι, εἰς τοῦθ' ἥκον προθυμίας καὶ γενναιότητος, ὡς μικροῦ καὶ τῇ σφῶν ἐπιμέμφεσθαι φύσει, μὴ πεφυκυίᾳ μυρίους ὑπὲρ τῆς ἀληθείας θανάτους ὑπενεγκεῖν, ἀλλὰ μέχρι τοῦ ἑνὸς στῆσαι τὸ τῆς παρασκευῆς ταύτης φιλότιμον· τοσοῦτο τῆς ἐξαπάτης οἱ τῆς εὐσεβείας περιεγένοντο πρόβολοι, μηδὲν ἴχνος δειλίας ἢ δείματος ταῖς ὄψεσιν ὑποφήναντες. Τούτων τοίνυν τῶν ἀριστέων, τῶν κοινῇ συνεληλυθότων, τοὺς ἱεροὺς καὶ θείους κανόνας, ὡς ἄνωθεν κατενεχθέντας θείους χρησμοὺς, ἡ Ἐκκλησία εἰς τόδε τοῦ χρόνου σέβει τε καὶ τιμᾷ, τῶν θείων εὐαγγελίων οὐκ ἔλαττον, ἐπεὶ κἀκεῖνα, πηγαὶ τούτων ἀτεχνῶς καὶ ῥίζαι καθέστηκεν 3). Οὐ μὴν ἀλλὰ καὶ ὅσα τῶν ἱερῶν ἀνδρῶν ἔνιοι, ὧν ὁ μεταξὺ χρόνος τὸ περιὸν οὐκ ἴσχυσε κρύψαι τῆς ἀρετῆς, ἐν ἐπιστολαῖς, ἰδίᾳ κατὰ πεῦσιν καὶ ἀπόκρισιν συντεθείσαις, εὐσεβῶς εἰρήκασι, κανόνος φέροντα τύπον, ὡς κανόνας ἡ Ἐκκλησία ἐδέξατο, καὶ τοῖς προλαβοῦσι τῶν Συνόδων εὖ μάλα συνήρμοσεν 4). Εἰ γὰρ καὶ τοῖς μεγάλοις Βασιλείῳ τῷ πάνυ, καὶ Γρηγορίῳ τῷ Θεολόγῳ δοκεῖ χρῆναι κανόνας ἐκκλησιαστικοὺς ἐκείνους λέγειν τε καὶ νομίζειν, οὓς οὐ καθ' ἑαυτόν τις, ἀλλὰ πλείους ἅγιοι Πατέρες εἰς ταυτὸ συνιόντες, κοινῇ γνώμῃ καὶ μεμεριμνημένῃ βασάνῳ διετάξαντο, ἀλλά γε τῷ διὰ πάντων ἐκλάμψαι, καὶ τοὺς ταῦτα γράψαντας ὥσπερ ἀστέρας, καὶ τῷ πολλοῖς μαρτυρίοις ἐπιγνωσθῆναι, μὴ θειοτέρας χωρὶς

1) στεφάνοις β. δ'. στεφανίταις γ. — 2) θαυμασιώτερον Γ. — 3) ἀτεχνῶς καὶ προείμια 1340. καὶ ε. — 4) προσήρμοσε 6.

ἐπιπνοίας ταῦτα συντεταχέναι, ἥκιστα ταῖς τῶν Συνόδων ζητήσεσιν ἀπεμφαίνοντα, ἀλλὰ τὸ συγγενὲς τῆς προκειμένης πόρρωθεν ἐμφανίζοντα πραγματείας, τοῖς ἱεροῖς ἐνεγράφησαν καὶ τὰ τούτων κανόσι. Τούτοις τοίνυν προσήκει τοὺς τῆς εὐσεβείας τροφίμους ἑκάστοτε προσανέχειν, καὶ τὸ τῆς ψυχῆς ἀεικίνητον προσδεσμεῖν, καὶ μὴ διδόναι καιρὸν αὐτῇ τῶν γνησίων ἀφεμένῃ δογμάτων πρὸς τὰ νόθα κατολισθαίνειν· οὕτω γὰρ αὐτῇ λόγοις καὶ πράγμασιν ἀγαθοῖς ἐνδιατριβούσῃ, καὶ τὰς ἐξ ὄψεως ὀνείρων φαντασίας ἐνθέους ἔχειν ὑπάρξει· τούτοις γὰρ τὸ περὶ τὰ δόγματα εὐθὲς τοῦ σκολιοῦ, καὶ τὸ γνήσιον τοῦ νόθου, πάσης λίθου λυδίας ἀκριβέστερον διακρίνεται· οὗτοι δεσπόταις νομοθετοῦσι καὶ δούλοις, ἄρχουσι καὶ ἀρχομένοις, γονεῦσι καὶ τέκνοις, ἀνδράσι καὶ γυναιξί, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ, σοφίᾳ καὶ ἀμαθίᾳ· ταῦτ' ἄρα καὶ βασιλέως πάντὸς μᾶλλον τιμᾶν ἐπιτάττοντες, πλέον αὖθις ἢ χρή, ταῖς ἀλογίστοις τούτων οὐκ ἐφιᾶσιν ὑποπίπτειν ἐπιταγαῖς, πολλοῦ γε δεῖ ὑπάρχων ἢ στρατηγῶν. Ἴγε μὴν πλείων τούτοις σπουδὴ περὶ τὸ βασίλειον τῆς Ἐκκλησίας καθέστηκεν ἱεράτευμα, ὅπως μὴ ἀνάξιοι τοῦ ἐγγίζοντος ὀφθεῖεν Θεοῦ οἱ ἐγγίζειν λαχόντες αὐτῷ, τῷ μὴ κατὰ θέλησιν ἐκείνου βιῶναι, ἀλλ' εἰς τοῦθ' ἥκοντας ἀρετῆς, ὡς ταῖς περὶ Θεὸν ἀγγελικαῖς δυνάμεσι, τὸ τῆς ψυχῆς ἐκ τῶν ἐνόντων ἀφομοιοῦν εὐγενὲς, καὶ τὰ τούτων μετὰ τῆς ὕλης δεικνύναι, μὴ τὸ τῇ φύσει περικείμενον 1) ἄχθος 2) προϊστάμενοι 3)· τούτους οὐκ ἄν τις ἁμάρτοι κοινὸν προσειπὼν ἰατρεῖον, ἑκάστοις τῶν νοσούντων κατάλληλα κεραννύντας τὰ φάρμακα. Οὐ μὴν ἀλλὰ καὶ τῶν νωθρῶς περὶ τὴν θεραπείαν διακειμένων τοὺς μὲν, ἀνατεινόμενοι τὰ δεινότατα, διεγείρουσι, τοῖς δὲ, τὰς τῶν μελλόντων ἐπαγγελίας προμνώμενοι, οὐ χαλεπῶς προσάγονται· ἔστι δὲ οὓς μὴ προσιεμένους μήτε τὰ φάρμακα, μήτε τὰ ἐπιτάγματα τούτων, ἀλλ' ἑαυτοῖς τὸν τῆς μετανοίας λιμένα τῇ ἀπειθείᾳ 4) προσχώσαντας, παντὸς βασιλέως αὐθεντικώτερον μετιόντες, τῆς αἰωνίου κληρουχίας ὑπερο-

1) περϊστάμενον. — 2) ἄνθος B. — 3) προσιστάμενος. 1340. δ. — 4) ἀπειθείᾳ.

ρίζουσιν. Ἔνθεν τοι, καὶ τὸ πάλαι τινὶ τῶν θύραθεν εἰρημένον, τοῖς θείοις οὐχ ἥκιστα θεσμοῖς, ὥς γέ μοι δοκεῖ, ἁρμόσειεν ἄν· πεπείσμεθα γὰρ τούτους, εὕρημα μὲν καὶ δῶρον εἶναι Θεοῦ, δόγμα δὲ γενναίων καὶ θεοφόρων ἀνδρῶν, συνθήκην τῆς Ἐκκλησίας κοινὴν, ἐπανόρθωμα τῶν ἑκουσίων καὶ τῶν παρὰ βούλησιν ἁμαρτημάτων, καὶ πολιτείας εὐσεβοῦς τε καὶ πρὸς ἀτελεύτητον ἀγούσης ζωὴν ἡγεμόνας καὶ ἀγωγούς. Ἐγὼ γοῦν τοὺς ἐπὶ βεβαιώσει τοῦ σωτηρίου δόγματος, καὶ χρηστῇ πάντων ἀνθρώπων, ὡς εἴρηται, διδασκαλίᾳ θεοπρεπεῖς σύμπαντας κανόνας ἀθροίσας, καὶ τούτων τὸν νοῦν, ἅμα δὲ καὶ τῶν αὐτοὺς φιλοθέῳ γνώμῃ ἑρμηνευσάντων, ὡς οἷόν τε, περιφράσεως ἐν εἴδει ἐπιτεμὼν, μηδὲν μέντοι παραλελοιπέναι τῆς αὐτῶν διανοίας, τό γε εἰς ἡμᾶς ἧκον, φροντίσας, οὐ μὴν ἀλλὰ καὶ ὅσα τοῖς τούτων ἐξηγηταῖς ἔσθ' ὅπη παρεῖται, ἡμῖν δὲ ἐπὶ νοῦν συνέβη πεσεῖν, ἀναγκαῖα οἶμαι, καὶ φιλοθέων ψυχαῖς περιμάχητα, τοῖς ἐντυγχάνουσι μὴ φθονήσαντες, πρόχειρον κατὰ τὴν ἡμετέραν δύναμιν πεποιήκαμεν σύνταγμα. Πάντων δὲ τῶν συνειλεγμένων κανόνων τὴν δύναμιν, εἰς τίτλους εἴκοσι πρὸς τοῖς τέσσαρσι, κατὰ τὸν ἀριθμὸν τῶν παρ' ἡμῖν στοιχείων, διελὼν, καὶ τούτων ἑκάστῳ τὴν προϊσχομένην ὑπόθεσιν, τὸ πρῶτον τῆς ἰδίας λέξεως συγγενὲς αὐτῷ γράμμα καλῶς ἐφαρμόσας, τάς τε προσηγορίας τῶν αὐτοὺς εὑρομένων δηλώσας, καὶ τὰ τῶν τίτλων αὖθις κεφάλαια διὰ τῶν ἀριθμητικῶν ἐμφήνας στοιχείων, ῥᾳδίαν, ὡς οἶμαι, καὶ ἐπιτετμημένην πρὸς τὴν αὐτῶν γνῶσιν φέρουσαν ἕτερον τρίβον· τὴν πρόφασιν, ἐντεῦθεν περιαιρῶν, τῶν ἐντυγχάνειν αὐτοῖς ἀποκνούντων, τὸ προσκορὲς τῆς τούτων πολυεπείας προβαλλομένων τὴν αὐτῶν διάνοιαν καταβαπτιζούσης, πρὸς δὲ, καὶ τὸ μὴ ἐν ἑνὶ μέρει ἑκάστης τῶν ὑποθέσεων τοὺς κανόνας ἀφωρίσθαι. Τῶν χρησίμων δ' ἄρα νενόμικα, καὶ τῆς πολιτικῆς νομοθεσίας βραχέα τε καὶ συντετμημένα, τοῖς συγγενέσι τῶν κανόνων κεφαλαίοις συναρμόσαι, τοῖς ἱεροῖς κανόσι συμμαχοῦντα καὶ συμφθεγγόμενα, καὶ ἐκ περιουσίας τὸ ἀσφαλὲς αὐτοῖς ἐπιμαρτυροῦντα.

Κανόνας δὲ οἱ Πατέρες τὰ σφῶν αὐτῶν ἐπωνόμασαν διατάγματα, τροπικῶς τῇ λέξει χρησάμενοι, ἀπὸ μεταφορᾶς τοῦ

ὀρθοῦ ξύλου, ᾧ χρῆσθαι εἰώθεσαν. 1) οἱ τὰς βαναύσους τῶν τεχνῶν μετιόντες, εἰς ξύλων, ἢ λίθων, ἢ ὁποιωνοῦν ἑτέρων εὐθύτητα· ἀποξυομένοις γὰρ ἐκείνοις παρατιθέμενον ὀρθοῖ ταῦτα καὶ ἐξισοῖ πρὸς τὴν ἀλλήλων ἀκριβῆ σύμπηξιν. Ἡ δὲ τοῦ κανόνος αὕτη προσηγορία καὶ πολλοῖς ἑτέροις παρείληπται 2) λογικῶν τεχνῶν ἐπιστήμοσι· καὶ οἱ τὴν γραμματικὴν γὰρ τεχνησάμενοι, καὶ φιλόσοφοι, καὶ ἰατροὶ, καὶ οἱ τὰς ἁρμονίας τῶν μελῶν συντιθέντες, οὐ μὴν ἀλλὰ καὶ οἱ τοὺς πολιτικοὺς συντετάχασι νόμους, ὡς οὐκ ἀσύμφωναν τὸ τοῦ κανόνος ὄνομα τοῖς ἑαυτῶν συντάγμασιν ἐπεφήμισαν. Εἰσὶ δὲ καὶ οἷς ὅρους ἤρεσε τὰ τοιαῦτα ἐπονομάσαι, ὡς ἀποδιαιροῦντα τῶν ἄλλων καὶ ἀποδιϊστάντα, καὶ ἀπευθύνοντα, τοῦ μὴ παρέγγραπτόν τι καὶ νόθον τοῖς ὁριζομένοις εἰσφέρεσθαι, ὡς καὶ τῷ Ἱπποκράτει καλῶς ἔδοξεν ἔχειν, οὕτω τὰ κεφαλαιώδη τῶν πονηθέντων αὐτῷ ἐπονομάσαι συγγράμματα. Ἀλλὰ τοῖς μὲν τῶν ἄλλων συγγράμμασιν, εἰ κυρίως ἡ τοῦ κανόνος ἐπεφημίσθη ἐπωνυμία, ἑτέροις δεδόσθω σκοπεῖν· τὰ δέ γε τῶν Πατέρων εὐσεβῆ διατάγματα, παντὸς μᾶλλον εἰκότως ταύτην ἔσχε τὴν πρόσρησιν, οἷα τοὺς πειθομένους αὐτοῖς πρὸς τὴν ὀρθὴν ἀπευθύνοντα πίστιν, καὶ πρὸς θεοφιλῆ βίον ἁπλανῶς ἐφελκόμενα. Ἐπικαιρότατον δ' ἂν εἴη καὶ κατὰ μέρος ἐξῆς, ὡς γοῦν ἡμῖν ἐφικτὸν, ἱστορῆσαι, πότε, κἀκ τίνων, καὶ ὅπως εἰς φῶς ἕκαστος τῶν κανόνων προῆλθον, καὶ λύχνος τοῖς ἡμῶν ποσὶ, καὶ φῶς ταῖς κατὰ τὸν βίον ἐγεγόνεισαν τρίβοις. Ἵνα δὲ καὶ καθ' εἱρμὸν ὁ λόγος προΐοι, ἑκάστης συνόδου καὶ τῶν ἰδίᾳ γραψάντων Πατέρων μνημονευτέον, κατὰ τὴν τοῦ χρόνου μέν τοι ἀκολουθίαν, καὶ ἣν οὗτος τάξιν τούτοις 3) ἐπέθηκεν. Ἐπιμνηστέον δὲ καὶ τῶν βασιλέων, καθ' οὓς οἱ ὑποφῆται τῶν θείων τουτωνὶ κανόνων ἐξέλαμψαν· οὕτω γὰρ ἂν ὁ λόγος εὐσύνοπτος εἴη.

Α'. *Περὶ τῶν κανόνων τῶν ἁγίων Ἀποστόλων.*

Πρῶτοι τοίνυν οἱ ἐπ' ὀνόματι τῶν ἁγίων Ἀποστόλων πέντε πρὸς τοῖς ὀγδοήκοντα κανόνες ἐν τῇ τοῦ καλοῦ πρώτῃ μοίρᾳ

1) εἰώθεισαν 1375. — 2) προσείληπται 1340. — 3) οὐ κεῖται τὸ, τούτοις Γ.

ἐκδέδονται, συγγραφέα σχόντες, ὥς φασί τινες, τὸν μέγαν ἐν μάρτυσι Κλήμεντα. Πέτρου δὲ ἦν ἄρα οὗτος ὁμιλητὴς τοῦ μεγάλου· ἀλλὰ δὴ καὶ Παύλου τοῦ θείου, ὡς αὐτὸς δήπου περὶ ἑαυτοῦ ἱστορεῖ· ὃς τρίτος μετὰ τὸν διδάσκαλον Πέτρον τῆς Ῥώμης ἐπίσκοπος κεχρημάτικε, τὸν Λῖνον διαδεξάμενος, καὶ τὸν μαρτυρικὸν ἀνεδήσατο 1) στέφανον, ἐπὶ Τραϊανοῦ βασιλέως. Κλήμεντα δὲ τούτους γράψαι τινὲς ἐστοχάσαντο, ἐκ τοῦ τὸ οἰκεῖον εἰσάγειν πρόσωπον τῷ τελευταίῳ κανόνι, ὥς γε δὴ καὶ ὁ θεῖος Λουκᾶς ἐν ταῖς Πράξεσι ποιῶν δείκνυται· οὐδὲ γὰρ ἱστόρηταί που πάντας εἰς ταυτὸ συνελθεῖν τοὺς ἱεροὺς Ἀποστόλους, καὶ κοινῇ τούτους συντεταχέναι· καὶ εἰκός γε τοὺς ἄκρους τῶν Ἀποστόλων, τῷ πολὺν ἤδη χρόνον τῆς συνουσίας αὐτῶν ἀπολελαυκότι, τούτους ὑπαγορεῦσαι, καὶ γραφῇ δοῦναι κελεῦσαι. Τούτῳ καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τὴν πρὸς τὴν ἑλλάδα φωνὴν ἑρμηνείαν ἀνατιθέασι· πολὺ γὰρ τὸ συγγενὲς καὶ ἄμφω φέρουσι ταῦτα τῆς ἰδέας καὶ τοῦ χαρακτῆρος τῶν λόγων ἐκείνου. Οὐκ ἀγνοῶ δὲ, ὥς τινες τῶν ἀρχαίων, ἀμφιβόλους διὰ ταῦτα τοὺς κανόνας τούτους ἡγήσαντο, ἕως 2) ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη Σύνοδος, τὴν ἀπαρίθμησιν ποιουμένη τῶν ἱερῶν ἁπάντων κανόνων, οὓς αἵ τε οἰκουμενικαὶ καὶ τοπικαὶ συνετάξαντο Σύνοδοι, καὶ οὓς αὖθις ἰδίᾳ τῶν ἐπ' εὐσεβείᾳ διενεγκόντων καὶ ἀρετῇ Πατέρων ἔνιοι, προὔργου τούτων ἀπεμνημόνευσε. Φησὶ γάρ· Τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων Πατέρων καὶ δεχθέντας, καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ἐπ' ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων Ἀποστόλων ὀγδοήκοντα πέντε κανόνας, τὸ κῦρος ἔχειν καὶ ἡμεῖς κελεύομεν, πλὴν τῶν τοῦ Κλήμεντος ἐπιστολῶν τε καὶ διατάξεων· αὗται γὰρ πρὸς τῶν δυσσεβῶν πολὺ τὸ νόθον καὶ σφαλερὸν εἰσεδέξαντο. Ἡ τοιαύτη τοίνυν αὕτη φωνὴ τῶν τοσούτων καὶ τηλικούτων ἀνδρῶν πάντα λογισμὸν περὶ τῶν ἀποστολικῶν κανόνων ἀμφίβολον ἐκ τῆς τῶν πιστῶν καρδίας μετὰ πολλοῦ τοῦ κρείττονος περιεῖλεν.

---

1) ἀνεδύσατο 1379 καὶ Β. — 2) ἕως οὗ Γ.

Β'. *Περὶ τῆς ἐν Καρχηδόνι Συνόδου.*

Τῶν γε μὴν οἰκουμενικῶν τε καὶ τοπικῶν ἁπασῶν, ἡ ἐν Καρχηδόνι Σύνοδος ἀρχαιοτέρα ἱστόρηται, ἔξαρχον μὲν ἐσχηκυῖα τὸν μέγαν Κυπριανόν· εἰς ἐπισκόπους δὲ ἐπληθύνετο πρὸς τοῖς τέσσαρσιν ὀγδοήκοντα· οἳ δὴ καὶ ἓν μόνον ἐξήνεγκαν ὡς ἐν εἴδει κανόνος ψήφισμα, τοὺς καθάπαξ ὑπὸ πάντων αἱρετικῶν τε καὶ σχισματικῶν βαπτισθέντας, τῇ καθολικῇ προσερχομένους Ἐκκλησίᾳ, αὖθις βαπτίζεσθαι, σχισματικοὺς τοὺς περὶ Ναυάτον αἰνιττόμενοι· τηνικαῦτα γὰρ ἡ τούτου αἵρεσις εἰσεφθάρη τῇ Ἐκκλησίᾳ· τούτου τοῦ ψηφίσματος καὶ ὁ μέγας μέμνηται Βασίλειος ἐν τῷ πρώτῳ αὐτοῦ κανόνι, δι' ἐπαίνου μὲν αὐτὸ τιθέμενος, οἰκονομίας δὲ χάριν ἀργίαν αὐτοῦ καταψηφιζόμενος. Ἀλλὰ καὶ ἡ δευτέρα οἰκουμενικὴ Σύνοδος, ἐν τῷ ἑβδόμῳ ταύτης κανόνι, τἀναντία τούτου διατάττεται· διά τοι τοῦτο ἡ ἕκτη καὶ οἰκουμενικὴ Σύνοδος, Ὁ ἐκδοθείς, φησὶ, τοῖς Πατράσι τούτοις κανὼν, ἐν τοῖς τόποις αὐτῶν καὶ μόνοις κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος ἐκράτησε· τοῦτο γὰρ, ὡς ἔοικε, τῷ τότε συνετέλει καιρῷ καὶ τοῖς πράγμασι· διὸ καὶ ἡ τούτων μεταβολὴ, εἰς τὸ μηκέτι ἐνεργεῖν καὶ τοῦτον μετέβαλεν. Ὁ δὲ μέγας οὗτος Κυπριανὸς, ἐπὶ Δεκίου τὸ τῆς μαρτυρίας βραβεῖον ἥρπασε. Δέκιος δὲ μετὰ τὸν ῥηθέντα Τραϊανὸν ἐκκαιδέκατος ἐβασίλευσεν, ἐτῶν ἐξ ἐκείνου παρωχηκότων ἑβδομήκοντα πρὸς τοῖς ἑκατόν.

Περὶ τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου.

Κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ ὁ μέγας ἠύγασε Διονύσιος, ὃς πρός τινα Βασιλίδην 1) περὶ διαφόρων ἔγραψε κεφαλαίων, καὶ ὡς κανόνας ταῦτα ἡ Ἐκκλησία ἐδέξατο. Οὗτος τοιγαροῦν ὁ θεῖος Διονύσιος γέγονε μὲν ἀκροατὴς Ὠριγένους ἐν τῷ τετάρτῳ τῆς βασιλείας ἔτει Φιλίππου, ὃς μετὰ Γορδιανὸν ἐβασίλευσε· τὸν δὲ βίον μεταλλάξαντος Ἡρακλᾶ τοῦ τρισκαιδεκάτου τῆς Ἀλεξανδρέων ἐπισκόπου, τὴν προστασίαν ταύτης ὅδε ἀπαλαμβάνει, καὶ προστὰς ἐπὶ δέκα καὶ ἑπτὰ ἔτεσιν, ἤτοι τοῖς τρισὶ λοιποῖς Φιλίππου, καὶ τῷ ἑνὶ Δεκίου, καὶ τῷ ἑνὶ Γάλλου, καὶ Βολοσσια-

1) Βασιλείδην, 6.

νοῦ τοῦ υἱοῦ Δεκίου, ἐν τῷ δωδεκάτῳ Οὐαλεριανοῦ καὶ Γαλλήνου τοῦ παιδὸς αὐτοῦ, (πεντεκαίδεκα γὰρ οὗτοι ἐβασίλευσαν), πρὸς Κύριον μαρτυρικῷ ἐξεδήμησε τέλει. Ὁ δὲ Βασιλίδης κατὰ τὴν Πεντάπολιν τῆς Λιβύης ἦν παροικίας τινὸς ἐπίσκοπος, ὥς φησιν Εὐσέβιος ἔν τε τῷ ἕκτῳ καὶ ἑβδόμῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας λόγῳ.

Γ'. *Περὶ τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας πρώτης Συνόδου.*

Μετὰ τὸν ῥηθέντα Οὐαλεριανὸν ἔτος ἓν Κλαύδιος ἐβασίλευσε, μεθ' ὃν Αὐρηλιανὸς ἓξ ἔτη τὰ τῆς βασιλείας διῴκησεν. Ἐν τοίνυν τοῖς τούτου χρόνοις, ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας γέγονε Σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, ὃς ταύτης ἐπίσκοπος ὢν, πονηρᾶς αἱρέσεως ἀρχηγὸς ἐγεγόνει· Χριστὸν γὰρ τὸν ἀληθινὸν Θεὸν, ἄνθρωπον ἔλεγε ψιλὸν, θείας χάριτος, καθάπερ οἱ προφῆται, ἠξιωμένον· τὸν δὲ Υἱὸν τοῦ Θεοῦ, λόγον προφορικόν. Τοῦτο μαθόντες οἱ τὰς πρὸς ἕω Ἐκκλησίας ἰθύνοντες, οὐκ ὀλίγοι ἐπὶ τὴν Ἀντιόχειαν συνέδραμον· ὧν ἐξῆρχον Ὑμέναιος Ἱεροσολύμων, Γρηγόριος Νεοκαισαρείας ὁ Θαυματουργὸς, Ἀθηνόδωρος ὁ ἐκείνου ἀδελφὸς, Φιρμιλιανὸς, Καισαρείας τῶν Καππαδοκῶν, καὶ Ἕλενος τῆς Ταρσέων. Καὶ πρῶτον μὲν εἰσηγήσεσι καὶ συμβουλίαις ἐπειράθησαν τῆς κακοδοξίας μεταθεῖναι τὸν Παῦλον, ταῖς ἀπὸ τῶν Γραφῶν ἀποδείξεσι κεχρημένοι· ὅτε δὲ εἶδον ἀνίατα νοσοῦντα, τότε σύμφωνον ψῆφον ἐξενεγκόντες, τῆς ἱερωσύνης τοῦτον ἐγύμνωσαν, καὶ τῆς Ἐκκλησίας ἐξέτεμον· ἀντιτείνοντος δὲ αὐτοῦ καὶ τὴν τῆς Ἐκκλησίας παρανόμως κατέχοντος ἡγεμονίαν, Αὐρηλιανοῦ τοῦ βασιλέως ἡ ἁγία Σύνοδος ἐδεήθη, τὰ περὶ τῆς Παύλου θρασύτητος αὐτὸν ἀναδιδάξαντες· ὁ δὲ, καίπερ Ἕλλην ὑπάρχων, ἀπεφήνατο μὲν, τὸν ἀντιλέγοντα τῇ τῶν ὁμοπίστων ψήφῳ, τῆς ἐκείνων ἀποτμηθῆναι συμμορίας, καὶ οὕτω τῆς Ἐκκλησίας ἐξελαθῆναι· τὰ κατ' αὐτὸν δ' ὅμως ἀνέθετο τῷ τῆς Ῥωμαίων Ἐκκλησίας ἐπισκόπῳ, καὶ τοῖς περὶ αὐτὸν ἀρχιερεῦσιν, ὡς ἂν ἐπισκεψαμένων 1) εἰ δικαίως καθῄρητο, τῆς Ἐκκλησίας ἐκδιωχθείη· καὶ ταῦτα δὲ ὁ

1) ἐπισκεψαμένοις Γ. — ἡ περίοδος αὕτη οὐ κεῖται ἐν Χ. 1340.

Παμφίλου Εὐσέβιος ἱστορεῖ· κανόνες δὲ τῆς συνόδου ταύτης οὐχ εὕρηνται,

Περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ.

Ὅτι μὴ τοῦ ἁγίου Γρηγορίου καὶ μόνον τοῦ θαυματουργοῦ ἐπιστολή, κανόνας ἔχουσα δώδεκα, ὃς καὶ τῆς Συνόδου ταύτης, ὡς εἴρηται, μέρος ἐγένετο· τὰ δὲ κατ' αὐτὸν, ἰδίαν ὁ μέγας Γρηγόριος Νύσσης ἐποιήσατο πραγματείαν.

Περὶ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου.

Μετὰ τὸν μακάριον Διονύσιον, ὡς ἤδη μοι εἴρηται, τεσσαρεσκαιδέκατον Ἀλεξανδρείας ἐπίσκοπον χρηματίσαντα, Θεωνᾶς τὴν προστασίαν ταύτην 2) ἐδέξατο, μεθ' ὃν Μάξιμος· εἶτα ὁ μέγας ἱερομάρτυς Πέτρος. Τούτου ἐν τῷ περὶ μετανοίας λόγῳ κανόνες φέρονται δεκατέσσαρες, περὶ τῶν ἐν τοῖς καιροῖς τῶν διωγμῶν παραπεπτωκότων, εἶτα μετανοησάντων, ὅπως δεῖ τούτους προσδέχεσθαι· ἔτι δὲ καὶ ἐξ ἑτέρου λόγου περὶ τοῦ ἁγίου Πάσχα, οὓς καὶ τοῖς λοιποῖς ἐναρίθμους κανόσιν ἡ Ἐκκλησία πεποίηκεν· οὗτος ἐπὶ Διοκλητιανοῦ τὸ τῆς μαρτυρίας εὐψύχως διήνυσε στάδιον· πέμπτος δὲ Διοκλητιανὸς μετὰ Αὐρηλιανὸν ἦρξεν, ἐτῶν παρεληλυθότων ἐξ ἐκείνου πεντεκαίδεκα.

Δ'. *Περὶ τῆς ἐν Ἀγκύρᾳ Συνόδου.*

Ἐπὶ ταύτῃ τῇ ὑποθέσει, καὶ κατ' ἐκεῖνο τοῦ χρόνου 3) καὶ ἡ ἐν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας Σύνοδος εὐσεβῶς συνελήλυθεν, ἀκριβέστερον ἐκζητήσαντες, ὅπως ἄρα προσῆκεν οἰκονομεῖν τοὺς μετὰ τὴν ἄρνησιν μεταμελομένους. Ἐξῆρχον δὲ τοῦ ἱεροῦ τοῦδε συλλόγου Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασιλεὺς 4), ἐπίσκοπος Ἀμασείας· οἳ καὶ κανόνας περί τε ταύτης, καὶ δὴ καὶ περὶ ἑτέρων ὑποθέσεων, πέντε πρὸς τοῖς εἴκοσι συνεγράψαντο· ὁ δὲ Βασιλεὺς 5) οὗτος ἐπὶ Λικινίου τὸν τῆς μαρτυρίας στέφανον ἀνεδήσατο.

---

1) Τὸ, ἱερομάρτυρος οὐ κεῖται παρὰ Β. ἀλλ' ἐν πᾶσι τοῖς ὑπ' ὄψιν Κώδιξι. 2) ταύτης 1340. — 3) κατ' ἐκεῖνο καιροῦ Γ. — 4) 5) Βασίλειος Β καὶ Γ.

Ε'. *Περὶ τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου.*

Μετὰ ταύτην, ἡ ἐν Νεοκαισαρείᾳ τῇ κατὰ Πόντον συνέστη Σύνοδος· συνῆν δὲ καὶ τούτοις ὁ ἅγιος μάρτυς Βασιλεὺς 1) ἐπίσκοπος Ἀμασείας· οἳ καὶ κανόνας συντάττουσι τέσσαρας πρὸς τοῖς δέκα, εἰς τὴν τῆς Ἐκκλησίας εὐταξίαν συντείνοντας.

Ϛ'. *Περὶ τῆς ἐν Νικαίᾳ πρώτης καὶ Οἰκουμενικῆς Συνόδου.*

Λοιπὸν, ἡ πρώτη καὶ Οἰκουμενικὴ ἁγία Σύνοδος τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων ἐν τῇ κατὰ Βιθυνίαν συνεκροτήθη Νικαίᾳ, ἔτει δεκάτῳ τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου, μετὰ χρόνους τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως εἰς οὐρανούς τε ἀναλήψεως 2) τοῖς θείοις ἄντικρυς ἰσαρίθμους Πατράσιν, ὀκτωκαίδεκα δηλαδὴ πρὸς τοῖς τριακοσίοις, ὧν ἐξῆρχον Σίλβεστρος καὶ Ἰούλιος, τῆς παλαιᾶς Ῥώμης περιφανεῖς πρόεδροι, αὐτῶν μὲν οὐδέτερος παραγεγονὼς, Βίτωνα δὲ καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ, κατὰ τὸν τῆς οἰκείας ἱερατείας χρόνον, τῇ κοινῇ πέμψαντες παρεσομένους Συνόδῳ· Ἀλέξανδρός τε Κωνσταντινουπόλεως, καὶ Ἀλέξανδρος Ἀλεξανδρείας, συναγωνιστὴν καὶ τὸν μέγαν ἐπαγόμενος Ἀθανάσιον, ὃς τηνικαῦτα τοῦ τάγματος ἡγεῖτο τῶν διακόνων· Εὐστάθιος Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Μακάριος· συνῆλθον δὲ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, ὃς ἐξ Ἀλεξανδρείας ἕλκων τὸ γένος, καὶ εἰς πρεσβυτέρου τῆς ἐκεῖ Ἐκκλησίας βαθμὸν ἀναβεβηκὼς, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον, ὦ θρασείας γλώττης! εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν· ἀλλ' οἱ τῆς Συνόδου, τὸ ὁμοούσιον τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων τοῖς πᾶσι κηρύξαντες, τοὺς περὶ τὸν θεομανῆ Ἄρειον, τῷ φρονήματι σφῶν μὴ συμβαίνοντας, αὐτοῖς αὐτῶν δόγμασι 3) τῷ ἀναθέματι παραπέμπουσι· ταύτῃ τοίνυν καὶ περὶ ἐκκλησιαστικῆς καταστάσεως κανόνες ἐξεφωνήθησαν εἴκοσιν.

---

1) Βασίλειος Β καὶ Γ. — 2) εἰς οὐρανούς τε ἀναλήψεως, οὐ κεῖται παρὰ Β. 1340 καὶ 1375. — 3) στόμασι ϛ. καὶ ϛ.

Ζ'. *Περὶ τῆς ἐν Ἀντιοχείᾳ δευτέρας Συνόδου.*

Ἑτέρα Σύνοδος ἐν Ἀντιοχείᾳ τῆς Συρίας αὖθις συνεκροτήθη ἐπὶ Κωνσταντίου, υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, μετὰ πέντε ἔτη τῆς τοῦ πατρὸς αὐτοῦ πρὸς Θεὸν ἀνακλήσεως 1)· οἳ καὶ κανόνας πέντε πρὸς τοῖς εἴκοσιν εἰς κοινὸν ὄφελος τῆς Ἐκκλησίας ἐκδεδώκασιν.

Η'. *Περὶ τῆς ἐν Σαρδικῇ Συνόδου.*

Ἀλλὰ καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος ἐπὶ τῆς βασιλείας τοῦ δηλωθέντος ἤθροιστο Κωνσταντίου· ὁ γὰρ βασιλεὺς οὗτος τῇ τῶν Ἀρειανῶν αἱρέσει προσθέμενος, σπουδὴν ἐποιεῖτο τὰ ἐν τῇ πρώτῃ δογματισθέντα Συνόδῳ μεταποιῆσαι· ὅπερ ὁ ἀδελφὸς αὐτοῦ Κώνστας, τῆς πρεσβυτέρας Ῥώμης κρατῶν, ἐξ ἀναφορᾶς τοῦ τότε Πάπα μαθὼν, πόλεμον ἠπείλησε διὰ γραμμάτων τῷ ἀδελφῷ, εἰ μὴ παύσαιτο κυμαίνων τὴν Ἐκκλησίαν, καὶ τὴν ὀρθὴν πίστιν παρασαλεύων 2)· ὁ δὲ τὸ ἀκριβὲς τῆς πίστεως ζητεῖν 3) ἀντεπέστειλε τῷ ἀδελφῷ, κἀκεῖνο βεβαιωθῆναι διὰ σπουδῆς τυγχάνειν αὐτῷ. Ἔδοξε τοίνυν τοῖς αὐτοκράτορσιν ἀμφοτέροις, Σύνοδον γενέσθαι ἀρχιερέων, καὶ τὴν παρ' ἐκείνων δογματισθεῖσαν πίστιν κρατεῖν· διὸ κελεύσει τούτων ἠθροίσθησαν ἐπίσκοποι τὸν ἀριθμὸν εἷς καὶ τεσσαράκοντα πρὸς τοῖς τριακοσίοις ἐν Σαρδικῇ, τῇ λεγομένῃ Τριαδίτζῃ, οἳ δὴ καὶ τὰ τοῖς Πατράσι δογματισθέντα ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ βεβαίως ἔχειν ἐθέσπισαν, καὶ πάντων οὐχ ἥκιστα τὸ παρ' αὐτῶν συντεθὲν ἱερὸν τῆς πίστεως σύμβολον· τοὺς δὲ τοῦτο τολμῶντας μεταποιεῖν, κληρονόμους εἶναι τοῦ ἀναθέματος· οὐμὴν ἀλλὰ καὶ κανόνας συντάττουσιν εἴκοσι, τὸ ἀσφαλὲς ὁμοῦ καὶ ὠφέλιμον κοινῇ τῇ Ἐκκλησίᾳ πορίζοντας.

Θ'. *Περὶ τῆς ἐν Λαοδικείᾳ Συνόδου.*

Μετὰ τὴν ἐν Σαρδικῇ καὶ ἐν τῇ τῆς Φρυγίας μητροπόλει Λαοδικείᾳ, ἑτέρα Σύνοδος συνέστη ἁγίων Πατέρων, καὶ κανόνας ἐξέθετο ἐννέα καὶ πεντήκοντα, ὅσα γε εἰς τὴν τῆς Ἐκκλησίας ὠφέλειαν οὐδὲν ἐλλείποντας τῶν πρὸ αὐτῶν.

---

1) ἀναλύσεως Β. καὶ 6. —2) διασαλεύων ε. — 3) ζητῶν Γ.

Περὶ τοῦ μεγάλου Ἀθανασίου.

Εὑρεῖν ἔχεις, ἡ φιλόκαλος ἀκοὴ, καὶ τοῦ τῆς Ἐκκλησίας ἐρείσματος, τοῦ μεγάλου Πατρὸς Ἀθανασίου, φημὶ, οὐκ ὀλίγα τῷ παρόντι ἐμπεριειλημμένα συγγράμματι· ὃς τῇ κατὰ Νίκαιαν Συνόδῳ παρὼν, ὡς δεδήλωται, μετ' οὐ πολὺ τὸν τῆς Ἀλεξανδρείας θρόνον ἐνεχειρίζετο, Ἀλέξανδρον τὸν θεῖον διαδεξάμενος· τὸν γοῦν ἀνωτέρω ῥηθέντα ἱερομάρτυρα Πέτρον Ἀχιλᾶς διεδέξατο· τὸν δὲ, ὁ θεῖος Ἀλέξανδρος οὑτοσί· τῶν δὲ τοῦ μεγάλου Ἀθανασίου τροπαίων πλείη μὲν γαῖα, κατὰ τὸ ἔπος, πλείη δὲ θάλασσα· ἀτεχνῶς γὰρ ὑπὲρ ἄνθρωπον ὤφθη τοῖς κατὰ Θεὸν ἀγωνίσμασιν.

Περὶ τοῦ μεγάλου Βασιλείου.

Ἀλλ' ἀνεχώρει μὲν τοῦ κατὰ τὸν βίον σταδίου ὁ ὀλυμπιονίκης οὑτοσὶ, τὰ βραβεῖα τῶν ἄθλων φιλοτίμως ἀπολαμβάνων· ἵνα δὲ μὴ κενὴ προμάχου ἡ ὑπὲρ τῆς ἀληθείας εἴη παράταξις, εὐθὺς τῷ μεγάλῳ Πατρὶ Βασιλείῳ τὸ σύνθημα δίδοται τῆς πρὸς τοὺς ἐχθροὺς τῆς πίστεως πάλης· καὶ οἶμαι μηδένα γε ἀγνοεῖν τῶν καὶ βραχὺ γευσαμένων τῆς ἡδίω μέλιτος ῥεούσης γλώττης ἐκείνου, ὅπως τοὺς μὲν ἐκ περιουσίας κατηγωνίσατο, ἡλίου δὲ φαιδρότερον δαψιλεῖ τῷ φωτὶ τῶν λόγων τὴν Ἐκκλησίαν κατηύγασεν· ὁ μέν γε παραχωρεῖ τῇ νυκτὶ, ὁ δὲ τοῦ τῆς πονηρίας σκότους περιεγένετο· μᾶλλον μὲν οὖν ὁπόσον ἡ λογικὴ φύσις διενήνοχε τῆς ἀψύχου, τοσοῦτον ἑκατέρων τὸ τῆς ἐνεργείας διάφορον· ὁ μὲν γὰρ τὰς ἀκτῖνας τῇ γῇ ἀφιεὶς, τοῖς ὑπὸ τὴν αἴσθησιν μόνον παῤῥησίαν μετὰ γάνους χαρίζεται· αἱ δὲ τούτου τῶν λόγων ἀκτῖνες ἐξότου περιγέγονεν 1) ἄχρι καὶ τήμερον, οὐχ ὅπως τὴν ἐν τῇ γῇ λογικὴν φύσιν, ἀλλὰ τέμνουσαι τὸν ἀέρα, καὶ τὸν οὐρανὸν ὑπερκύπτουσαι, πολλῆς ἡδονῆς καὶ τοὺς τῶν ἀγγέλων ἐμπιπλᾶσι χορούς· εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐτὸς δὲ καὶ περιὼν ἔτι τῷ βίῳ καὶ ἀπὼν τοῖς λόγοις ἀριθμοῦ κρείττους ὁσημέραι πρὸς μετάνοιαν ἕλκων δείκνυται, ἤπου γε οὐδ' ἂν εἷς εἴποι

1) περιεγένοντο B. — ἐξ ὅτου περ γέγονεν ε.

μὴ τὴν τῶν ἀγγέλων φύσιν ἑκάστοτε τοῦτον εὐφραίνειν· τούτου τὸ παρὸν φέρει σύνταγμα τὰς πρὸς τὸν ἅγιον Ἀμφιλόχιον, ἐπίσκοπον Ἰκονίου, κανονικὰς ἐπιστολὰς τρεῖς, εἰς κανόνας διηρημένας τέσσαρας καὶ ὀγδοήκοντα· καὶ ἕτερ' ἄττα πρὸς ταύτας κεφάλαια διαφόρων ὑποθέσεων πέρι.

Περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης.

Τούτῳ καὶ ὁ ἀδελφὸς Γρηγόριος σύμμαχος ἦν, ὁ τὸν τῆς Νύσσης θρόνον κατακοσμήσας, μᾶλλον δὲ τὴν ὑφ' ἡλίῳ σύμπασαν πλουσίῳ τῷ ῥείθρῳ τῶν λόγων ἀρδεύσας· ὃς οὐχ ἧττον τῷ περιόντι τῆς ἀρετῆς καὶ τῷ ὑπὲρ εὐσεβείας ζήλῳ ἢ καθ' αἷμα προσήκειν ἠξίου τῷ ἀδελφῷ· ἵνα δ' ὡς 1) ἐν βραχεῖ τὸ πᾶν τοῦδε γνώρισμα παραστήσω, τούτου τὴν πρὸς Ἀητόϊον, ἐπίσκοπον Μελιτηνῆς, κανονικὴν ἐπιστολήν, ὁ παρὼν ἔρανος τοῖς ἄλλοις συναριθμεῖ.

Ι'. *Περὶ τῆς ἐν Γάγγρᾳ Συνόδου.*

Καὶ ἡ ἐν Γάγγρᾳ δὲ τῇ μητροπόλει τῶν Παφλαγόνων Σύνοδος μετὰ τὴν ἐν Νικαίᾳ πρώτην συνέστη κατά τινος Εὐσταθίου καὶ τῶν ὁμοδόξων ἐκείνῳ. Λέγεται γοῦν Εὐστάθιος οὗτοσὶ, ὡς ὁ Ἑρμείας Σωζόμενος ἱστορεῖ, τὴν ἐν Σεβαστείᾳ τῆς Ἀρμενίας Ἐκκλησίαν ἐπιτροπεῦσαι, μοναχικῆς τε φιλοσοφίας ἄρξαι, καὶ τῆς ἐν ταύτῃ σπουδαίας ἀγωγῆς· ἐδεσμάτων τε ὧν χρὴ μετέχειν καὶ ἀπέχεσθαι διαιτῆσαι, καὶ ἐσθῆτος ἣ δεῖ κεχρῆσθαι, ἠθῶν καὶ πολιτείας ἀκριβοῦς εἰσηγητὴς γενόμενος, ὡς καὶ τὴν ἀσκητικὴν βίβλον, ἥτις πατέρα καὶ δημιουργὸν τὸν μέγαν Βασίλειον ἐπιγράφεται, ἰσχυρίζεσθαί τινας αὐτῷ πονηθῆναι· τοῦτο δὲ ψεῦδος ἄντικρυ· οὐδοπωστιοῦν γὰρ ἐκείνῳ τὰ τῆς βίβλου ταύτης προσῆκεν· εἰ γὰρ καὶ ἐν λόγοις ὁ ἀνὴρ ἐθρυλλεῖτο, καὶ τὸ ἦθος θαυμάσιος ἦν, καὶ ἱκανώτατος πείθειν, ὡς καὶ πολλοὺς τῶν ἐκπορνευομένων ἀνδρῶν τε καὶ γυναικῶν μεταπεῖσαι σώφρονα καὶ σπουδαῖον βίον ἑλέσθαι, ἀλλὰ τὸ ἀληθὲς εἰπεῖν, οὐ προσῆν καὶ τὸ δεινῶς γράφειν αὐτῷ, οὐδὲ γὰρ τὴν περὶ τούτου ἐπιστήμην ἐξήσκητο· τοῦτον τοίνυν φασὶν ὑπὸ

(1) Ἄνευ τοῦ δὲ 1375 Γ.

πολλῆς ἀκριβείας εἰς παραλόγους ἐπιτηρήσεις παντάπασιν ἐκπεσεῖν ἀπαδούσας κομιδῆ τῶν τῆς Ἐκκλησίας νόμων τε καὶ ἐθῶν· οἱ δὲ, αὐτὸν μὲν τοῦ ἐγκλήματος ἐξαιροῦσιν, ἐπαιτιῶνται δέ τινας τῶν αὐτοῦ μαθητῶν, ὡς τὸν ἔννομον διαβάλλοντας γάμον, πάσης σωτηρίας ἐλπίδα τοῖς τούτῳ συνεσχημένοις περιηρῆσθαι· οἷς δὴ πειθόμενοι ἄνδρες τε καὶ γυναῖκες, οἱ μὲν τὰς ἑαυτῶν ἐξώθουν, αἱ δὲ τοὺς ἄνδρας ἠφίεσαν, σωφροσύνης δῆθεν ἐφέσει 1), εἶτα τὸν ἄζυγα μὴ φέροντες βίον, εἰς μοιχείαν ἐξώλισθον· ἀμέλει καὶ ἐν οἴκοις γεγαμηκότων οὔτε εὔχεσθαι, οὔτε μὴν τροφῆς μεταλαμβάνειν ἠνείχοντο, ἀλλὰ καὶ τοὺς γεγαμηκότας τῶν πρεσβυτέρων 2) ὑπερεφρόνουν· καὶ τὰς μὲν τῶν Ἐκκλησιῶν ᾠκειοῦντο καρποφορίας, τὰς δὲ ἐν αὐταῖς συνάξεις αὐτοὶ καὶ τοῖς ἄλλοις ἐκτρέπεσθαι παρηγγύων, ἐν οἰκίαις δὲ μᾶλλον ἐκκλησιάζειν, κἀκεῖ ποιεῖσθαι τὴν κοινωνίαν· οὐ μὴν ἀλλὰ καὶ τῶν ἱερῶν οἴκων, ἐν οἷς μαρτύρων ἀπέκειτο λείψανα, ὡς κοινῶν κατεφρόνουν· καὶ τὰς μὲν ὡρισμένας νηστείας ἠθέτουν, ἐν ταῖς κυριακαῖς δὲ νηστεύειν μᾶλλον ἀνέπειθον· τὰ κρέα καὶ τοὺς ταῦτα ἐσθίοντας ἐβδελύσσοντο· τοὺς συνήθεις χιτῶνας καὶ στολὰς ἀμφιέννυσθαι οὐκ ἠξίουν, ἀλλὰ ξένας παντάπασι καὶ ἀήθεις· γυναῖκες παρ' αὐτοῖς τὴν κόμην ἀποκειρόμεναι, στολαῖς ἀνδράσι πρεπούσαις ἐκέχρηντο 3)· δούλοις, προσχήματι θεοσεβείας, τῶν δεσποτῶν ἀφίστασθαι συνεβούλευον· τοὺς χρήμασι πλουτοῦντας καὶ μὴ χαίρειν αὐτὰ καθάπαξ ἐῶντας, ἀμοιρήσειν τῆς τοῦ Θεοῦ βασιλείας διϊσχυρίζοντο· καὶ πλεῖστα ἕτερα παραπλήσια τούτοις νεωτερίζοντες, ἐδίδασκόν τε καὶ ἐδογμάτιζον. Κατὰ τοίνυν τούτων τοὺς πλησιοχώρους φασὶ συνδραμεῖν ἐπισκόπους, ἧ προειρήκαμεν, καὶ οὓς ἴσμεν κατὰ τῶν ταύτῃ φρονούντων ἐκθέσθαι κανόνας ἐννεακαίδεκα· ἀλλοτρίους δὲ κἀκείνους τῆς καθολικῆς Ἐκκλησίας ψηφίσασθαι, ἂν μὴ κατὰ τοὺς ὅρους τῆς Συνόδου ἕκαστον τῶν σφίσι νενομισμένων ἀποκηρύξωσιν· ἐντεῦθεν λόγος Εὐστάθιον ἐπιδεικνύμενον, ὡς οὐκ αὐθαδείας ἕνεκεν ἀλλὰ τῆς κατὰ Θεὸν

1) σωφροσύνην δῆθεν ματαίως βουλόμενοι 1340 — 2) καὶ ἱερέας γεγαμηκότας ἀπεστρέφοντο 1340.—3) ἀνδρώας στολὰς ἠμφιέννυντο 1340.

ἀσκήσεως εἰσηγεῖτο ταῦτα, καὶ ἐπετήδευεν ἀμεῖψαί τε τὴν στολήν, καὶ παραπλησίως τοῖς ἄλλοις 1) ἱερεῦσι τὰς πρόοδους ποιεῖσθαι· ἐνόμιζε γὰρ ἔσεσθαι τὰ τελευταῖα τῶν πρόσθεν παραίτησιν, εἰ καὶ μηδὲν τῆς αὐτοῦ ἐπινοίας ἀπώνατο, οὐδὲ ἀποδράναι ἴσχυσε τὸ μὴ οὐ δίκην ὑποσχεῖν τῶν τετολμημένων, τὴν τῆς ἱερωσύνης ἀφαίρεσιν· οὐκ οἶδα δὲ τί παθόντες οἱ θεῖοι οὗτοι Πατέρες, ἐφ' ἑκάστῳ κανόνι οὐκ ἀφορισμὸν ἀλλὰ τὸ ἀνάθεμα προσετίθεσαν, τὴν πολλὴν, οἶμαι, τῆς κακίας ῥύμην 2) ἐκ περιουσίας ἀναστεῖλαι βουλόμενοι.

Περὶ ἀναθέματος.

Τούτῳ δὲ τῷ ἀναθέματι ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος εἰς μόνους ἐχρήσατο τοὺς ἐπὶ χρήμασι χειροτονηθέντας 3)· ἐπιφέρει δὲ τοῦτο καὶ μοναχοῖς τε καὶ κληρικοῖς, στρατιωτικὸν ἐπανηρημένοις σχῆμα καὶ μὴ μεταμελομένοις· ἀλλ' ὁ τὴν γλῶτταν χρυσοῦς, ἐν τῇ ὁμιλίᾳ τῇ περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν, οὐκ οἴεται δεῖν ὅλως πιστὸν ἄνθρωπον ἀνάθεμα λέγειν· τοῦτο γὰρ παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει, φησὶ, καὶ τῷ διαβόλῳ ἀνατίθησιν, ὡς μηκέτι χώραν ἔχειν τὸν τοιοῦτον σωτηρίας· ἀλλοτριοῦται γὰρ τοῦ Χριστοῦ καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως ὁ ἀνάθεμα γενόμενος, καὶ προσκληροῦται τῷ Σατανᾷ· καὶ ὥσπερ τὰ τῷ Θεῷ ἀνατιθέμενα τῶν κοινῶν καὶ ἀνθρωπίνων πραγμάτων χωρίζεται, οὕτως ἐκ τοῦ ἐναντίου τὰ τῷ πονηρῷ ἀφορισθέντα ἀποδιαιρεῖται τῶν θείων. Διὰ γὰρ τοῦτο καὶ ὁ συνοδικὸς, ὡς ἔοικε, τόμος ἠθέτηται, ὁ γεγονὼς ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ τοῦ Πατριάρχου Ἀλεξίου, ὁ τοὺς ἀποστάτας ἀναθεματίζων τῶν βασιλέων, καὶ κατ' αὐτῶν αἴροντας ὅπλα, καὶ τυραννίδα 4) μελετῶντας, οἷα τὰ τοῦ μεγάλου πατρὸς Χρυσοστόμου ὀφείλοντα μᾶλλον κρατεῖν ἢ τὰ τῆς τετάρτης Συνόδου καὶ τὰ τῆς ἐν Γάγγρᾳ ταυτησί· ἀλλά γε καὶ οὗτοι συνειδότες ἑαυτοῖς, οἶμαι, πέρα τοῦ μετρίου τὰ τῆς ἐπιτιμίας ἐκτείνουσι, 5) τελευτῶντες φα-

1) τοῖς ἁγίοις Γ. — 2) ὁρμὴν Β. — 3) χειροτονουμένους Γ. — 4) τυραννίας 1340. — 5) ἐκτείνοντας 1340 καὶ Β.

σί· Ταῦτα δὲ ὡρίσαμεν, οὐ κατὰ τῶν ἀσκεῖν προαιρουμένων ἀγανακτοῦντες, ἀλλὰ τῶν ὑπερηφάνῳ διαθέσει τὴν ἄσκησιν μετιόντων, καὶ καινά τινα παρὰ τὰς θείας εἰσαγόντων Γραφάς· ἡμεῖς γὰρ καὶ 1) παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν· καὶ ἐγκράτειαν μετὰ θεοσεβείας ἀποδεχόμεθα· καὶ ἀναχώρησιν μετὰ τοῦ προσήκοντος κόσμου τῶν ἐγκοσμίων πραγμάτων ἀγάμεθα· καὶ γάμους τιμῶμεν σεμνούς· καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιΐας οὐκ ἐξουθενοῦμεν· καὶ λιτότητα ἐνδυμάτων οὐκ ἀτιμάζομεν· τοὺς δὲ ἐλκεχίτωνας καὶ ἐκνενευρισμένους καὶ θρύπτοντας ἑαυτοὺς μαλακοῖς ἐσθήμασιν ἀποστρεφόμεθα· τοὺς οἴκους τοῦ Θεοῦ σέβομεν, καὶ τὰς ἐν τούτοις συνάξεις ὡς ἐπωφελεῖς ἀσπαζόμεθα, οὐ τοῖς οἴκοις συγκλείοντες τὴν εὐσέβειαν, ἀλλὰ πάντα τὸν ἐπ᾽ ὀνόματι τοῦ Κυρίου ἀνεγερθέντα ἱερὸν οἶκον σεπτὸν ἡγούμενοι· καὶ τὰς εἰς τοὺς πτωχοὺς εὐποιΐας τῶν ἀδελφῶν κατὰ τὰς παραδόσεις τῆς Ἐκκλησίας προσιέμεθα· καὶ συλλήβδην εἰπεῖν, τὰ ὑπὸ τῶν θείων Γραφῶν, ἔτι δὲ καὶ τῶν ἀποστολικῶν παραδόσεων ἀγράφῳ ἔθει παραδοθέντα, καὶ στέργομεν, καὶ μήποτε παύσασθαι τοὺς ταῦτα ποιοῦντας εὐχόμεθα.

ΙΑ΄. *Περὶ τῆς β΄. καὶ οἰκουμενικῆς ἁγίας Συνόδου* 2).

Μετὰ τοῦτο καὶ ἡ δευτέρα τῶν οἰκουμενικῶν, νεύσει θείᾳ, συνελήλυθε Σύνοδος, τῷ δευτέρῳ ἔτει τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου, χρόνοις ὑστερίζουσα τῆς ἐν Νικαίᾳ πρώτης δύο καὶ πεντήκοντα· αὕτη τοίνυν, τὴν μὲν βασιλίδα πόλιν, ἱερὸν ἐδείκνυε φροντιστήριον· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱερεῖς συνηγείρετο, ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιάγαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τὸν Ἱεροσολύμων, καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθείς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥῦπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρὸν τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται· καὶ ἅμα τῆς τε βασιλευού-

1) ὁ καὶ οὐ κεῖται παρὰ Γ. — 2) περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου Γ. 3) Ἐδείκνυτο 1375 καὶ ε.

σης ἐπίσκοπος, καὶ τῆς Συνόδου ἔξαρχος ἐχρημάτιζε· μεθ' ὧν Γρηγόριος ὁ τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος, τὸν θρόνον μὲν ἔτι διέπων Κωνσταντινουπόλεως, στάσεως δὲ γενομένης, προθυμότερον ἢ οἱ λῃζόμενοι, τοῦ θρόνου τοῖς βουλομένοις παραχωρήσας, ὃς καὶ τῷ συντακτηρίῳ λόγῳ μᾶλλον ἢ πρότερον καταπλήξας τὴν Σύνοδον, εἰς τὴν ἑαυτοῦ πατρίδα Ναζιανζὸν ἐπάνεισι, καὶ ἣν ἐκ πολλοῦ ὤδινεν ἡσυχίαν ἀσπάζεται· οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ τῆς παλαιᾶς Ῥώμης Δάμασος, τὰ αὐτὰ τῇ Συνόδῳ κρατύνων 1) ἐδείκνυτο. Ὁ οὖν ἱερὸς οὗτος χορὸς τὸν πνευματομάχον διωσάμενοι Μακεδόνιον, ὃς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι πεποίητο, καὶ τοὺς σὺν αὐτῷ τῷ ἀναθέματι καταδικάσαντες, τὸ Πνεῦμα τὸ ἅγιον ὁμότιμον Πατρὶ καὶ Υἱῷ ὡς Θεὸν ἀληθινὸν ἐδογμάτισαν· ἔτι δὲ καὶ τῶν περὶ τὸν ἄνουν Ἀπολινάριον καταψηφισάμενοι, ἔννουν καὶ ἔμψυχον ἀνειληφέναι σάρκα τὸν Κύριον ἐπεψήφισαν 2)· φέρει καὶ τούτων τὸ παρὸν Σύνταγμα οὓς καὶ μόνους ἐκδεδώκασι κανόνας ἑπτά.

Περὶ Τιμοθέου, Θεοφίλου, καὶ τοῦ μεγάλου Κυρίλλου, οἳ τὸν τῆς Ἀλεξανδρείας ἐκ διαδοχῆς ἐκόσμησαν θρόνον 3).

Ἀλλὰ καὶ τοῦ ῥηθέντος τοῦδε Τιμοθέου Ἀλεξανδρείας κανόνες φέρονται κατὰ πεῦσιν καὶ ἀπόκρισιν πεντεκαίδεκα. Τοῦ γοῦν μεγάλου Πατρὸς Ἀθανασίου τὸν τῆς Ἀλεξανδρείας θρόνον πρὸς τῶν Ἀρειανῶν ἁρπῃρημένου, Γρηγόριος ὁ Καππαδόκης τῆς Ἀρειανικῆς ὑπάρχων αἱρέσεως, εἰσερθάρη· καὶ τούτου δίκην δόντος δικαίαν, ὁ μέγας πάλιν ἐπάνεισιν Ἀθανάσιος, ὃν Πέτρος ὀρθόδοξος διαδέχεται· καὶ τούτου πρὸς τοῦ Οὐάλεντος ὑπερορισθέντος, Λούκιος Ἀρειανὸς ἀντεισήχθη· καὶ τούτου ἀποφθαρέντος, Πέτρος αὖθις τοῦ θρόνου ἐπιλαμβάνεται· εἶτα Τιμόθεος οὗτος ὁ πάνυ, ἀναχθεὶς μὲν ἐπὶ τὸν θρόνον κατὰ τὸ τέταρτον

1) κρατύνειν B. καὶ 1340. — 2) ἐπεψηφίσαντο Γ. B.

3) Περὶ τῶν Κανόνων τοῦ ἁγίου Τιμοθέου καὶ τοῦ ἁγίου Κυρίλλου, Ἀλεξανδρείας πατριαρχῶν. B.

ξτος τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, παρὼν δὲ καὶ τῇ ῥηθείσῃ οἰκουμενικῇ δευτέρᾳ Συνόδῳ· μετὰ δὲ τὴν ἑπταετίαν πρὸς Κύριον ἐξεδήμησε, διάδοχον ἐσχηκὼς Θεόφιλον, οὗ καὶ αὐτοῦ ἐπιστολαὶ φέρονται δύο, καὶ κανόνες δύο· τοῦτον ὁ ἀδελφιδοῦς, ὁ μέγας, ῥημι, Κύριλλος διεδέξατο. Εἰσὶ καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ δύο, εἰς κανόνας ἑπτὰ μεριζόμεναι.

ΙΒ'. *Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης Συνόδου.*

Ἦγε μὴν ἁγία καὶ οἰκουμενικὴ τρίτη Σύνοδος, ἔτει τῆς ἀρχῆς τρισκαιδεκάτῳ τοῦ νέου Θεοδοσίου, ἐν τῇ κατὰ Ἀσίαν συνεκροτήθη Ἐφέσῳ, εἰς διακοσίους πληθυνομένη, ἑνὸς καὶ τεσσαράκοντα ἐτῶν ἀπὸ τῆς δευτέρας μέχρι ταύτης ἐκμετρηθέντων· ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο ὁ τῆς Ἀλεξανδρείας περιώνυμος ἐν Πατράσι Κύριλλος, καὶ τοῦ τῆς πρεσβυτέρας Ῥώμης Κελεστίνου καὶ τὸ πρόσωπον πληρῶν καὶ τὸν θρόνον, Ἰουβεναλίος Ἱεροσολύμων, καὶ ὁ τῆς Ἐφεσίων πρόεδρος Μέμνων· οἵτινες, τὸν ἐναγῆ Νεστόριον ἐκ τῆς Ἀντιοχείας μὲν ὁρμώμενον, τὸν δὲ τῆς Κωνσταντίνου θρόνον οὐκ εὐαγῶς ἐγχειρισμένον, δίκας τῆς ἀσεβείας ἀπῄτουν, ἀνθ' ὧν τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν εἰς δύο υἱοὺς τέμνειν οὐ πεφρικὼς, τὸν μὲν, ψιλὸν ἄνθρωπον τοῦ προσλαβόντος λόγου χωρὶς, τὸν δὲ, Θεὸν ἀνὰ μέρος καὶ γυμνὸν τοῦ προσλήμματος ὁ ἀνόητος ἔπλαττεν, ἑνωθέντα δὲ κατὰ σχέσιν ἐκείνῳ, καὶ ὥσπερ τὸν Σωτῆρα Χριστὸν ἀπεστέρει τῆς θεότητος 1), οὕτω καὶ τὴν κυρίως θεοτόκον, τῆς θεοτόκου κλήσεως· ἀλλ' ἡ τῶν θείων Πατέρων Σύνοδος, σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον λαμπρῶς ἐδογμάτισε, ἕνα τε εἶναι Υἱὸν μετὰ τοῦ προσλήμπτου, ἐν δυσὶ μὲν φύσεσι, μιᾷ δὲ γνωριζόμενον ὑποστάσει· ὡς τὸν αὐτὸν εἶναι Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν ἀμφοτέροις τὸ τέλειον ἔχοντα, ἐκ περιουσίας περιγενόμενον τῆς συγχύσεως· τὴν δὲ αὐτὸν ἀσπόρως καὶ ὑπὲρ φύσιν τεκοῦσαν ἀειπάρθενον κόρην, ἀληθῶς καὶ κυρίως ἀπεφήνατο θεοτόκον, τὸν ληρώδη Νεστόριον, αὐτοῖς αὐτοῦ

1) ἑνότητος Β.

δόγμασι, τῷ ἀναθέματι παραπέμψασα· συντάττουσι δὲ καὶ οἵδε κανόνας ὀκτώ.

ΙΓ'. *Περὶ τῆς ἐν Καρθαγένῃ Συνόδου.*

Ἀλλὰ καὶ ἡ ἐν Καρθαγένῃ τῷ τηνικαῦτα γέγονε Σύνοδος, βασιλεύοντος, ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, Ὀνωρίου, ἐν δὲ τῇ Κωνσταντινουπόλει, τοῦ ῥηθέντος Θεοδοσίου τοῦ νέου, συνελθόντων εἰς Καρχηδόνα θείων Πατέρων σιζ' ἐξ Ἀφρικῆς καὶ τῶν ὑποκειμένων ταύτῃ χωρῶν· ἡ γὰρ Καρθαγένη 1) μέρος τῆς Καρχηδόνος ἐστὶν, ἡ δὲ Καρχηδὼν, ἐπαρχία τῆς Ἀφρικῆς· τῆς δὲ Ἀφρικῆς μοῖραί εἰσιν ὀκτώ· πρώτη μὲν, ἣν ἡ Ἀλεξάνδρεια, καὶ ἡ Πενταπόλις Λιβύης, καὶ ἡ καλουμένη ἔρημος Τρίπολις συμπληροῦσι· δευτέρα δὲ ἡ τοῦ Βυζακίου· τρίτη, ἡ τῆς Καρχηδόνος ἡ καὶ προκουνσουλαρία, ἤτοι ἀνθυπατική· εἶτα, Νουμηδίαι δύο, παλαιά τε καὶ νέα· ἔπειτα, Μαυριτανίαι τρεῖς, ἤτοι ἡ Καισαρινσία, ἡ καὶ Καισαριανὴ καλουμένη, ἀπὸ τῆς μητροπόλεως αὐτῆς Καισαρείας, Σιτιφενσία, ἧς ἡ μητρόπολις Σιτίφαινα· καὶ Τιγγιανὴ, ἡ μητρόπολιν ἔχουσα Τίγγιν. Ἐξῆρχε δὲ τῆς Συνόδου Αὐρήλιος ἐπίσκοπος Καρχηδόνος, ὃν καὶ Πάπαν ὠνόμαζον, καὶ οἱ σταλέντες ἐκ τοῦ Πάπα Ῥώμης τοποτηρηταὶ Φαυστῖνος ἐπίσκοπος, Φίλιππός τε καὶ Ἄσελος πρεσβύτεροι· παρῆσαν δὲ καὶ ἕτεροι τοποτηρηταὶ τῶν ἤδη εἰρημένων 2) ἐπαρχιῶν τῆς Ἀφρικῆς τοὺς τόπους ἀναπληροῦντες τῶν μὴ δυνηθέντων ἐλθεῖν εἰς τὴν Σύνοδον· ὅθεν καὶ τὸ τῆς τοποτηρησίας ὄνομα ἐλήφθη ἀπὸ τοῦ τηρεῖν, ὅ ἐστι φυλάσσειν ἤτοι ἀναπληροῦν τοὺς τόπους τῶν στελλόντων αὐτούς.

ΙΔ'. *Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης Συνόδου.*

Ἀλλὰ γὰρ πρὶν χρόνους ἀπὸ τῆς τρίτης ἐξήκειν τριάκοντα, ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος, τῷ πρώτῳ ἔτει τῆς βασιλείας Μαρκιανοῦ τοῦ χρηστοῦ 3) ἐν τῇ περιωνύμῳ πόλει

---

1) Καρθάγενα 1340 ε. — 2) τὰ ἀπὸ τοῦ Φαυστῖνος μέχρι τοῦ, ἤδη εἰρημένων, οὐ κεῖνται ἐν τοῖς 4 Κώδιξι Βιέννης, εὑρηνται δὲ ἐν Χ. 1330, 1375, ε, καὶ παρὰ Γ. ἐν περισελίδῳ. — 3) τοῦ φιλοχρίστου Γ.

τῆς Βιθυνίας ἠθροίζετο Χαλκηδόνι, εἰς τριάκοντα δὲ καὶ ἑξακοσίους τὸν ἀριθμὸν ἐξετείνετο· ἧς λογάδες ἐγνωρίζοντο Ἀνατόλιος Κωνσταντινουπόλεως, Μάξιμος Ἀντιοχείας, Ἰουβενάλιος Ἱεροσολύμων· καὶ δὴ, Πασχασῖνός 1) τε καὶ Λουκίνσιος ἐπίσκοποι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου Πάπα τῆς πρεσβυτέρας Ῥώμης, οὗ μέγα τὸ κλέος, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος· ὃς οὐ μόνον ἀποστόλοις οἰκείοις ἀλλὰ καὶ τῇ θαυμασίᾳ ἐπιστολῇ ἐπεκύρου τὰ τῆς Συνόδου, ἣν καὶ στήλην ὀρθοδοξίας οἱ Πατέρες προσηγορεύκασιν· οἵτινες τὸν ἀρχιμανδρίτην Κωνσταντινουπόλεως Εὐτυχῆ, καὶ τὸν προασπιστὴν αὐτοῦ Διόσκορον Ἀλεξανδρείας, εἰς μίαν φύσιν ἀνακιρνῶντάς τε καὶ συγχέοντας τὸν ἐν δυσὶ φύσεσι γνωριζόμενον ἕνα Χριστὸν τὸν Κύριον ἡμῶν Θεὸν, φεύγοντας δῆθεν τὴν τοῦ Νεστορίου διαίρεσιν, ἀσεβείας ἕνεκα, τῷ ἀναθέματι κατεδίκασαν· κανόνας οὗτοι δωροῦνται τῇ Ἐκκλησίᾳ τριάκοντα. Ζήτει τὰ περὶ ταύτης καὶ ἐν τῷ ά. κεφαλαίῳ τοῦ Ε στοιχείου.

Περὶ τοῦ ἁγιωτάτου Γενναδίου Κωνσταντινουπόλεως.

Τῷ δευτέρῳ ἔτει Λέοντος τοῦ μεγάλου, ὃς μετὰ Μαρκιανὸν ἐβασίλευσεν, ὁ θεῖος Γεννάδιος εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνάγεται, τὸν Ἀνατόλιον διαδεξάμενος, καὶ μετὰ τεσσαρεσκαιδέκατον ἔτος πρὸς Κύριον ἐκδημεῖ· ἐπιστολὴ δὲ φέρεται τούτου πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον, δεικνῦσα, ὡς οὐδεμιᾶς ἀτοπίας ὑπερβολὴν καταλείπει τὸ χειροτονεῖν ἐπὶ χρήμασιν 2).

ΙΕ'. *Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς ε'. Συνόδου.*

Τῇ δέ γε ε'. καὶ οἰκουμενικῇ Συνόδῳ, κανὼν οὐδοτιοῦν ἐμέλησεν, ὅτι μὴ τῷ ἀναθέματι καθυποβαλεῖν 3) τοὺς περὶ Ὠριγένην, Διδύμους τε καὶ Εὐαγρίους, τοὺς τὴν Ἑλληνικὴν μυθολογίαν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ φιλονεικήσαντας παρεισενεγκεῖν· προϋπαρξιν γὰρ ἐληρῴδουν ψυχῶν, καὶ πολλὰ σώματα τὴν αὐτὴν ψυχὴν μετενδύεσθαι, καὶ τέλος εἶναι τῆς ἀτελευτήτου κολάσε-

1) Πασκασῖνος 1375 Β. καὶ Γ.—2) τὸ ἐπὶ χρήμασι χειροτονεῖν Γ.—3) ὑποβάλλει Γ.

ως· ἤθροιστο δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου, ὑστερίζουσα τῆς πρὸ αὐτῆς τετάρτης χρόνοις δύο πρὸς τοῖς ἑκατόν· καὶ τέμενος μὲν ὥσπερ ἱερὸν ἑαυτῇ τὴν βασιλίδα τῶν πόλεων ἵδρυτο, πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων Πατέρων συνδρομῇ ἐκρατύνετο· ὧν ἡγοῦντο τὰ πρῶτα μὲν Μηνᾶς, εἶτα Εὐτύχιος, ἐκ διαδοχῆς τοὺς ἀρχιερατικοὺς τῆς βασιλευούσης ἰθύνοντες οἴακας, Ἀπολινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, πρὸς δὲ καὶ Δίδυμος, καὶ Εὐάγριος, Εὐστοχίου 1) τοῦ τῶν Ἱεροσολύμων τόπον ἀναπληροῦντες· ὁ δέ γε Ῥώμης Βιγίλιος 2), παρὼν μὲν τηνικαῦτα τῇ πόλει, οὐ παρὼν δὲ τῇ Συνόδῳ, τὴν κοινὴν τῶν Πατέρων πίστιν οὐχ ἥκιστα ἐπεκύρου λιβέλλῳ.

ΙΣ'. *Περὶ τῆς ἁγίας καὶ Οἰκουμενικῆς ς'. Συνόδου* 3).

Οὐ μὴν οὐδὲ τῇ κυρίως ἕκτῃ προῦργου εἶναι νενόμισται κανόνας συγγράφειν, ἑτέροις ἐχούσῃ τὸν νοῦν· ἥτις χρόνοις ἑνὸς δέοντος πεντήκοντα καὶ ἑκατὸν κατόπιν τῆς προγεγονυίας ἐλθοῦσα, τὴν βασιλίδα καὶ αὖτη πόλιν ἱερὸν ἐπήξατο θέατρον· ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόρους ἄνδρας ἀποδυσαμένους σχοῦσα πρὸς τὸν ἀγῶνα, λαμπρῶς νικῶσαν τὴν εὐσέβειαν ἐπεδείκνυ 4) ἔτει τρισκαιδεκάτῳ τῆς βασιλείας Κωνσταντίνου τοῦ λεγομένου Πωγωνάτου· ταύτης ἀρχηγοὶ ἐγνωρίζοντο Γεώργιός τε Κωνσταντινουπόλεως, καὶ Θεόδωρος καὶ Γεώργιος πρεσβύτεροι, ἅμα Ἰωάννῃ διακόνῳ τὸν τόπον ἀναπληροῦντες Ἀγάθωνος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης· τοῦ δὲ Ἀλεξανδρείας Πέτρος μοναχὸς ἐξεπλήρου τὸν τόπον· Γεώργιος δὲ μοναχὸς καὶ πρεσβύτερος, τοῦ Ἱεροσολύμων· οὗτοι δὴ τοὺς περὶ Σέργιον, Πύρρον, Παῦλον, Πέτρον, τοὺς δυσσεβῶς τῆς Κωνσταντινουπόλεως προεδρεύσαντας, ἔτι δὲ καὶ Ὀνώριον Ῥώμης, Κῦρον Ἀλεξανδρείας, Μακάριον Ἀντιοχείας, Θεόδωρον τῆς Φαρὰν, Στέφανον καὶ Πολυχρόνιον, τῇ τοῦ ἀναθέματος καθυπέβαλον δίκῃ· ἀνθ' ὧν ἐν

1) Εὐτυχίου Β. — 2) Βιγίλλιος 1373. — 3) Ἐν χειρογράφῳ α προστίθεται, εἰς πεντήκοντα ἐνιαυτοὺς ἡ τῶν μονοθελητῶν διήρκεσεν αἵρεσις. — 4) ἀπεδείκνυ 1340 καὶ Γ. — 5) ἐξεπλήρου . . . μοναχὸς, οὐ κεῖται παρὰ Β.

θέλημα καὶ μίαν ἐνέργειαν καὶ μετὰ τὴν σάρκωσιν τὸν Κύριον ἡμῶν ἐδογμάτιζον ἔχειν· οἱ δὲ τῆς Συνόδου, δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως 1) ἔχειν μετὰ τὴν σάρκωσιν τὸν Κύριον ἡμῶν ἀπεφήναντο καὶ ἐκύρωσαν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ' ὅτι οὐδεμία φύσις τῶν δύο ἐπὶ Χριστοῦ φύσεων ἀθέλητος ἦν, ἢ ἀνενέργητος· ἵνα μὴ τῶν ἰδιωμάτων τούτων ἑκατέρας φύσεως ἀναιρουμένων, τῆς ἐνεργείας, λέγω, καὶ τῆς θελήσεως, καὶ αἱ φύσεις, ὧν αὗταί εἰσιν ἰδιώματα, συναναιρεῖσθαι δοκῶσιν.

ΙΖ'. *Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς πενθέκτης Συνόδου.*

Ἀμέλει καὶ τοῦ δευτέρου Ἰουστινιανοῦ, τοῦ Ῥινοτμήτου δηλαδὴ, βασιλεύοντος, ὃς ἦν υἱὸς Κωνσταντίνου τοῦ Πωγωνάτου, τῇ τούτου κελεύσει συνῆλθον ἐπίσκοποι ἑπτὰ καὶ εἴκοσι καὶ διακόσιοι, ἐν τῷ λεγομένῳ Τρούλλῳ· οἶκος δὲ ἦν οὗτος περιφανὴς ἐν καλῷ τῶν βασιλείων Κωνσταντινουπόλεως κείμενος· ἔργον δ' ἦν αὐτοῖς, πάντα τε τὰ πεπραγμένα ταῖς πρώην Συνόδοις κυρῶσαι, καὶ κανόνας συντάξαι εἰς τὴν τῆς Ἐκκλησίας ἀφορῶντας κατάστασιν· συνέζευκται δὲ καὶ αὕτη τῇ ἕκτῃ, καὶ τὴν προσηγορίαν ἐκείνης ἐδέξατο· οὐ γὰρ περὶ πίστεως καὶ δογμάτων αὐτῇ ζήτησις γέγονεν, ὥστε καὶ αὐτὴν ἰδιαίτατα παρὰ τοῦτο λογίζεσθαι Σύνοδον· μᾶλλον δὲ κυρίως πενθέκτη λέγοις' ἄν, ἅτε τὸ ὑστέρημα τῆς τε πέμπτης καὶ τῆς ἕκτης ἀναπληρώσασα, τὴν τῶν ἱερῶν, φημὶ, κανόνων συνθήκην· ἔστι δὲ καὶ οἰκουμενική· ἡγεμόνες γὰρ ἐν αὐτῇ ἐγνωρίζοντο Παῦλος Κωνσταντινουπόλεως, Πέτρος Ἀλεξανδρείας, Γεώργιος Ἀντιοχείας, Ἀναστάσιος Ἱεροσολύμων, Ἰωάννης νέας Ἰουστινιανουπόλεως, Βασίλειος τῆς Γορτυναίων μητροπόλεως τῆς Κρήτης νήσου, καὶ τὸν τόπον ἐπέχων πάσης τῆς Συνόδου τῆς ἁγίας Ἐκκλησίας Ῥώμης· οὕτω γὰρ ἐν τοῖς παλαιοῖς εὑρήνται βιβλίοις μετὰ τὴν τοῦ βασιλέως ὑπογραφὴν ἕκαστοι τῶν πατριαρχῶν τε καὶ μητροπολιτῶν ὑπογραφῇ τὸ οἰκεῖον σημειωσάμενοι ὄνομα καὶ ἀξίωμα·

1) ὁμοίας Γ. καὶ ε'. 1010, οὐ κεῖται δ' ὅλως ἡ λέξις ἐν 1375.

13 καὶ οἱ Λατῖνοι, καιρίως ὑπὸ ταύτης πληττόμενοι, μὴ εἶναι ταύτην οἰκουμενικὴν διατείνονται, τῷ μὴ τοποτηρητὰς ἐσχηκέναι τοῦ Πάπα Ῥώμης, ὡς ἄλλης οὔσης τῆς ἕκτης Συνόδου, ἣ κἀκεῖνος συνήνεσεν, ἥτις ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου συνήθροιστο· ταύτην δὲ μετὰ χρόνους γενέσθαι συχνοὺς, κελεύσει τοῦ Ῥινοτμήτου Ἰουστινιανοῦ· πρῶτον μὲν γὰρ οὐκ ἂν ἠνέσχοντο οἱ τοσοῦτοι ἅγιοι Πατέρες ἐπιφανοῦς οὕτω ψεύδους ἁλῶναι, λέγοντες ἐν τοῖς ἑαυτῶν κανόσιν, ὥρισεν ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ Σύνοδος· ἄλλως τε καὶ οὓς ὁ Πάπας εἶχε λεγάτους, ἀντιπροσώπους δηλαδὴ, τῆς ἡμετέρας μὲν ὄντας ἐπαρχίας, ὥστε καὶ 1) ταῖς κοιναῖς συνελεύσεσιν ἀντ' ἐκείνου τούτους ἐπιδημεῖν, δυσχεροῦς οὔσης αὐτῷ τῆς ἀφίξεως διὰ τὸ τῆς ὁδοῦ μῆκος· οὐ γὰρ δὴ καὶ παρ' ἐκείνου ἐχειροτονοῦντο, ὡς ὁ Καισαρεὺς ἱστορεῖ Κωνσταντῖνος· πάντες τοίνυν οὗτοι τῇ ἁγίᾳ Συνόδῳ παρῆσαν, λέγω δὴ ὁ Θεσσαλονίκης, ὁ Δαρδανείας, ὁ Ἡρακλείας Θράκης, ὁ Κορίνθου, ὁ Ῥαβέννης, καὶ ὁ Κρήτης οὗτος Βασίλειος, ὃς ἰδίᾳ φέρειν τὰ δίκαια τῆς Ἐκκλησίας Ῥωμαίων ὑπέγραψε· κανόνας δὲ καὶ οὗτοι συντάττουσι δύο πρὸς τοῖς ἑκατόν.

ΙΗ'. *Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης Συνόδου.*

Χρόνων δὲ παρερρυηκότων εἴκοσι καὶ ἑκατὸν, ὀγδόου δὲ ἱσταμένου τοῦ Κωνσταντίνου τῇ βασιλείᾳ, καὶ τῆς μητρὸς αὐτοῦ Εἰρήνης, Νίκαιαν μὲν τὴν τῶν Βιθυνῶν μητρόπολιν 2) κριτήριον τῆς εὐσεβείας καὶ ἡ ἑβδόμη Σύνοδος δείκνυσιν, ὥς γε δὴ καὶ ἡ πρώτη Σύνοδος πάλαι. Εἰς ἑπτὰ δὲ καὶ ἑξήκοντα καὶ τριακοσίους ἄνδρας ἱεροὺς ἐπληθύνετο, ταξιάρχας τῆς ἱερᾶς ταύτης φάλαγγος προβαλλομένη Ταράσιον Κωνσταντινουπόλεως, τὸν ἐν ἱερεῦσι Θεοῦ περιβόητον, Πέτρον τοῦ τῶν ἱερέων τάγματος πρῶτον, καὶ ἕτερον Πέτρον πρεσβύτερον καὶ ἡγούμενον τῆς τοῦ ἁγίου Σάββα μονῆς, τὸν τόπον Ἀδριανοῦ τοῦ Πάπα Ῥώμης κληρωσαμένους, Ἰωάννην τε καὶ Θωμᾶν πρεσβυτέρους,

1) δὲν, α.6.—2) ἐν τῷ ναῷ τῷ ἐπωνύμῳ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, α. ἐν τῷ ναῷ τῷ περιωνύμῳ, ε'.

καὶ καλὸν ἐν ἀσκηταῖς λάμποντας, τῶν τῆς Ἀνατολῆς πατριαρχῶν τὸν τόπον ἐπέχοντας, λέγω δὴ, Ἀπολιναρίου Ἀλεξανδρείας, Θεοδωρήτου Ἀντιοχείας, καὶ Ἠλία Ἱεροσολύμων. Αὕτη τοίνυν ἡ ἁγία Σύνοδος, τοὺς εἰδώλα τὰς προσκυνητὰς τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ εἰκόνας, ὦ μιαρᾶς γλώττης, ἀποκαλοῦντας, δι' ὧν εἰδώλων πλάνη διώκεται, κοινῇ ψήφῳ, δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος 1) ὑποβάλλουσι· καὶ κανόνας δύο πρὸς τοῖς εἴκοσιν εἰς τὴν τῶν πιστῶν ὠφέλειαν συντιθέασιν, ἐξάκις χιλιοστοῦ διακοσιοστοῦ ἐννενηκοστοῦ ἕκτου τηνικαῦτα διϊππεύοντος ἔτους.

Περὶ τοῦ ἁγίου Ταρασίου Κωνσταντινουπόλεως.

Ἀλλὰ καὶ ὁ δηλωθεὶς θεῖος Ταράσιος, πρὸς Ἀδριανὸν τὸν Πάπαν ἐπέστειλε Ῥώμης, οὐκ ὀλίγοις ἐκ τῆς θείας Γραφῆς μαρτυρίοις χρησάμενος, καὶ ἀποφήνας, μηδὲν ἀσεβείας ἐλλείπειν τὸ ἐπὶ χρήμασι χειροτονεῖν.

ιθ'. *Περὶ τῆς λεγομένης* 2) *ἁγίας καὶ οἰκουμενικῆς ἁ καὶ ϛ' Συνόδου.*

Γέγονέ τις καὶ ἑτέρα κατὰ τὴν Κωνσταντινούπολιν Σύνοδος, ἐν τῷ περιφανεῖ τῶν ἁγίων Ἀποστόλων νεῷ, ἥτις ἐπιγέγραπται « Ἡ ἁγία καὶ μεγάλη πρώτη καὶ δευτέρα Σύνοδος ». Ἐπὶ τῶν ἡμερῶν δέ φασι ταύτην ἠθροῖσθαι Φωτίου πατριάρχου Κωνσταντινουπόλεως, ἡνίκα Βασίλειος ὁ Μακεδὼν τὰ σκῆπτρα τῆς Ῥωμαίων διεῖπεν ἀρχῆς, ἑβδομηκοστοῦ καὶ πέμπτου ἔτους μετὰ τὴν ἑβδόμην ἑξήκοντος Σύνοδον· στάσεως δέ τινος κατὰ τὴν πρώτην ἐπισυμβάσης συνέλευσιν, καὶ δευτέρας συνδρομῆς τοῖς θείοις Πατράσιν ἐδέησεν, ἐν ᾗ καὶ τὰ δογματισθέντα κυρωθῆναί τε καὶ γραφῇ δοθῆναι, ὡς ἐντεῦθεν διηρημένως τὴν μίαν ὀνομάζεσθαι Σύνοδον· κανόνας δὲ καὶ αὕτη συντέθεικεν ἑπταικαίδεκα.

---

1) τῷ ἀναθέματι 1340 καὶ Β. — 2) τὸ, λεγομένης οὐ κεῖται ἐν 1340.

Κ'. *Περὶ τῆς περὶ* 1) *τὸν Φώτιον Συνόδου.*

Ἀλλὰ καὶ ἕτεροι τρεῖς κανόνες ἐξεφωνήθησαν τῇ Συνόδῳ, ἅτις τὸν Φώτιον τῷ θρόνῳ Κωνσταντινουπόλεως τελευτῶσα ἐνίδρυσε, μετὰ τὴν τοῦ θείου μετάθεσιν Ἰγνατίου, ἑκατέρου πολλάκις πρότερον ἐκβαλλομένου καὶ ἀντεισαγομένου.

Ἀνακεφαλαίωσις τοῦ συντάγματος. 2)

Αὕτη τῶν ἱερῶν Συνόδων μετὰ τοὺς θείους Ἀποστόλους ἡ τῶν χρόνων τάξις ἱστόρηται, καὶ ταύτας εἶναι τῆς συνελεύσεως τὰς αἰτίας, καὶ οἵδε οὓς ἑκάστη κανόνας ἐκδέδωκε, καὶ οὓς ἰδίᾳ τῶν θεσπεσίων αὖθις ἀνδρῶν ἔνιοι συνεγράψαντο· ἐπειδὴ γὰρ τὴν ἐξ ἐθνῶν ἅμα καὶ Ἰουδαίων πληθὺν, τῇ ὑπὲρ νοῦν καὶ λόγον ἐνσάρκῳ τοῦ Θεοῦ Λόγου οἰκονομίᾳ τῆς ἐξαπάτης τοῦ διαβόλου καὶ τυραννίδος ἀποφοιτήσασαν, καὶ πρὸς τὸν ἀληθῆ Βασιλέα καὶ Κύριον τῆς δόξης ὀρθῇ τῇ πίστει καὶ εἰλικρινεῖ προσκολληθεῖσαν τῇ διανοίᾳ, θείοις ἔδει νόμοις πρὸς τὰ κρείττω δημαγωγεῖσθαι, καὶ τοὺς μὲν καλῶς τούτων βιοῦντας ἐπιστηρίζεσθαι 3), τοὺς πρὸς κακίαν δὲ ἀποῤῥέοντας ἐπανάγεσθαι, οἱ θεῖοι Πατέρες τοῖς πολιτικοῖς ἐῤῥῶσθαι πολλὰ ῥᾴσαντες νόμοις, θεσμοὺς θείους καὶ κανόνας ἐκπεφωνήκασι, τὸν ἑκάστου βίον καὶ τρόπον ῥυθμίζοντας. Τούς γε μὴν πλημμελοῦντας, οὐκ ᾤοντο δεῖν, καθάπερ ἐκεῖνοι, μετέρχεσθαι, καὶ λώροις στίζειν 4), καὶ πληγαῖς ἀνηκέστοις καθυποβάλλειν, ζώων δίκην ἀλόγων, ὥσπερ οὐ τῇ κακίᾳ μάχεσθαι, τὰ δὲ τῶν ἀνθρώπων κακῶς ποιεῖν προαιρούμενοι σώματα, τῆς ἀληθοῦς μετανοίας τῇ τελευταίᾳ τούτους πληγῇ προαρπάζοντες· ἀπάδοντα γὰρ τῶν τοῦ Θεοῦ οἰκτιρμῶν ἄντικρυς ταῦτα ἡγήσαντο, τοῦ τὸ πλανώμενον ἐπιστρέφειν, καὶ τὸ ἀπολωλὸς ἐκζητεῖν, καὶ τὸ ἀσθενὲς ἐνισχύειν, ὁπόση δύναμις, ἐπιτάξαντος· καὶ ταῦτα χάριτος ὕσης καὶ υἱοθεσίας ἠξιωκότος τοὺς ἀπαλλάξαντας τέως τῆς ἐπαχθείας τοῦ νόμου· προσέτι γε μὴν καὶ τοὺς θαυμάσαντας, ὅπως πρώην

---

1) κατὰ τὸν Φώτιον B. 1340. — 2) X. 1375. — ἡ ἐπιγραφὴ οὐ κεῖται ἐν 1340Γ. B.—3) καὶ τοὺς μὲν . . . ἐπιστηρίζεσθαι, οὐ κεῖται παρὰ B. — 4) μαστίζειν B.

τὰ τῶν δαιμόνων ἦγον ἐν θαύματι· τὸ μέντοι σεσηπὸς ἤδη τῶν μελῶν, τῇ μαχαίρᾳ τοῦ Πνεύματος εὖ μάλα καὶ σοφῶς ἀποξέειν, ὅπως μὴ καὶ τοῖς ἔγγιστα τῇ κοινωνίᾳ λυμήνηται, ἄριστον ἔγνωσαν, καὶ κάλλιστα ἔχειν τῷ κοινῷ πρὸς ἀσφάλειαν. Ἵνα τοίνυν οἱ μετ' ἐκείνους ποιμένες τε καὶ διδάσκαλοι τύπον ἔχοιεν ὥσπερ διδαχῆς 1), οὕτω δὴ καὶ ἰατρείας πνευματικῆς 2), γραφῇ τὸ κατάλληλον ἑκάστῃ τῶν νόσων ἐσημειώσαντο φάρμακον, πρότερον μετὰ τοῦ ἁγίου ταῦτα σκεψάμενοι Πνεύματος, τοῦ σοφῶς οἰκονομοῦντος καὶ διευθύνοντος 3) τὰ ἡμέτερα. Ὅθεν οἱ τὰ τούτων ἐν τοῖς τοιούτοις περὶ ἐλαχίστου τῶν σφετέρων τιθέμενοι λογισμῶν, τῶν ἐσχάτων ἂν εἶεν τιμᾶσθαι δίκαιοι, ὅτι τοὺς ἀνθρωπίνους καὶ δειλοὺς καὶ τὰς ἐπισφαλεῖς ἐπινοίας κατὰ τὸ λόγιον, τῶν τ' ἀληθινῶν καὶ βεβαίων τοῦ Πνεύματος νόμων αὐθεκάστῳ προτετιμήκασι γνώμῃ· ἀλλὰ τούτων μὲν ἄλις. Εἴη δὲ μήτε τοὺς ἐντυγχάνοντας τῷ συγγράμματι τῷδε τινὸς τῶν χρησίμων, μήτε 4) μὴν ἡμᾶς τῶν ἀμοιβῶν τοῦ πόνου διαμαρτεῖν· ὡς ἂν δὲ μηδὲ ὁ χρόνος λανθάνων εἴη τοὺς ἐντυγχάνοντας, ὃς ὑπ' αὐγὰς ἡλίου τὰ τῆς πραγματείας προήνεγκε ταυτησί, μετὰ τὴν ἑξαπλῆν τῶν ἐτῶν χιλιάδα, καὶ τὴν ὀκταπλῆν αὖθις ἑκατοντάδα, τρίτον καὶ τεσσαρακοστὸν ἔτος τὴν φορὰν ἀτεχνῶς ἐμέτρει τοῦ χρόνου.

Ἔτι καὶ περὶ τῶν πολιτικῶν νόμων, ὅθεν ἔσχον τὴν ἀρχήν, καὶ ὅπως συνέστησαν.

Οὐδὲν δὲ οἷον καὶ περὶ τῶν πολιτικῶν νόμων βραχέα διαλαβεῖν, καὶ ὅθεν ἔσχον καὶ οὗτοι τὴν γένεσιν, ὡς ἐφικτόν, ἱστορῆσαι· ἐπειδὴ καὶ τούτων ἐνίους τοῖς τῶν ἱερῶν κεφαλαίοις κανόνων, ὡς ἄν τινας ἐπικούρους, δεῖν ᾠήθημεν προσαρμόσαι. Κατὰ τὴν πρώτην Ὀλυμπιάδα, καθ' ἣν ὄγδοον μετὰ τὸ ἑπτακοσιοστὸν καὶ τετρακισχιλιοστὸν ὁ κόσμος ἤνυεν ἔτος, Ῥωμύλος βασιλεύει τῆς Ῥώμης· μεθ' ὃν ἕτεροι τὸν ἀριθμὸν ἓξ ἀλλήλους ἦσαν διαδεχόμενοι· καὶ χρόνος αὐτοῖς τὰ τῆς βασιλείας ἐμέτρει τέταρτος καὶ τεσσαρακοστὸς πρὸς τοῖς διακοσίοις· ὑπὸ

1) διαδοχῆς 1340. — 2) πατρικῆς, παρ' ἄλλοις. — 3) διεξάγοντος Γ. — 4) τοὺς ἐντυγχάνοντας . . . τῶν χρησίμων, μήτε, οὐ κεῖται παρὰ Β.

βασιλείας 1) τοίνυν ἰθυνομένης τῆς πόλεως, ῥῆγες τὰ τῆς πολιτείας διώκουν, δευτέραν μετά γε τὸν βασιλέα τὴν ἐξουσίαν ἀνηρημένοι· καὶ τὸ ἐκείνοις δοκοῦν νόμου δύναμιν εἶχε τῇ πολιτείᾳ, οὐδέπω γὰρ ἐν γράμμασι νόμος ἦν· κατὰ δὲ τὴν ὀγδόην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα, εἰς δημοκρατίαν τῆς βασιλείας μεταπεσούσης, καὶ τῶν ῥηγῶν γενομένων ἐκ μέσου, τῆς δὲ τῶν ὑπάτων εἰσαχείσης ἡγεμονίας, ὁ δῆμος Ῥωμαίων ἀορίστῳ τινὶ νόμῳ, ἢ συνηθείᾳ, μᾶλλον εἰπεῖν, ἐκέχρητο· ἀλλὰ πρὶν εἴκοσι χρόνους ἐξήκειν, ἄνδρας ὁ δῆμος ἐκλεξάμενοι δέκα, ὧν ἦρχεν Ἄππιος Κλαύδιος, νόμους τούτοις ἐπιτετράφασι θεῖναι· οἱ δὲ συναγαγόντες τὰ σποράδην κείμενα, ὡσπερεὶ νόμιμα τῆς Ῥώμης ἔθη, ἐρανισάμενοί τε καὶ Ἀθήνηθεν οὐκ ὀλίγους τῶν Ἑλληνικῶν νόμων, ὅσοι τε εἰς Σόλωνα τὴν ἀναφορὰν αὐχοῦσι καὶ Δράκοντα, πρὸς δὲ καὶ ὅσους τὸν Λυκοῦργον λόγος ἐσχηκέναι πατέρα, καὶ Μίνωα, καὶ τοὺς τοιούτους, βίβλους ἐκ τούτων συντάσσουσι δυοκαίδεκα· Σόλων μὲν γὰρ καὶ Λυκοῦργος τοὺς ἀρίστους τοῖς Ἕλλησι συγγεγραφέναι λέγονται νόμους, ὁ μὲν, Ἀθήνησι, Λυκοῦργος δὲ, παρὰ Λακεδαιμονίοις· ἀλλ' ὁ μὲν Λυκοῦργος 2) παλαιὸς ἦν· τῷ γὰρ ἑξηκοστῷ καὶ πέμπτῳ ἔτει τῆς Ἰλίου ἁλώσεως ἐγνωρίζετο, Λατίνων βασιλεύοντος Πρόκα Σιλουΐου· Σόλων δὲ τοῖς Ἀθηναίοις νόμους ἐτίθει τῇ ἕκτῃ καὶ τεσσαρακοστῇ Ὀλυμπιάδι, τοὺς τοῦ Δράκοντος περιελών, πλὴν τῶν φονικῶν. Ταῖς οὖν εἰρημέναις βίβλοις ὁ δῆμος ἐχρῆτο ἕως ὑπατείαις ἦγετο καὶ δημοκρατίαις, ὡς εἴρηται· κατ' ἐνιαυτὸν γὰρ ὁ δῆμος δύο τῶν εὐπατριδῶν προϊσχόμενοι 3), ὥστε τὰ πολιτικὰ πάντα καὶ τὰ τῆς στρατείας διοικεῖν πράγματα, ὑπάτους τούτους ὠνόμαζον· καὶ τὸ σχῆμα τοῦτο τῆς πολιτείας ἐπὶ χρόνοις ἤρκεσε τέσσαρσι καὶ ἑξήκοντα πρὸς τοῖς τετρακοσίοις. Γαΐου δὲ τὴν ὑπατείαν τε καὶ δημοκρατίαν εἰς βασιλείαν αὖθις ἀμείψαντος, καὶ τῆς πολιτείας ἐπιδιδούσης, αὐξάνεσθαι καὶ τὰς ὑποθέσεις συνέβαινε καὶ τὰς δίκας, ὡς καὶ ποικιλοτέρων καὶ καινοτέρων δεῖσθαι νόμων τὴν πολιτείαν. Ταύτη τοι καὶ

1) βασιλέα 1340 καὶ ε. — 2) τοὺς ἀρίστους . . . ἀλλ' ὁ μὲν Λυκοῦργος, οὐ κεῖται παρὰ Β. — 3) προϊσχόμενος Γ.

ὁ σεβαστὸς Αὔγουστος ἐκεῖνος ὁ Καῖσαρ, ὃς μετὰ Γάϊον ἐβασίλευσεν, οὐχ ὅπως ὅσοι σοφίᾳ τῶν πολλῶν ἦσαν κρείττους, ἐφῆκε νομοθετεῖν, ἀλλά γε καὶ τοῖς τοῦ δήμου καὶ στρατηγοῖς, καὶ ὅ,τι ἂν ἕκαστος εἴποι, παρὰ πᾶσιν ἐδοκιμάζετο· καὶ εἰ τῶν χρησίμων ἔδοξε, τοῖς προλαβοῦσι τῶν νόμων εὐθὺς ἀνεγράφετο. Ταῦτα πάλιν ὁ πολὺ μετὰ τὸν Αὔγουστον ἄρξας Ἀδριανὸς, ἀθροίσας εἰς ἕν, τὰ μὲν τῶν ἄλλων πάντων, ἰδίαν ἐποιήσατο πραγματείαν ἐν βίβλοις θεωρουμένην πεντήκοντα, δίγεστα τούτοις ἤτοι Πανδέκτην ὄνομα θέμενος, ὡς ἐκ πολλῶν δηλαδὴ συλλεγέντα· ἰδίᾳ δὲ ὅσα οἱ βασιλεῖς διωρίσαντο, ἐν βιβλίοις ἔγραψε δώδεκα, ἅπερ ὠνόμασε κώδικας, ἤτοι βασιλικὰς διατάξεις· ἀλλὰ καὶ οὕτω δυσχερὴς ἦν ἡ τῶν νόμων κατάληψις, πλάτος ἐχόντων τοῖς λογισμοῖς οὐχ ὁρίζον· καὶ μάλιστα τῶν κατὰ καιροὺς βασιλέων τὰ δοκοῦντα σφίσι προστιθέντων 1) τοῖς κώδιξι, περὶ ὧν οὔπω πρότερον ἔκειτο νόμος. Οὐ μὴν ἀλλὰ καὶ λατινικὴ λέξις καὶ φράσις εἰσέτι τοὺς νόμους κρύπτουσα τοὺς συνιέναι 2) ταύτην μὴ δυναμένους, ἰσχυρῶς ἀπετείχιζε, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας ἐστέρει, περὶ ἓν ἔθνος ταύτην ἱστᾶσα. Ὁ δὲ περιώνυμος ἐν βασιλεῦσιν Ἰουστινιανὸς, τοῦ πλήθους τῶν τοῦ νόμου κεφαλαίων τὰ τῷ καιρῷ καὶ τοῖς πράγμασι μόνον χρήσιμα ἐκλεξάμενος, οὐ μὴν ἀλλὰ καὶ τὸ πλάτος ὡς οἷόν τε ἐκτεμών, καὶ τὰ δὶς περὶ αὐτῶν κείμενα ἐξελών, ἔτι καὶ πρὸς τὴν Ἑλληνικὴν τά τε τῶν κωδίκων καὶ τὰ τῶν διγέστων μεταβέβληκε φράσιν· πρὸς δὲ καὶ νόμων εἰσαγωγὴν ποιησάμενος, ὥσπερ τινὰ πρῶτα στοιχεῖα, ἱνστιτοῦτα τὸ βιβλίον ὠνόμασεν· εἰσαγωγὴν γὰρ τοῦτο δηλοῖ· ἀλλ' ἐπεὶ τὸ σύνταγμα τῶν διγέστων κατ' ἐπιτομὴν, ὡς εἴρηται, συνετέθη, ἔδοξέ τισι πολλὰ τῶν καιριωτέρων ἐκ τῆς σπουδασθείσης συντομίας παραλελεῖφθαι· διὸ πάλιν ὡρίσθη καὶ ἐγένοντο τὰ λεγόμενα παράτιτλα, καθ' ἕκαστον τίτλον ἀναπληρώσεις ἔχοντα τῶν παραλελειμμένων χρησίμων· ἐξηγηταῖς δὲ καὶ ὑπουργοῖς οὐκ ὀλίγοις ὁ βασιλεὺς εἰς ταῦτα ἐχρήσατο. Στέφανος γάρ τις εἰς πλάτος τὰ δίγεστα ἐξηγήσατο· Κύριλλος κατ' ἐπιτομήν· Δωρόθεος μέσῃ τάξει ἐχρή-

1) προστιθεμένων 1375. — 2) συνεῖναι: B. ε.

σατο· Θαλέλαιος Κήνσωρ τοὺς κώδικας εἰς πλάτος ἐκδέδωκε· Θεόδωρος Ἑρμουπολίτης συντετμημένως· ἔτι δὲ συντομώτερον Ἀνατόλιος· ὁ δὲ Ἰσίδωρος στενώτερον μὲν τοῦ Θαλελαίου, πλατύτερον δὲ τῶν λοιπῶν δύο. Ἀμεῖψαι δὲ θελήσας ὁ βασιλεὺς καί τινας τῶν παλαιῶν διατάξεων, νεαρὰς ἑβδομήκοντα καὶ ἑκατὸν ἐριλοπόνησε διατάξεις, καὶ ἰδίαν ταύταις χώραν ἀπένειμεν· ἤμειψε γὰρ τὸ περὶ γάμων, τὸ περὶ φαλκιδίου, καὶ τῶν τοιούτων, καὶ δὴ καὶ τὸ περὶ νόθων, ἅπερ ὁ μέγας πρῶτος διετάξατο Κωνσταντῖνος, συμπαθέστερον περὶ τοὺς τοιούτους διατεθείς. Ταύτας δὲ τὰς νεαρὰς διά τινος ἐξέθετο Τριβουνιανοῦ, δεξιοῦ μὲν ἄλλως τὴν φύσιν, καὶ εἰς ἄκρον πᾶσαν παιδείαν ἐξησκημένου, φιλοχρηματίᾳ δὲ δαιμονίως ἁλισκομένου· διὸ καὶ ἐν τῷ ταύτας συγγράφειν, πολλοὶ τῶν ἐχόντων δίκας χρήμασιν αὐτὸν ὑποφθείροντες παρέπειθον, τὰ μὲν πρὸς τὸ συμφέρον αὐτοῖς μεθαρμόττειν, τὰ δὲ πρὸς ἀσάφειαν καὶ διχόνοιαν σχεδιάζειν· τελευταῖος δὲ πάντων, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Λέων ὁ σοφὸς, μίαν τὰ πάντα ποιησάμενος πραγματείαν διά τινος Σαββατίου πρωτοσπαθαρίου, καὶ τὰ διέχοντα τῇ θέσει συνάψας εἰς ἕν, τά τε δίγεστα καὶ τοὺς κώδικας, καὶ πολλὰ τῶν ἰνστιτούτων, καὶ αὐτὰς τὰς τοῦ Ἰουστινιανοῦ νεαρὰς, ἐν βιβλίοις μὲν ἑξήκοντα, τεύχεσι δὲ ὠργάνωσεν ἓξ, πᾶν ἐναντίον καὶ τὴν χρῆσιν οὐ παρεχόμενον ἐν τοῖς πράγμασιν ἀποκρίνας τε καὶ ὑπεζελών, διὰ τὸ, ὡς εἰκὸς, πολλὰ τῶν ἀρχαίων νομοθετημάτων παρευδοκιμηθῆναι 1) τοῖς ὕστερον· ἀλλὰ καὶ τῶν ἐκλεγέντων τὴν συνθήκην τῆς φράσεως, μηδὲν περιττὸν ἔχειν καὶ παρέλκον ἐφρόντισεν· ἔπειτα τὰ ἀνὰ μέρος καὶ διεσπαρμένως περὶ τοῦ αὐτοῦ πράγματος εἰρημένα, εἰς μίαν κατέστησε τίτλου περιοχήν· πεποίηκε δὲ καὶ οὗτος νεαρὰς διατάξεις εἴκοσι πρὸς ταῖς ἑκατόν· ἀλλ' οὐ πᾶσαι τὴν σήμερον πολιτεύονται· ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. Δεῖ δὲ ἄρα καὶ τὰ κεφάλαια κατὰ στοιχεῖον τοῦ παρόντος συντάγματος ὡς ἐν πίνακι γραφῇ παραδοῦναι. (Ζήτει περὶ νόμων καὶ ἐν τῷ Ζ΄. κεφ. τοῦ Ν στοιχείου).

---

1) παραδοκιμασθῆναι Γ. παραδεχθῆναι 1340.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

Ματθαῖος οἰκτρὸς ἐν μοναστηῖς καὶ θύτης,
Πίνακα τοῦτον ὀργάνοι τῶν Κανόνων 1).

Ἀρχὴ σὺν Θεῷ τοῦ Α στοιχείου.

Περὶ τῆς ὀρθοδόξου πίστεως.

ά. Περὶ τῶν ἀρνησαμένων τὴν ἀμώμητον ταυτηνὶ τῶν Χριστιανῶν πίστιν, καὶ ὅπως τοὺς μεταμελομένους τούτων προσίεσθαι δεῖ.

β΄. Περὶ αἱρετικῶν, καὶ ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας.

γ΄. Πῶς δεῖ τὰς λεγομένας ἀγάπας ποιεῖν, ἤτοι συμπόσια.

δ΄. Περὶ ἀγορᾶς καὶ πράσεως. *Νόμοι* 2).

έ. Περὶ ἀλογευσαμένων, ἤτοι ζωοφθόρων.

ς΄. Περὶ ἀναγνωστῶν.

ζ΄. Περὶ ἀναθέματος.

ή. Περὶ ἀντιμινσίου.

θ΄. Περὶ ἀποδημίας ἐπισκόπων καὶ κληρικῶν.

ί. Περὶ ἀπολυτικῶν γραμμάτων.

ιά. Περὶ τῶν ἁρπαζόντων ἐπισκόπων τὰς μὴ ἀνηκούσας αὐτοῖς Ἐκκλησίας.

ιβ΄. Περὶ τῶν ἁρπαζόντων ληστρικῶς τὰ ἀλλότρια.

ιγ΄. Περὶ τῶν ἁρπαζόντων ἐπὶ γάμῳ γυναῖκας.

ιδ΄. Περὶ ἀρρενομανίας.

ιέ. Περὶ ἀρχόντων, ὁποίους εἶναι δεῖ τούτους. *Νόμοι.*

ις΄. Περὶ τῶν ἐν ἀφέδρῳ γυναικῶν.

ιζ΄. Περὶ ἀφηλίκων.

ιή. Περὶ ἀφορισμοῦ. *Νόμοι.*

---

1) Ματθαῖος οἰκτρὸς ἐν μοναχοῖς καὶ θύτης, Πίνακα τοῦτον ὠργάνωσε κανόνων· ε. Ματθαῖος οἰκτρὸς ἀρετῆς πάσης ξένος κτλ. ὡς ἀνωτέρω. δ. δ.

Ἀρχὴ τοῦ Β στοιχείου 1).

Κεφ. ά. Περὶ τοῦ ἁγίου βαπτίσματος.

β΄. Περὶ τῶν ἀμφιβαλλομένων νηπίων εἰ ἐβαπτίσθησαν.

γ΄. Περὶ τῶν βαπτιζομένων νηπίων τῶν Ἀγαρηνῶν, καὶ περὶ τῶν βαπτιζομένων παρὰ ἀνιέρων 2).

δ΄. Περὶ τῶν βαπτιζομένων ἐξ Ἰουδαίων.

ε΄. Περὶ βασιλέως *Νόμοι*.

ς΄. Πότε ὁ βασιλεὺς εἰς τὸ ἅγιον εἴσεισι θυσιαστήριον.

ζ΄. Ὅτι βασιλέα ὑβρίζειν οὐ δεῖ.

ή. Περὶ τῶν βαθμῶν τοῦ γάμου. *Νόμοι*.

θ΄. Περὶ τῶν βδελυττομένων τοὺς ἐννόμους γάμους, τὸν οἶνον, τὰ κρέα, καὶ ἕτερα.

ί. Περὶ βίας καὶ δυναστείας. *Νόμοι*.

ιά. Περὶ βιβλίων τῆς θείας Γραφῆς γνησίων καὶ νόθων.

ιβ΄. Περὶ βιοθανῶν, ἤτοι τῶν ἑαυτοὺς ἀναιρούντων.

ιγ΄. Περὶ βισέκτου.

Ἀρχὴ τοῦ Γ στοιχείου 3).

Κεφ. ά. Περὶ τῶν τοῦ γάμου βαθμῶν. *Νόμοι*.

β΄. Περὶ γάμων ἐπιτετραμμένων καὶ κεκωλυμένων. *Νόμοι*.

γ΄. Περὶ τῶν τοὺς ἐννόμους γάμους βδελυττομένων.

δ΄. Περὶ διγάμων, τριγάμων, καὶ πολυγάμων ἀνδρῶν τε καὶ γυναικῶν.

έ. Περὶ τῆς δευτερογαμῆσαι βουλομένης γυναικὸς, ἐν τῇ ἀποδημίᾳ ἢ στρατείᾳ τοῦ ἀνδρὸς αὐτῆς ἀφανισθέντος.

ς΄. Ὅτι τῷ διγαμοῦντι οὐ δεῖ συνεστιᾶσθαι τὸν ἱερολογήσαντα πρεσβύτερον.

ζ΄. Ὅτι τοὺς εἰς γάμον ἀπιόντας Χριστιανοὺς, οὐ δεῖ παιγνίοις προσέχειν.

ή. Περὶ τῶν γαμουμένων παρθένων γυναικῶν παρὰ γνώμην τῶν οἰκείων 4) γονέων.

---

1) Στοιχεῖον τὸ Βῆτα. α. β. δ. — 2) καὶ περὶ τῶν . . . ἀνιέρων, οὐ κεῖται ἐν τοῖς Κῶδ. α. β. γ. δ. 1340, 1375 καὶ Γ. — 3) Στοιχεῖον τὸ Γάμμα. α. β. δ. — 4) ἰδίων Γ.

θ΄. Περὶ γάμων παρανόμων συγγενικῶν 1).

ι. Περὶ τῶν ἐπὶ 2) γάμῳ γυναῖκας ἁρπαζόντων.

ια. Περὶ τῶν ἐπὶ γάμῳ λαμβανόντων τὰς τῷ Θεῷ ἀφιερωμένας.

ιβ΄. Ὅτι οὐ δεῖ γάμους συναλλάττειν μετὰ αἱρετικῶν.

ιγ΄. Ὁ γάμος ἐκ ποίων αἰτιῶν λύεται 3). *Νόμοι.*

ιδ΄. Περὶ γυναικῶν διακόνων καὶ χηρῶν.

ιε. Περὶ γυναικῶν μεμνηστευμένων, ἐν ᾧ καὶ περὶ μνηστείας.

ιϛ΄. Περὶ τῶν τὰς ἰδίας γυναῖκας ἐκβαλλόντων προφάσει εὐλαβείας ἢ παραλόγως.

ιζ΄. Ὅτι τῶν ἰδίων γυναικῶν χωρίζεσθαι δεῖ τοὺς ἐπισκόπους.

ιη. Ὅτι τῶν ἰδίων γυναικῶν δεῖ τοὺς ἱερωμένους ἐγκρατεύεσθαι, ὅτε τὰ ἅγια μεταχειρισεῖσθαι μέλλουσιν.

ιθ΄. Περὶ τῶν γυναῖκας συνεισάκτους ἐχόντων ἐπισκόπων ἢ κληρικῶν.

κ΄. Περὶ τῶν γυναιξὶ συλλουομένων.

κα. Ὅτι γυναῖκας οὐ δεῖ πρεσβύτιδας γίνεσθαι.

κβ΄. Ὅτι γυναῖκας οὐ δεῖ εἰσέρχεσθαι εἰς τὸ ἅγιον θυσιαστήριον.

κγ΄. Ὅτι τὰς γυναῖκας δεῖ ἐν Ἐκκλησίᾳ σιγᾶν.

κδ΄. Ὅτι οὐ δεῖ γυναῖκα ἀνδρικὴν περιβεβλῆσθαι στολήν.

κε. Ὅτι γυναῖκα λεχὼ οὐκ ἀναγκαῖον τὰς νενομισμένας νηστείας τηρεῖν.

κϛ΄. Περὶ τοῦ γυναῖκα ἔχοντος δαιμονῶσαν.

κζ΄. Περὶ τῶν γυναικῶν τῶν ἐν ἀφέδρῳ, ἤτοι τῶν οὐσῶν ἐν ῥύσει.

κη. Περὶ τῶν γυναικῶν πρὸς τὸ ἀμβλῶσαι φάρμακα δεχομένων.

κθ΄. Περὶ γυναικὸς τῆς ἀμελῶς ἐχούσης περὶ τὸ κύημα, ἢ ἐκτιθεμένης.

λ΄. Περὶ τῶν γυναῖκας παρθένους βιαζομένων.

λα. Περὶ γοητείας.

1) γυναικῶν δ. Γ. — 2) ἐν γάμῳ, ε. — 3) καὶ λύσις γάμου ἀζήμιος· καὶ περὶ τοῦ δι' ἄσκησιν λυομένου γάμου, ε.

Ἀρχὴ τοῦ Δ στοιχείου 1).

Κεφ. ά. Περὶ δαιμονώντων, ἢ δαιμονᾷν ὑποκρινομένων.

β΄. Περὶ δανειστῶν καὶ δανείου καὶ ἐνεχύρων. *Νόμοι.*

γ΄. Περὶ διαζυγίου. *Νόμοι.*

δ΄. Περὶ διαθήκης. *Νόμοι.*

έ. Περὶ διακόνων.

ς΄. Περὶ διγάμων.

ζ΄. Πῶς δεῖ διδάσκειν τὸν λαὸν τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους.

ή. Περὶ δικαιοσύνης. *Νόμοι.*

θ΄. Περὶ δικαστηρίων, καὶ τῶν δίκας ἐχόντων κληρικῶν τε καὶ λαϊκῶν, ἐν ᾧ καὶ περὶ κατηγόρων καὶ μαρτύρων 2).

ί. Ὅτι δὶς ἐπὶ τὸ αὐτὸ ἐκδικεῖν οὐ χρή.

ιά. Περὶ τῶν διωκόντων τινὰς δι' εὐσέβειαν.

ιβ΄. Περὶ δούλων ἐλευθερίας ἢ κληρώσεως. *Νόμοι.*

ιγ΄. Περὶ δωρεῶν. *Νόμοι.*

Ἀρχὴ τοῦ Ε στοιχείου 3).

Κεφ. ά. Περὶ ἐγγύης. *Νόμοι.*

β΄. Περὶ ἐθῶν τῆς Ἐκκλησίας ἀγράφων.

γ΄. Περὶ ἐθῶν Ἑλληνικῶν.

δ΄. Περὶ ἐθῶν πολιτικῶν.

έ΄. Περὶ εἰρηνικῶν γραμμάτων.

ς΄. Περὶ εἰκόνων θείων 4).

ζ΄. Περὶ ἐμπρησμοῦ. *Νόμοι.*

ή. Περὶ ἐμφυτεύσεως. *Νόμοι.*

θ΄. Περὶ ἐνδυμάτων ἁρμοδίων τοῖς ἱερωμένοις.

ί. Περὶ ἐνεχύρων. *Νόμοι.*

ιά. Περὶ ὧν ἔχουσιν αἱ Ἐκκλησίαι καὶ οἱ ἐπίσκοποι πρεσβείων καὶ προνομίων.

---

1) στοιχεῖον τὸ Δέλτα. α. β. δ. — 2) ἐν ᾧ . . . μαρτύρων, ἐπισκόπων, καὶ κληρικῶν· ἀλλὰ ταῦτα οὐ κεῖνται ἐν τοῖς ὑπ' ὄψιν ἡμῶν κώδιξι. 1375. καὶ α. γ. ε. — οὐ κεῖται 1340 Γ. καὶ β. παρὰ Βευερηγίῳ δὲ ἀναγινώσκεται, θ. Περὶ τῶν δικαζομένων δι' οἰκεῖα ἐγκλήματα ἐπισκόπων καὶ κληρικῶν. — 3) στοιχεῖον τὸ Ε. α. β. γ. — 4) ἁγίων Β. Ε.

ιδ΄. Περὶ Ἐκκλησιῶν οἰκοδομῆς καὶ καθιερώσεως.

ιγ΄. Περὶ τῶν ἐν Ἐκκλησίᾳ προσφύγων. *Νόμοι.*

ιδ΄. Ὅτι οὐ δεῖ ἐν Ἐκκλησίαις δύο πόλεων ἕνα εἶναι κληρικόν.

ιέ. Ὅτι οὐ δεῖ τῆς Ἐκκλησίας ἔνδον τὰς λεγομένας ἀγάπας ἢ συμπόσια γίνεσθαι, ἢ τῶν ἱερῶν ταύτης ἔνδον περιβόλων καπηλεῖα εἶναι, ἤ τι κατ' ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤ τινα μετὰ γυναικὸς καταμένειν.

ις΄. Ὅτι τὰ τῶν Ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι δεῖ· καὶ ὅπως δεῖ τοὺς ἐπισκόπους ταῦτα διοικεῖν.

ιζ΄. Περὶ ἐπισκόπων.

ιή. Ὅτι τοὺς ἐπισκόπους χωρίζεσθαι δεῖ τῶν ἰδίων γυναικῶν.

ιθ΄. Περὶ ἐπισκόπων Ἐκκλησίας λαμβανόντων διὰ προστασίας ἀρχόντων.

κ΄. Περὶ ἐπισκόπου χειροτονηθέντος καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν, ἢ ἀπελθόντος καὶ μὴ δεχθέντος· ἢ μὴ δυνηθέντος ἀπελθεῖν τῷ 1) ὑπὸ ἐθνῶν τὰς Ἐκκλησίας κατέχεσθαι 2).

κά. Περὶ ἐπισκοπῶν μητροπόλεων γινομένων, καὶ ὅτι οὐ δεῖ ἐν μιᾷ ἐπαρχίᾳ δύο εἶναι μητροπολίτας.

κβ΄. Ὅτι δεῖ τοὺς ἐπισκόπους τὰς ἐπισκοπὰς καὶ τὰ μοναστήρια ἀνακαλεῖσθαι, εἰ κοινὰ γένοιντο καταγώγια.

κγ΄. Περὶ τῶν τοῦ ἐπισκόπου ἰδικῶν πραγμάτων, καὶ ὅπως δεῖ τὰ τῆς Ἐκκλησίας διοικεῖν αὐτόν.

κδ΄. Ὅτι τὸν ἐπίσκοπον καὶ οἰκονόμον ἔχειν δεῖ τῶν τῆς Ἐκκλησίας πραγμάτων.

κέ. Ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον μοναστήριον κτίζειν ἐπὶ λύμῃ τῶν τῆς Ἐκκλησίας αὐτοῦ πραγμάτων.

κς΄. Ὅτί δεῖ τὸν ἐπίσκοπον χορηγεῖν τοῖς ἐνδεῶς ἔχουσι τῶν κληρικῶν ἐκ τῶν τῆς Ἐκκλησίας πραγμάτων.

κζ΄. Ὅτι τοῦ ἐπισκόπου τελευτήσαντος οὐ χρὴ τὰ τούτου πράγματα ὑπὸ τῶν κληρικῶν αὐτοῦ ἢ τοῦ μητροπολίτου ἁρπάζεσθαι, ἀλλὰ φυλάσσεσθαι τῷ χειροτονηθήσεσθαι μέλλοντι.

---

1) διὰ τὸ B. — 2) ἐνταῦθα καὶ περὶ πρεσβείων βασιλικῶν.

κή. Ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον εἰς πρεσβυτέρου κατιέναι βαθμόν 1).

κθ΄. Ὅτι ὁ ἐπίσκοπος κατὰ μοναχοὺς ἀποκαρεὶς τῆς ἱερωσύνης ἐκπίπτει.

λ΄. Ὅτι οὐ δεῖ γίνεσθαι ἐπίσκοπον ἐν κώμῃ ἢ πόλει μικρᾷ.

λά. Περὶ χωρεπισκόπων.

λβ΄. Περὶ ἐπιορκίας. *Νόμοι.*

λγ΄. Περὶ ἐπιτρόπων καὶ κουρατόρων. *Νόμοι.*

λδ΄. Περὶ εὐνούχων.

λέ. Περὶ εὐχῶν εὐταξίας.

λς΄. Περὶ ἐξορκιστῶν.

Ἀρχὴ τοῦ Ζ στοιχείου 2).

ά. Περὶ τοῦ ζέοντος ὕδατος τοῦ τοῖς θείοις μυστηρίοις ἐμβαλλομένου.

β΄. Περὶ ζωγραφίας δι' ἡδονῆς τὰς ψυχὰς λυμαινομένης.

γ΄. Περὶ ζωοφθόρων κτηνοβατῶν.

Ἀρχὴ τοῦ Η στοιχείου 3).

Κεφ. ά. Περὶ ἡγουμένων.

β΄. Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων κληρικῶν.

γ΄. Περὶ τοῦ τῆς ἡμέρας διαστήματος. *Νόμοι.*

Ἀρχὴ τοῦ Θ στοιχείου 4).

Κεφ. ά. Περὶ θεάτρων καὶ θυμελικῶν διαφόρων παιγνίων.

β΄. Περὶ θεολογίας καὶ ὀρθοδόξου πίστεως 5).

γ΄. Περὶ τῶν ἁγίων Θεοφανείων 6).

δ΄. Περὶ τῶν θυσιαστήρια ἱστάντων κληρικῶν παρὰ γνώμην τῶν οἰκείων ἐπισκόπων.

Ὅτι εἰς τὸ ἅγιον θυσιαστήριον ἱερωμένοις μόνοις ἐπιβαίνειν νομαλές· εἰσέρχονται δὲ καὶ βασιλεῖς, ὅτε τὰ δῶρα τῇ θείᾳ τραπέζῃ προσοίσειν μέλλουσι· λαϊκοῖς δὲ ἢ γυναιξὶν εἰσιέναι ἀπείρηται.

---

1) καὶ περὶ παραιτήσεως, ε. — 2) στοιχεῖον τὸ Ζῆτα. α. ξ. δ. — 3) στοιχεῖον τὸ Ἦτα α. ξ. δ. — 4) στοιχεῖον τὸ Θῆτα α. ξ. δ. — 5) 6) οὐ κεῖνται ἐν 1340, 1375, Γ. καὶ ε.

Ἀρχὴ τοῦ Ι στοιχείου 1).

Κεφ. ά. Περὶ ἱερῶν σκευῶν καὶ ἱεροσυλίας.

β΄. Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ ἱεροῦ περιβόλων τὰς λεγομένας ἀγάπας ποιεῖν, ἢ καπηλεῖα εἶναι, ἢ τι κατ' ἐμπορίαν προτιθέναι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤ τινα μετὰ γυναικὸς καταμένειν.

γ΄. Περὶ τῆς θείας ἱερουργίας.

δ΄. Περὶ Ἰουδαίων, καὶ ὅτι μετ' αὐτῶν κοινωνίαν ὅλως ἔχειν οὐ δεῖ τοὺς πιστούς 2).

Ἀρχὴ τοῦ Κ στοιχείου 3).

Κεφ. ά. Περὶ τῶν καθαιρεθέντων ἤδη ἐπισκόπων καὶ κληρικῶν, καὶ ὑπὸ πόσων ἐπισκόπων καθαιροῦνται.

β΄. Περὶ τῶν καινιζομένων ἐκ βασιλέων Ἐκκλησιῶν ἢ πόλεων.

γ΄. Περὶ καινοτομιῶν 4). *Νόμοι.*

δ΄. Περὶ καλανδῶν, καὶ κληδονισμῶν.

έ. Περὶ κανόνων Ἐκκλησιαστικῶν, καὶ πόσους, καὶ ποίους δεῖ κανόνας κρατεῖν.

ς΄. Περὶ κανονικοῦ.

ζ΄. Ὅτι εἰς καπηλεῖον οὐ δεῖ τὸν κληρικὸν εἰσιέναι.

ή. Περὶ καρποφορίας τῆς εἰς τοὺς θείους νεούς.

θ΄. Περὶ κατηγορίας ἐπισκόπων καὶ κληρικῶν, καὶ τίνες εἰς κατηγορίαν δεκτέοι, καὶ τίνες ἄδεκτοι.

ί. Περὶ κατηχουμένων.

ιά. Τίνας δεῖ κληρονομεῖν τὰ ἴδια τοῦ ἐπισκόπου.

ιβ΄. Περὶ κληρονομίας καὶ ἀποκλήρων υἱῶν ἢ γονέων. *Νόμοι.*

ιγ΄. Ὅτι κληροῦσθαι δεῖ καὶ τοὺς μὴ καταγομένους ἐκ γένους ἱερατικοῦ, εἰ ἄξιοι εἶεν.

ιδ΄. Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς μετατίθεσθαι.

ιέ. Ὅτι τῶν κληρικῶν τοῖς ἐνδεῶς ἔχουσιν ἐκ τῶν τῆς Ἐκκλησίας δεῖ χορηγεῖν.

ις΄. Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς ἁρπάζειν τὰ τοῦ τελευτήσαντος ἐπισκόπου πράγματα.

---

1) στοιχεῖον τὸ Ἰῶτα. α. 6. δ.—2) Περὶ ἀζύμων κατὰ Λατίνων. ε.—3) στοιχεῖον τὸ Κάππα. α. 6. δ. — 4) ἤτοι ὁ οἰκοδομῶν παλαιὸν καὶ νέον οἶκον. ε.

ιζ'. Ὅτι οὐ δεῖ κληρικὸν ἕνα ἐν δυσὶν εἶναι πόλεσιν, ἢ ἐν μιᾷ πόλει δύο Ἐκκλησίας ὑπηρετεῖν.

ιή. Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς πράττειν τι ἄνευ γνώμης τοῦ ἐπισκόπου.

ιθ'. Ὅτι οὐδὲ οἱ κληρικοὶ ἀπολελυμένως ἐχειροτονοῦντο.

κ'. Ὅτι τοὺς κληρικοὺς τῶν Ἐκκλησιῶν καὶ μοναστηρίων, ὑπὸ τὴν ἐξουσίαν εἶναι δεῖ τοῦ ἐπισκόπου.

κά. Ὅτι ὁ κληρικὸς, ἐν ᾧ ἂν περιπέσῃ ἁμαρτήματι, καθαιρεῖται μόνον, οὐ μὴν καὶ ἀφορίζεται.

κβ'. Ὅτι τῶν κληρικῶν οἱ πρὸς μείζονα βαθμὸν ἀνιέναι μὴ πειθόμενοι, ἐκπίπτουσι καὶ οὗ νῦν εἰσι.

κγ'. Περὶ κλοπῆς.

κδ'. Ὅτι οὐ δεῖ κοινωνεῖν τῷ ἀκοινωνήτῳ.

κέ. Περὶ τῶν μὴ κοινωνούντων τῆς ἱερᾶς τελουμένης λειτουργίας, ἢ τὴν κοινωνίαν ἐπὶ τρεῖς κυριακὰς ἀναβαλλομένων.

κς'. Ὅτι οὐ δεῖ κοινωνίαν διδόναι τοῖς σώμασι τῶν ἤδη τελευτησάντων.

κζ'. Ὅτι τὸν κοινωνήσειν μέλλοντα, οὐ δεῖ προσιέναι τῇ ἰδίᾳ γυναικί.

κή. Πότε κοινωνεῖ ὁ ὀνειρασθείς.

κθ'. Ὅτι τῆς θείας κοινωνίας χάριν, οὐ δεῖ τι μεταλαμβάνειν.

λ'. Περὶ τῶν κοινωνεῖν διακρινομένων ἀπὸ πρεσβυτέρου γεγαμηκότος.

λά. Περὶ τῆς ἐν τῇ κοινωνίᾳ εὐταξίας πρεσβυτέρων καὶ λαϊκῶν.

λβ'. Ὅτι κοσμικὰς φροντίδας οὐ δεῖ μετιέναι κληρικοὺς ἢ μονάζοντας, εἰ μήπου κατ' ἐπιτροπὴν βασιλέως.

λγ'. Περὶ κουρατόρων. *Νόμοι.*

λδ'. Περὶ κριτηρίων, ἔνθα δεῖ κρίνεσθαι κληρικούς τε καὶ μοναχοὺς, καὶ περὶ κριτῶν αἱρετῶν.

λέ. Περὶ τῶν κύβοις καὶ μέθαις σχολαζόντων.

λς'. Ὅτι ἐν Κυριακῇ κατ' ἐξαίρετον τοὺς ἐπισκόπους διδάσκειν δεῖ τὸν λαόν.

λζ'. Ὅτι ἐν Κυριακῇ οὐ δεῖ νηστεύειν, ἢ γόνυ κλίνειν, ἢ ἐργάζεσθαι, ἢ θεώρια γίνεσθαι.

λή. Περὶ κωδικέλλου. *Νόμοι.*

Ἀρχὴ τοῦ Λ στοιχείου 1).

Κεφ. ά. Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων.

β΄. Περὶ τῶν εἰς λαϊκοῦ τάξιν ἐρχομένων ἐπισκόπων, ἢ κληρικῶν, ἢ μοναχῶν.

γ΄. Ὅτι τοὺς λαϊκοὺς ἐπ᾽ Ἐκκλησίας διδάσκειν οὐ δεῖ.

δ΄. Περὶ τῆς θείας λειτουργίας.

έ. Περὶ Λατίνων 2).

ς΄. Περὶ λῃστῶν μετανοούντων.

ζ΄. Περὶ τῶν λῃστὰς ἀναιρούντων.

ή. Περὶ τῶν λῃστρικῶς ἁρπαζόντων τὰ ἀλλότρια.

θ΄. Ὅτι λούεσθαι οὐ δεῖ τὸν ἄνδρα ὁμοῦ ταῖς γυναιξίν.

ί. Περὶ τῆς λοχείας τῆς ἀλοχεύτου Θεοτόκου.

ιά. Περὶ λύσεως γάμου. *Νόμοι.*

Ἀρχὴ τοῦ Μ στοιχείου 3).

Κεφ. ά. Περὶ μάγων, μαθηματικῶν, καὶ μάντεων, ἔτι δὲ ἀστρολόγων, ἐπαοιδῶν, ἀλλὰ δὴ καὶ γοητειῶν, φαρμακειῶν, καὶ περιάπτων.

β΄. Περὶ μαλακίας.

γ΄. Περὶ μεθυόντων 4).

δ΄. Περὶ μεταθέσεως καὶ μεταβάσεως ἐπισκόπων καὶ κληρικῶν.

έ. Ὅτι τοὺς μετανοοῦντας οὐ δεῖ ἀποβάλλεσθαι.

ς΄. Περὶ τῶν τῆς μετανοίας τόπων.

ζ΄. Ὅτι κατὰ τὴν τῶν μετανοούντων διάθεσιν ἔξεστι τῷ ἐπισκόπῳ ἢ ἀνιέναι ἢ ἐπιτεῖναι τούτοις τὰ ἐπιτίμια.

ή. Ὅτι δεῖ τοὺς ἔτι μετανοοῦντας, τῆς τελευτῆς ἐφισταμένης, τῆς θείας ἀξιοῦσθαι κοινωνίας, εἰ δὲ ἀνακληθεῖεν, ταύτης πάλιν ἀπέχεσθαι.

---

1) στοιχεῖον τὸ Λάμβδα. α. β. δ. — 2) ἐν τῷ α. β. γ. ε. καὶ 1340 ἐλλείπει ἐν τῷ πίνακι τὸ Περὶ Λατίνων. — 3) στοιχεῖον τὸ Μῦ. α. β. δ. — 4) Παρεντίθενται πρὸ τοῦ, Περὶ μεθυόντων, καὶ κεφάλαιον Περὶ μαρτύρων ἄνευ ἀριθμοῦ. ε. γ. 1375.

θ΄. Ὅτι τῶν μετανοούντων τοὺς λογισμοὺς δέχεσθαι, καὶ λύειν καὶ δεσμεῖν τὰ ἡμαρτημένα, τοῖς ἐπισκόποις ἐδόθη, κατ' ἐπιτροπὴν δὲ τούτων, καὶ τοῖς πρεσβυτέροις.

ί. Περὶ μιαροφαγησάντων.

ιά. Περὶ μίμων καὶ σκηνικῶν.

ιβ΄. Περὶ μισθώσεως. *Νόμοι.*

ιγ΄. Περὶ μνηστείας. *Νόμοι.*

ιδ΄. Περὶ μοιχείας. *Νόμοι.*

ιέ. Περὶ μοναστηρίων καὶ μοναχῶν.

ις΄. Περὶ τοῦ ἁγίου μύρου.

Ἀρχὴ τοῦ Ν στοιχείου 1).

Κεφ. ά. Περὶ νεῶν οἰκοδομῆς καὶ καθιερώσεως.

β΄. Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ νεὼ περιβόλων συμπόσια γίνεσθαι, ἢ καπηλεῖα εἶναι, ἤ τι κατ' ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤ τινα μετὰ γυναικὸς καταμένειν.

γ΄. Περὶ νηπίων ἐκτιθεμένων, ἢ ἀμφιβαλλομένων, εἰ ἐβαπτίσθησαν.

δ΄. Περὶ νηστείας.

έ. Ὅτι οὐ δεῖ νηστεύειν ἐν τοῖς σάββασι καὶ ταῖς Κυριακαῖς.

ς΄. Ὅτι τοὺς νηστεύοντας οὐχ ὡς βδελυκτῶν τῶν βρωμάτων ἀπέχεσθαι δεῖ.

ζ΄. Περὶ νόμου. *Νόμοι.*

ή. Περὶ νομῆς. *Νόμοι.*

Περὶ τοῦ Ξ στοιχείου 2).

Κεφ. ά. Περὶ ξοάνων καθαιρέσεως.

β΄. Ὅτι δεῖ τοὺς ξένους τῶν κληρικῶν ὑποδέχεσθαι.

Ἀρχὴ τοῦ Ο στοιχείου 3).

Κεφ. ά. Ὅτι οἰκονόμον ἔχειν δεῖ τὸν ἐπίσκοπον, καὶ τὸν ἡγούμενον.

β΄. Περὶ οἰωνισμῶν.

---

1) στοιχείων τὸ Νὺ ἢ Νῖ α. ℓ. δ. — 2) στοιχείων τὸ Ξὺ ἢ Ξῖ. — 3) στοιχείων τὸ Ο. α. ℓ. δ.

γ΄. Περὶ ὀνειρασθέντος.
δ΄. Περὶ ὅρκων.

Ἀρχὴ τοῦ Π στοιχείου 1).

Κεφ. ά. Περὶ παιγνίων θυμελικῶν.
β΄. Περὶ τῶν ἐν πανδοχείῳ ἐσθιόντων κληρικῶν.
γ΄. Περὶ παραιτήσεως ἐπισκόπων.
δ΄. Περὶ τῶν παρθενίαν ἑλομένων γυναικῶν.
έ. Περὶ τῆς ἐν παρασκευῇ νηστείας.
ς΄. Περὶ παρακαταθήκης. *Νόμοι.*
ζ΄. Περὶ τοῦ ἁγίου Πάσχα.
ή. Περὶ πατριάρχου 2).
θ΄. Περὶ περιοδευτῶν, ἤτοι ἐξάρχων.
ί. Περὶ πίστεως ὀρθοδόξου.
ιά. Περὶ πλεονεξίας καὶ ἁρπαγῆς.
ιβ΄. Πῶς δεῖ τοὺς πνευματικοὺς πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους.
ιγ΄. Ὅτι οὐ δεῖ πνικτὰ ζῶα ἐσθίειν.
ιδ΄. Περὶ ποινῶν.
ιέ. Περὶ πορνείας.
ις΄. Περὶ τοῦ πορνεῦσαι ἐπιθυμήσαντος καὶ μὴ πράξαντος.
ιζ΄. Περὶ πορνοβοσκῶν.
ιή. Περὶ πρεσβείων καὶ προνομίων, ὧν ἔχουσιν οἱ ἀρχιερεῖς καὶ αἱ Ἐκκλησίαι, καὶ περὶ τῶν παροικιῶν αὐτῶν.
ιθ΄. Περὶ ὧν ἔχουσιν οἱ πρεσβύτεροι δικαίων.
κ΄. Περὶ προικώων πραγμάτων. *Νόμοι.*
κά. Περὶ προδοτῶν.

Ἀρχὴ τοῦ Ρ στοιχείου 3).

Κεφ. ά. Περὶ τῶν ἐν φύσει ἀπροαιρέτῳ γενομένων ἀνδρῶν τε καὶ γυναικῶν.

Ἀρχὴ τοῦ Σ στοιχείου 4).

Κεφ. ά. Ὅτι τοῖς σάββασιν οὐ δεῖ νηστεύειν.

1) στοιχεῖον τὸ Πὺ ἢ Πῖ. α. 6. δ. — 2) 6΄. περὶ Πεντηκοστῆς. Γ. — 3) στοιχεῖον τὸ Ῥό. α. 6 δ. — 4) στοιχεῖον τὸ Σίγμα. α. 6. δ.

β΄. Περὶ σκηνικῶν.

γ΄. Ὅτι σταυρὸν ἐν ἐδάφει γράφειν οὐ δεῖ, ἀλλὰ καὶ τοὺς ὄντας ἀπαλείφειν.

δ΄. Περὶ συμβολαίων καὶ συμφώνων. *Νόμοι.*

ε΄. Περὶ συμποσίων.

ς΄. Περὶ τῶν τὰς ἱερὰς συνάξεις ἀποστρεφομένων.

ζ΄. Περὶ τῶν συνεισάκτους γυναῖκας ἐχόντων κληρικῶν.

η΄. Περὶ τῶν συνεπισταμένων κληρικοῖς ἁμαρτήματα καὶ μὴ ὁμολογούντων.

θ΄. Περὶ τῶν Συνόδων τῶν ἐτησίων γινομένων.

ι΄. Περὶ συστατικῶν γραμμάτων.

ια΄. Περὶ τῶν συνωμοσίας, ἢ φατρίας, ἢ στάσεις ποιούντων.

ιβ΄. Περὶ σχισματικῶν.

Ἀρχὴ τοῦ Τ στοιχείου 1).

Κεφ. α΄. Περὶ τῆς τάξεως τῶν κληρικῶν.

β΄. Περὶ ταφῆς. *Νόμοι.*

γ΄. Ὅτι τοὺς τελευτήσαντας οὔτε βαπτίζειν θεμιτὸν, οὔτε τοῖς σώμασιν αὐτῶν κοινωνίας μεταδιδόναι.

δ΄. Περὶ τῶν τέκνων τῶν κληρικῶν.

ε΄. Περὶ τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῶν ἐν αὐτῇ τελουμένων ἐθῶν.

ς΄. Περὶ τῆς ἐν τετράδι νηστείας.

ζ΄. Ὅτι τόκους λαμβάνειν ἀπείρηται παντὶ κληρικῷ, καὶ περὶ τόκων. *Νόμοι.*

η΄. Περὶ τοῦ τρισαγίου ὕμνου.

θ΄. Ὅτι τὰς τρίχας τῆς κεφαλῆς οὐ δεῖ καλλωπίζειν.

ι΄. Περὶ τυμβωρύχων.

ια΄. Ὅτι τύπτειν κληρικοῖς οὐκ ἐφεῖται.

Ἀρχὴ τοῦ Υ στοιχείου 2).

Κεφ. α΄. Περὶ ὕβρεων.

β΄. Περὶ ὑδροπαραστατῶν αἱρετικῶν.

---

1) στοιχεῖον τὸ Ταῦ. α. ϛ. δ. — 2) στοιχεῖον τὸ Υ. α. ϛ. δ.

γ΄. Περὶ υἱοθεσίας.
δ΄. Περὶ ὑπηρετῶν ἤτοι ὑποδιακόνων.
ε΄. Περὶ ὑποβόλου. *Νόμοι.*

Ἀρχὴ τοῦ Φ στοιχείου 1).

Κεφ. ά. Περὶ φαλκιδίου.
β΄. Περὶ φαρμακῶν καὶ μάγων.
γ΄. Περὶ φθορᾶς παρθένων.
δ΄. Περὶ φιλαργυρίας.
ε΄. Περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων.
ς΄. Περὶ τῶν φονευόντων ἑαυτούς.
ζ΄. Περὶ τῶν φόνων τῶν ἐν πολέμοις, καὶ τῶν φονευόντων λῃστάς.
η΄. Περὶ τῶν φονευουσῶν γυναικῶν διὰ φαρμάκων τὰ ἔμβρυα.
θ΄. Ὅτι οὐ δεῖ φυλακτήρια ποιεῖν.
ι΄. Περὶ τῶν ἐν φυλακαῖς κατακρίτων. *Νόμοι.*

Ἀρχὴ τοῦ Χ στοιχείου 2).

Κεφ. ά. Ὅπως τῶν χειροτονουμένων ἐπισκόπων αἱ ψῆφοι γίνονται, καὶ περὶ τῆς γινομένης ἐν ταύταις ἀντιλογίας.
β΄. Ὅτι τὰς τῶν χειροτονουμένων ψήφους, οὔτε παρ' ἀρχόντων οὔτε παρὰ τοῦ δήμου γίνεσθαι χρή.
γ΄. Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.
δ΄. Ὁποίους εἶναι δεῖ τοὺς χειροτονουμένους ἐπισκόπους, καὶ τίνα πρὸ πάντων γινώσκειν χρή.
ε΄. Ὑπὸ πόσων ἐπισκόπων χειροτονοῦνται οἱ ἐπίσκοποι, καὶ οἱ λοιποὶ κληρικοί.
ς΄. Ὅτι τὸν χειροτονηθήσεσθαι μέλλοντα ἐπίσκοπον δεῖ πρότερον τῆς ἰδίας χωρίζεσθαι γυναικός.
ζ΄. Περὶ τῆς τῶν χειροτονουμένων ἡλικίας.
η΄. Ὅτι οὐ δεῖ χειροτονεῖν ἕτερον ἀντ' αὐτοῦ τὸν τελευτῶντα ἐπίσκοπον.

---

1) στοιχεῖον τὸ Φί ἢ Φῖ. α. 6. δ.—2) στοιχεῖον τὸ Χί, ἢ Χῖ. α. 6. δ.

θ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἂν μὴ πρότερον τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας ποιήσῃ Χριστιανούς.

ί. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἀθρόον τὸν λαϊκὸν ἐπίσκοπον, οὐδὲ τὸν ἄρτι φωτισθέντα 1).

ια'. Πότε χειροτονεῖται εὐνοῦχος ἐπίσκοπος ἢ κληρικὸς, ἢ ἄλλως τὸ σῶμα λελωβημένος.

ιβ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν Ἐκκλησίᾳ, ἧς ὁ προϊστάμενος ἔτι περίεστιν.

ιγ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν πόλει μικρᾷ ἢ κώμῃ.

ιδ'. Περὶ χειροτονίας χωρεπισκόπων.

ιέ. Περὶ τοῦ χειροτονηθέντος ἐπισκόπου καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν.

ις'. Ὅτι οὐ δεῖ χειροτονίας ποιεῖν τὸν ἐπίσκοπον ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ ἐνορίαις.

ιζ'. Ὅτι χειροτονεῖν ἐπισκόπῳ οὐκ ἐφεῖται κληρικὸν ἐνορίας ἑτέρας 2).

ιή. Τίσι τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς, καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς Ἐκκλησίαις.

ιθ'. Ὅτι χειροτονεῖται κληρικὸς καὶ ὁ μὴ ἐκ γένους ἱερατικοῦ καταγόμενος.

κ'. Πότε χειροτονοῦνται καὶ δοῦλοι.

κά. Περὶ χειροτονίας ἀναγνωστῶν.

κβ'. Ὅτι οὐκ ἐχειροτονοῦντο ἀπολελυμένως οἱ κληρικοί.

κγ'. Ὅτι χειροτονεῖται ὁ πρὸ τοῦ βαπτίσματος θύσας κατηχούμενος.

κδ'. Ὅτι ἀναχειροτονήσεις οὐ δεῖ γίνεσθαι.

κέ. Περὶ τοῦ ὑποκειμένου ἁμαρτήμασι καὶ χειροτονηθέντος.

κς'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι τὸν ἐν νόσῳ φωτισθέντα.

κζ'. Περὶ τῶν τὴν χειροτονίαν ὀμνυόντων μὴ καταδέξασθαι.

κή. Περὶ τῶν χειροτονουμένων ἐπὶ χρήμασιν.

---

1) Καὶ διὰ ποίας αἰτίας ὁ κληρικὸς τῆς ἱερωσύνης ἀφαιρεῖται B. — 2) Ἑτέρας ἐπαρχίας B.

κθ΄. Περὶ χηρῶν γυναικῶν.

λ΄. Περὶ τῶν χλευαζόντων τοὺς ἀσθενῶς τοῦ σώματος ἔχοντας.

λά. Περὶ τοῦ ἁγίου χρίσματος, καὶ τίνες χρίονται μόνοι τῶν προσερχομένων τῇ Ἐκκλησίᾳ αἱρετικῶν.

λβ΄. Περὶ χριστιανισμοῦ.

λγ΄. Περὶ χωρεπισκόπων.

Ἀρχὴ τοῦ Ψ στοιχείου 1).

Κεφ. ά. Πῶς δεῖ ψάλλειν καὶ εὔχεσθαι.

β΄. Περὶ ψαλτῶν καὶ ἀναγνωστῶν.

γ΄. Ὅτι πρὸς τοὺς ψευδομάρτυρας τῶν αἱρετικῶν οὐ δεῖ ἀπιέναι.

δ΄. Ὅπως αἱ ψῆφοι γίνονται τῶν μελλόντων χειροτονεῖσθαι.

Ἀρχὴ τοῦ Ω στοιχείου 2).

Κεφ. ά. Τίνας δεῖ ὡράριον φορεῖν.

---

1) Στοιχεῖον τὸ ψι ἢ ψῖ α. β. δ. — 2) στοιχεῖον τὸ Ω. α. β. δ.

ΠΡΟΛΟΓΟΣ.

ΠΕΡΙ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ 1).

Τας τῶν ἱερῶν τοίνυν ὑποθέσεις κανόνων κατὰ στοιχεῖον διελεῖν δοκιμάσαντες, οὐ μὴν ἀλλὰ καὶ ὡς οἷόν τε τό γε εἰς ἡμᾶς ἧκον ταύτας ἐπιτεμεῖν, ὡς ἂν ῥᾳδίως ἐντεῦθεν οἱανδηποτοῦν ὑπόθεσιν τοῖς ζητοῦσιν εὑρίσκειν ὑπάρξῃ, δεῖν ᾠήθημεν καὶ οὕτως ἄρα προθέμενοι, τοὺς τὴν ὀρθὴν πίστιν ὀρθοῦντας θεοπνεύστους κανόνας τεταχέναι προτέρους· τοῖς γὰρ ἐπὶ τῷ θεμελίῳ ταύτης ἀσφαλῶς ἱδρυμένοις ἐν καλῷ κεῖσεται, μὴ ἐν παρέργῳ καὶ τὰ τῶν λοιπῶν ἐκθεῖναι κανόνων· οἱ δὲ τῆς ἀληθοῦς ἠλλοτριωμένοι πίστεως, καὶ τὸν θησαυρὸν τῶν ὀρθῶν σεσυληκότες δογμάτων, ποίαν τῶν ἱερῶν κανόνων ἐπιστροφὴν σχοῖεν ἄν· ταύτῃ τοι καὶ τὰ φύσει πρότερα, οὐκ ἐχρῆν τῶν ἀριθμῷ καὶ τάξει τοῦτο κληρωσαμένων στοιχείων δεύτερα θεῖναι, οἷον ἄρα καὶ τοῖς ζωῆς μεταλαχοῦσι, τροφὴν προσίεσθαι 2) ὁ τῆς φύσεως δίδωσι νόμος· καὶ ταύτην δήπου μὴ προσιεμένους, ἐπὶ πλεῖστον ἴσμεν ἔστιν οὓς τῶν θείων ἀνδρῶν διαρκέσαντας· τοῖς δέ γε τὸ ζῆν ἀφῃρημένοις, παρέλκον οἶμαι καὶ περιττὸν τά γε πρὸς ὄνησιν ἡ τροφὴ, τῆς ὀρεκτικῆς καὶ μεταληπτικῆς οἰχομένης δυνάμεως· ἄλλως τε καὶ πίστει μὲν σωθέντας ἐνίους ἔστιν ὅπου λόγος αἱρεῖ, καὶ αἱ τῶν πραγμάτων ἱστορίαι διδάσκουσιν· ἔργων γε μὴν, πίστεως μὴ προηγησαμένης, τοσοῦτον οἱ μετιόντες ἀπώναντο, ὁπόσον καὶ οἱ τὰς ὄψεις ἐκκεκομμένοι τοῦ ἡλιακοῦ τοῦδε φωτός.

Συνόδου δευτέρας κατ. ά. καὶ έ.

Τῆς μὲν οὖν ἁγίας καὶ οἰκουμενικῆς δευτέρας Συνόδου εὐθὺς

1) Παρὰ δὲ Β. οὕτω· Ματθαίου μοναχοῦ ἡ Βλάσταρη Σύνταγμα ἀλφαβητικὸν. Στοιχ. Α. Πρόλογος. Περὶ τῆς ὀρθοδόξου πίστεως. — Περὶ τῆς ὀρθῆς 1340.

2) προσέσθαι, 1340, καὶ ε. προσίεσθαι Γ.

ὁ πρῶτος κανών, μόνην εἶναι κυρίαν πίστιν ἐνόμισεν, ἣν οἱ ἐν Νικαίᾳ τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι Πατέρες ἐκπεφωνήκασιν, ὡς ἐξ ὑγιῶν συνισταμένην δογμάτων· ἁπάσας μέν τοι τὰς ἄλλως ἢ ὡς αὕτη φρονούσας αἱρέσεις ἐάσας ἐρρῶσθαι, τῷ ἀναθέματι παραπέμπει.

Ὁ δέ γε ἑ. αὐτῆς, καὶ τοὺς εἰς Σαρδικὴν συνελθόντας δι' ἐπαίνου τίθεται, ἀνθ' ὧν τὸν περὶ τῆς πίστεως τόμον τῶν ἐν Νικαίᾳ προσεπεκύρωσαν.

Συνόδου τρίτης κεφ. γ'. καὶ ζ'.

Ἡ ἁγία δὲ καὶ οἰκουμενικὴ γ'. σύνοδος, ἐν ἕκτῳ καὶ ἑβδόμῳ κανόνι, τοὺς εἰς τοῦτο τόλμης ἰόντας, ὡς ἕτερον παρὰ τὸ ἐν Νικαίᾳ συγκεθὲν ἱερὸν σύμβολον συγγράφειν, ἔτι δὲ καὶ τοὺς τὰ δυσσεβῆ Νεστορίου δόγματα προσιεμένους, καὶ οὕτω τοὺς Ἐκκλησίᾳ προσιόντας πειρωμένους μυσταγωγεῖν, τοῦ κλήρου μὲν ἐξωθεῖ, εἰ κληρικοὶ εἶεν, λαϊκοὺς δὲ ἐφίησι τῷ ἀναθέματι.

Συνόδου ἕκτης κεφ. ά.

Ἥγε μὴν ἁγία καὶ οἰκουμενικὴ ς'. Σύνοδος ἐν τῷ πρώτῳ κανόνι, τὴν πρὸς τῶν ἱερῶν Ἀποστόλων παραδοθεῖσαν ἡμῖν πίστιν, παρεγγυᾷ μὴ καινοτομεῖν· πρὸς δὲ, καὶ τὰ ἐν τῇ πρώτῃ δογματισθέντα μὴ παρεξιέναι Συνόδῳ· οἳ δὴ τὸ ὁμοούσιον τῶν τριῶν τῆς θεαρχικῆς πίστεως ὑποστάσεων τοῖς πᾶσι κηρύξαντες, τοὺς περὶ τὸν θεομανῆ Ἄρειον τῷ φρονήματι σφῶν μὴ συμβαίνοντας τελέως ἀποκηρύττουσιν· ἔτι δὲ καὶ τὰ ἐν τῇ δευτέρᾳ θεσπισθέντα Συνόδῳ προσκυνητέα εἶναι προστάττει· αὕτη γὰρ τὸν πνευματομάχον διωσαμένη 1) Μακεδόνιον, καὶ τοὺς σὺν αὐτῷ τῷ ἀναθέματι καταδικάσασα, τὸ Πνεῦμα τὸ ἅγιον ὁμότιμον Πατρὶ καὶ Υἱῷ ὡς Θεὸν ἀληθινὸν παραδέδωκεν· ἀλλὰ δὲ καὶ τὸν ἄνουν Ἀπολινάριον κατακρίνασα, ἔννουν καὶ ἔμψυχον ἀνειληφέναι σάρκα τὸν Κύριον ἐδογμάτισεν· οὐ μὴν ἀλλὰ καὶ ὅσα γε ἡ τρίτη Σύνοδος ἐψηφίσατο, κρατύνειν ἐσπούδακεν. Ἕνα γὰρ ἐκείνη Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ μετὰ τὴν

1) διωξαμένη B.

σάρκωσιν ἐδογμάτισε, καὶ τὴν αὐτὸν ἀσπόρως καὶ ὑπὲρ φύσιν τεκοῦσαν ἀειπάρθενον κόρην, ἀληθῶς καὶ κυρίως ἀπεφήνατο θεοτόκον, καὶ τὸν ληρώδη Νεστόριον, τὸν ἕνα Χριστὸν εἰς δύο διαιροῦντα Υἱούς, αὐτοῖς αὐτοῦ δόγμασι τῷ αἰωνίῳ ἐφίησιν ἀναθέματι· ὡς δὲ καὶ τῶν ἐν τῇ δ'. Πατέρων τὰ ἱερὰ δόγματα ἐμπεδοῖ, οἳ τὴν ἐξάγιστον σύγχυσιν Εὐτυχοῦς τε καὶ Διοσκόρου, τῶν οὐδῶν τῆς Ἐκκλησίας ἐξοστρακίσαντες, τὸν ἕνα Χριστὸν ἐκ δυοῖν φύσεων συντεθέντα, καὶ ἐν δυσὶ φύσεσι καὶ μετὰ τὴν ἕνωσιν θεωρούμενον, ἀτεχνῶς ἐδογμάτισε· τούτους γὰρ τὴν ἐκ διαμέτρου τῆς Νεστορίου ἀσπασαμένους δυσσέβειαν, καὶ δοκήσει τὸ μέγα τῆς οἰκονομίας τελεσθῆναι μυστήριον οἰομένους, τὸν μὲν, τῆς δυσσεβοῦς διαιρέσεως, τοὺς δὲ, τῆς δυστεβεστέρας συγχυτικῆς ἑνώσεως, ἐνδίκως μισήσαντες, Θεοῦ πόρρω βάλλουσιν· ἀλλὰ δὲ καὶ ὅσα ἡ πέμπτη θείῳ ἐμπνευσθεῖσα πνεύματι ἐδογμάτισεν, ἐπισκήπτει ἀσπάζεσθαι, καὶ τῶν πρὸ αὐτῆς καταψηφισθέντων ἀποδίστασθαι, τῶν ὀλεθρίων, φημὶ, Ὠριγένους καὶ τῶν περὶ αὐτὸν ληρημάτων· ἀλλὰ καὶ ἡ τὰ τῶν πρὸ αὐτῆς ἱερῶν Συνόδων ταύτη βεβαιωσαμένη καὶ στηρίξασα, ἡ ἕκτη, φημὶ, Σύνοδος ἥδε, ἐν αὐτῷ τῷ ῥηθέντι ά. κανόνι, δύο θελήσεις, ὡς καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τοῦ Κυρίου ἡμῶν δογματίσαντες, τοὺς περὶ Πύῤῥον καὶ Σέργιον μίαν θέλησιν ἐπὶ τοῦ Κυρίου ἀλογίστως κηρύξαντας, ἐκκηρύκτους τιθέασι· πάντων δὲ τῶν ἐπ' εὐσεβείᾳ γνωρίμων κρατεῖν τὴν πίστιν βεβαίαν μέχρι συντελείας αἰῶνος εὐσεβῶς τεθεσπίκασι· καὶ τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας τῆς ἡμῖν παραδεδομένης ὀρθῆς καὶ ὑγιοῦς πίστεως, τοῦ ἀναθέματος ἀξίους ψηφίζονται.

Τῆς ἐν Καρθαγένῃ κανόνες ά. καὶ β'.

Τούτοις συνᾴδουσα καὶ ἡ ἐν Καρθαγένῃ Σύνοδος, ἔν τε τῷ πρώτῳ καὶ δευτέρῳ ταύτης κανόνι, τὰ τῶν ἐν τῇ πρώτῃ Συνόδῳ θείων Πατέρων δογματισθέντα, περί τε τοῦ ὁμοουσίου τῆς προσκυνητῆς καὶ ἁγίας Τριάδος, καὶ τῆς εἰς αὐτὴν ἡμῶν πίστεως, διαφερόντως ἐπισκήπτει πρεσβεύειν, ὧν καὶ τὸ ἱερὸν τῆς πίστεως σύμβολον πρὸς λέξιν ἐκτίθεται.

Νόμοι.

Οἱ δὲ πολιτικοὶ οὕτω κατὰ ῥῆμα θεσπίζουσι νόμοι· Χριστιανός ἐστιν ὁ πιστεύων μίαν εἶναι θεότητα, ἐν ἴσῃ ἐξουσίᾳ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ὁ δὲ παρὰ τὰ εἰρημένα δοξάζων αἱρετικός ἐστιν.

ΑΡΧΗ ΤΟΥ Α ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν ἀρνησαμένων τὴν ἀμώμητον ταύτην τῶν Χριστιανῶν πίστιν, καὶ ὅπως τοὺς μεταμελομένους τούτων προσίεσθαι δεῖ.

Ἐπικαιρότατον δ' ἂν εἴη μετὰ τοῦτο διεξιέναι, ὅπως τοὺς ἅπαξ φωτισθέντας, Παῦλος ἂν δήπου ὁ μέγας ἔφησε, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας (ὢ τῆς ζημίας) καὶ ἀρνησαμένους τὴν εἰς τὸν Κύριον πίστιν, οἱ θεῖοι Πατέρες, σπλάγχνοις ἀφάτων οἰκτιρμῶν, αὖθις ὠδίνουσι (Παῦλος καὶ τοῦτο ἀναπληρούτω μοι) μέχρις ἂν μορφωθῇ Χριστὸς ἐν αὐτοῖς, οἷς μέντοι πολὺς ὁ μετάμελος τῆς δεινῆς ἀβουλίας εἰσήει· πλείους γὰρ οἱ Πατέρες κἀν τούτοις ἐπιτετηρήκασι τὰς διαφοράς, ταῦτ' ἄρα καὶ διαρόρους προσενηνόχασι τὰς ἐκ τῶν ἐπιτιμίων θεραπείας.

Τοῦ Νύσσης ἁ. Περὶ τοῦ τριμεροῦς τῆς ψυχῆς.

Ὁ τοίνυν μέγας τῆς Νύσσης Γρηγόριος, τῷ τῆς σοφίας περιόντι καὶ πνευματικῆς ἐπιστήμης, συμπάντων τῶν ἡμῖν ἁμαρτανομένων τὴν γένεσιν ἀκριβούμενος, εὐθὺς ἐν τῷ πρώτῳ κανόνι, τρία, φησί, τὰ κατὰ ψυχὴν ἡμῶν θεωρούμενα, τὸ λογικὸν, τὸ θυμικὸν, καὶ τὸ ἐπιθυμητικόν· ἐν τούτοις καὶ τὰ κατορθώματα τῶν ἀρετὴν μετιόντων, καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἐκπεσόντων.

Λογικόν.

Καὶ τοῦ μὲν λογικοῦ ἀρετὴν εἶναι τὴν εὐσεβῆ περὶ τὸ θεῖον ὑπόληψιν, καὶ τὴν τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴν ἐπιστήμην, καὶ τί μὲν ὀρεκτὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν ἐπίστασθαι καὶ ἀπόβλητον· κακίαν δὲ τούτου, τὴν ἐκ τοὐναντίου περὶ τὸ θεῖον ἀσέβειαν· οἷον, εἴ τις τὴν εἰς Χριστὸν ἀρνησάμενος πίστιν, πρὸς Ἰουδαϊσμὸν, ἢ εἰδωλολατρείαν, ἢ Μανιχαϊσμὸν ἐξετράπη, ἢ πρὸς γόητας καὶ μάγους ἀπιὼν ἑάλω, καὶ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους· καὶ ἁπλῶς εἰπεῖν, τὸ περὶ τὴν κρίσιν τῶν πραγμάτων ἐσφάλθαι, ὡς τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, κατὰ τὴν Γραφήν.

Ἐπιθυμητικόν.

Τοῦ δ' αὖ ἐπιθυμητικοῦ ἀρετὴν ἀτεχνῶς εἶναι τὴν τῆς ἀρετῆς ἔφεσιν· τὸ ἐρωτικῇ τε πάσῃ δυνάμει καὶ ψυχῆς ὁλοσχερεῖ διαθέσει Θεῷ κολλᾶσθαι, καὶ μηδενὸς τὴν εἰς αὐτὸν ἀγάπην προΐεσθαι, παρ' οὗ πηγάζεται τοῖς ἀνθρώποις ἡ ἀρετὴ καὶ πᾶν δώρημα τέλειον, ἦ που φησὶν ὁ θεῖος Ἰάκωβος· τούτου δέ γε σκαιότητα, τὴν φιληδονίαν, τὴν φιλοχρηματίαν, τὴν τῆς κενῆς δόξης ἔφεσιν, καὶ τοῦ ἐπικεχρωσμένου τοῖς σώμασιν ἄνθους, ἥγε δὴ καὶ εἰς πορνείαν ἐν καρδίᾳ μελετωμένην τελευτᾷ, ἢ καὶ μοιχείαν· ταύτας οὖν, τὴν μὲν, ἐπιβουλὴν ὡρίσατο καὶ ἀδικίαν τοῦ ἀλλοτρίου· τὴν δέ γε πορνείαν, ἐπιθυμίας μόνης ἐκπλήρωσιν, τὸν τοῦ πέλας γάμον μὴ διορύττουσαν· τῆς δὲ ἀτόπου μοιχείας καὶ τὴν παιδεραστίαν ἁρτῆσθαι, καὶ τὴν ζωοφθορίαν· φύσεως γὰρ καὶ ταῦτα κρίνει μοιχείαν, ὡς ἂν εἰς ἀλλότριον δή που καὶ παρὰ φύσιν γενομένης τῆς ἀδικίας.

Θυμικόν.

Τῆς γε μὴν θυμώδους διαθέσεως ἐπαινουμένην καὶ κατὰ φύσιν ἐνέργειαν, τὴν πρὸς τὸ κακὸν ἀπέχθειαν, τὸ τοῖς πάθεσι πολεμεῖν, πρὸς ἀνδρίαν τε ἑστομῶσθαι, καὶ μὴ τὰς τοῦ θανάτου ἀπειλὰς δεδιέναι· πειράν τε ἀλγεινῶν μὴ καταπτήσσειν βασάνων, καὶ πρὸς τὴν τῶν ἀδίστων ἢ συνήθων διάζευξιν μὴ

μαλακίζεσθαι, τῆς πίστεως καὶ ἀρετῆς ἀντεχόμενον· ἐκτροπὴν δὲ ταύτης καὶ ἀπόπτωμα, τὸ ῥθονεῖν τε καὶ μνησικακεῖν, τὰς ἐμφιλονείκους ἐρεσχελίας, αἳ δὴ καὶ εἰς πληγὰς ἔσθ' ὅτε τελευτῶσι καὶ φόνους.

Περὶ μὲν οὖν τῶν δύο τῆς ψυχῆς δυνάμεων, θυμοῦ τε, φημί, καὶ ἐπιθυμίας, καὶ τῶν ἐν τούτοις συνισταμένων ἁμαρτημάτων, τῷ προσήκοντι τόπῳ, καὶ ὡς ἡ τάξις ἀπαιτεῖ τῶν στοιχείων, ῥηθήσεται· ἄρτια δὲ ἡ τοῦ λογιστικοῦ παρὰ φύσιν δημιουργεῖ κίνησις, τὸ νῦν ἤδη σκοπήσωμεν· ταῦτα γὰρ καὶ χαλεπώτερα τοῖς Πατράσιν ἐκρίθη, καὶ μείζονος καὶ ἐπιπονωτέρας δεόμενα τῆς ἐπιστροφῆς, καὶ τούτων οὐχ ἥκιστα τὴν τῆς ὀρθῆς πίστεως ἄρνησιν, περὶ ἧς καὶ εἰπεῖν προεθέμεθα.

Αὕτη τοίνυν, μὴ ὅτι γε τῇ τῶν τρόπων διαφορᾷ, ἀλλὰ καὶ τῷ διαλλάττοντι κρίνεται τῶν καιρῶν· ἤτοι γὰρ μόνην καταπλαγέντες ἀπειλήν, ἢ κολακείᾳ ὑποκλαπέντες, εἰσὶν οἳ κατηνέχθησαν, ἢ καὶ βασάνων πειραθέντες, καὶ πρὸς τὴν δριμύτητα μὴ ἀντισχόντες τῶν αἰκισμῶν· καὶ οἱ μὲν, ἐθελοντὶ τὰ τῆς ἀσεβείας ἠσπάσαντο, πραγμάτων ἀπηλλάχθαι νομίζοντες· οἱ δὲ, καὶ μετὰ τὴν τῆς πίστεως ἀθέτησιν, διῶκται φεῦ! τῶν εὐσεβῶν 1) γεγόνασι· καὶ τούτων αὖθις, οἱ μὲν τὴν πλάνην 2) τῆς ἀληθείας ἠλλάξαντο, ἐν προοιμίοις οὔσης τῆς εὐσεβείας, καὶ μηδέπω καλῶς ἱδρυμένης, ἡνίκα καὶ ὁ διωγμὸς σφοδρὸν ἔπνει καὶ μανικὸν, τῶν τυράννων ἀνικέστοις καθυποβαλλόντων βασάνοις τοὺς πρεσβεύοντας τὴν ἀλήθειαν· οἱ δὲ, ὅτε τὰ τῆς εὐσεβείας τὴν ὑφ' ἡλίῳ περιέσχε, καὶ βασιλέας οὐχ ἧττον ἐκόσμει οὗ περίκεινται διαδήματος.

Περὶ τῶν διὰ φόβον ἀρνησαμένων κληρικῶν τὴν πίστιν. Ἀποστόλων ξϛ'.

Περὶ μὲν οὖν τῶν φόβῳ κινδύνου κατενεχθέντων κληρικῶν, ὁ ξϛ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Εἴτις, φησὶ, κληρικὸς διὰ φόβον ἀνθρώπινον, Ἰουδαίου, ἢ Ἕλληνος, ἢ αἱρετικοῦ, εἰ μὲν τὸ τοῦ Χριστοῦ ἀρνήσεται ὄνομα, πάντη ἀποβαλλέσθω· εἰ δὲ τὸ

1) φεῦ τῶν ἀσεβῶν! B. — 2) τὴν πλάνην B. Γ. 1310. ε.

τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ, χώραν λαϊκοῦ λαμβανέτω.

Ἀγκύρας ά. καὶ β'.

Ὁ μέν τοι ά. καὶ β'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου κανὼν, τοὺς φόβῳ βασάνου θύσαντας πρεσβυτέρους καὶ διακόνους, εἶτα ἀναπαλαίσαντας ἤτοι μετανοήσαντας, καὶ τῶν τυράννων ἐνώπιον τὸν Χριστὸν ὁμολογήσαντας, τῆς μὲν τιμῆς μετέχειν καὶ τῆς καθέδρας κελεύει, ἱερατικόν δέ τι ἐνεργεῖν οὐκ ἐφίησιν.

Πέτρου ί'.

Ὁ δὲ ἅγιος Πέτρος Ἀλεξανδρείας, ἐν τῷ ί. κανόνι, Οἱ τὸν ἴδιον καταλιπόντες, φησὶ, κλῆρον, καὶ τοῖς κινδύνοις σφᾶς αὐτοὺς ἐπιδεδωκότες, στεφάνων ἐφέσει μαρτυρικῶν, ἡττηθέντες δὲ τῶν βασάνων καὶ τεθυκότες, εἰ καὶ εἰσαῦθις ἀναπαλαῖσαι τούτοις ὑπῆρξε, καὶ Χριστιανοὺς ἑαυτοὺς ἐνώπιον τῶν τυράννων ὁμολογῆσαι, δίκαιοι ἂν εἶεν τῆς τῶν λαϊκῶν ἀξιοῦσθαι κοινωνίας καὶ μόνης· ἀναισθήτως δ' ἔχειν αὐτοὺς, ἀποφαίνεται, εἰ τῆς λειτουργίας αὖθις μεταποιεῖντο 1), ἧς ἐκπεπτώκασιν ἑκόντες· τῷ γὰρ τοῦ κλήρου ἅπαξ ἀποροιτήσαντι, οὐδὲ ἡ ὑπὲρ Χριστοῦ ὁμολογία τοῦτον αὖθις χαρίσασθαι οἱ διὰ τὴν ἔκπτωσιν δύναται.

Συνόδου πρώτης ί'.

Ὁ δὲ τῆς ά. Συνόδου ί. κανών. Εἰ καὶ προεχειρίσθησαν, φησὶ, οἱ παραπεπτωκότες καὶ ἀρνησάμενοι, ἀγνοούντων ἢ εἰδότων τῶν χειροτονησάντων, γνωσθέντες ὕστερον, καθαιροῦνται, μηδὲν ἐκ τῆς χειροτονίας ὠφεληθέντες.

Περὶ τῶν ἀρνησαμένων λαϊκῶν. Ἀγκύρας ς'.

Λαϊκούς γέ τοι, τοὺς ἀπειλῇ καὶ μόνῃ κολάσεως, ἢ δημεύσεως, ἢ ἐξορίας, τῇ ἀσεβείᾳ ὑπείξαντας, ὁ ς'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου κανὼν ἐπὶ ἑξαετίαν τῶν ἱερῶν μυστηρίων ἀπείργει.

Πέτρου γ'. α'. β'.

Ταύτης οὐκ ἀπάδει τῆς ψήφου καὶ ὁ τρίτος τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας.

1) ἀντιπεισεῖντο Γ. καὶ 1340.

Ὁ δέ γε ά. αὐτοῦ, τοὺς μετὰ πεῖραν ἀνηκέστων τεθυκότας βασάνων, ἐπὶ τριετίαν καταδικάζει.

Ὁ δὲ ϛ΄. τοὺς μετὰ τὴν ἐν φυλακῇ μόνῃ ταλαιπωρίαν, καὶ μέχρι τετραετίας.

Ἀγκύρας δ΄. έ. ή.

Οὕτω καὶ ὁ τῆς ἐν Ἀγκύρᾳ δ΄. τῶν τοιούτων καθάπτεται, πρὸς δὲ καὶ ὁ έ. πλὴν τοὺς μετὰ τὸ θῦσαι ἐν ἐσθῆτι δειπνήσαντας φαιδροτέρᾳ μᾶλλον ἐπιπλήττει, ἢ τοὺς ἐν τῷ δείπνῳ δεδακρυμένους καὶ πενθικὸν ἔσθημα περικειμένους.

Ὁ δ' αὖ ή. ταύτης, τοὺς δὶς καὶ τρὶς θύσαντας μετὰ βίας, εἰς ἕβδομον ἔτος 1) τῆς κοινωνίας ἐξοστρακίζει.

Νύσσης α΄.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος, ἐν τῷ ά. κανόνι, Οἱ βασάνοις χαλεπαῖς αἰκισθέντες, φησὶ, καὶ θύσαντες, ἐν ῥητῷ χρόνῳ ἐτῶν ἐννέα ἐπετιμήθησαν.

Ἀγκύρας ζ΄.

Ὁ δὲ ζ΄. τῆς ἐν Ἀγκύρᾳ, τοὺς ἐν εἰδωλείῳ ἐθνικοῖς συνεστιαθέντας, εἰ καὶ ἴδια βρώματα ἐπικομιζόμενοι βεβρώκασι, παρὰ δέ γε τὸ δόξαι τοῖς ἀπίστοις συνεορτάζειν, μετὰ διετίαν εἰς κοινωνίαν κελεύει δέχεσθαι. Ὅθεν, φασί τινες, καὶ τοὺς πρέσβεις ἢ αἰχμαλώτους, ἐθνικοῖς συνεστιαθέντας, χρὴ μετρίως ἐπιτιμᾶν· τοὺς δὲ καταφρονήσει καὶ ἀδιαφορίᾳ τοῦτο ποιοῦντας, σφοδρότερον.

Βασιλείου πά.

Ὁ δὲ μέγας Βασίλειος ἐν πα΄., Τοὺς μετὰ πεῖραν βασάνων περιγενέσθαι τῶν πόνων μὴ ἐξαρκέσαντας, καὶ εἰδωλοθύτων γευσαμένους, καὶ ὅρκους ὀμωμοκότας Ἑλληνικοὺς, μετὰ χρόνους ἐξ τῇ ἱερᾷ προσιέναι ἀξιοῖ κοινωνίᾳ· τοὺς μέν τοι μεγάλης ἄνευ ἀνάγκης τὴν πίστιν προδεδωκότας, καὶ τραπέζης δαιμονίων ἡμμένους, εἰς ἔτος ὄγδοον παρατείνει.

1) εἰς ἑπτὰ ἔτη **B**.

Περὶ τῶν ἀρνησαμένων ἑκουσίως. Συνόδου Α΄. ιά, καὶ ιβ΄.

Ἡ πρώτη γε μὴν τῶν οἰκουμενικῶν Σύνοδος, ἔν τε τῷ ιά. καὶ ιβ΄. κανόνι, τοῖς χωρὶς οἱασοῦν ἀνάγκης τὰ τῶν Χριστιανῶν ἐξομοσαμένοις, ἐπὶ τῆς τυραννίδος τοῦ δυσσεβοῦς Λικινίου, καὶ γνήσιον αὖθις τὸν μετάμελον ἐπιδειξαμένοις, εἰς δωδέκατον ἔτος τὴν μέθεξιν τῶν ἁγιασμάτων ἀπείρηκεν, εἰ καὶ ἀνάξιοι πάσης ἦσαν φιλανθρωπίας φησὶ, οὕτω δόξαν τοῖς ἁγίοις Πατράσι ψηφίσασθαι, τοῦ καιροῦ καταστοχασαμένοις, οἶμαι, καὶ τῶν πραγμάτων· τῷ τηνικάδε γὰρ σφοδρὸν κατὰ Χριστιανῶν ὁ διωγμὸς ἔπνει.

Βασιλείου ογ΄.

Ἀλλὰ γὰρ οὐχ οὕτω κρίσεως ὁ μέγας ἔχει Βασίλειος, οὐδὲ ὁ ἀδελφὰ τούτῳ φρονῶν ἀδελφὸς Γρηγόριος Νύσσης. Ὁ μὲν γὰρ ἐν ογ΄. κανόνι, τοὺς τὸν Χριστὸν ἠρνημένους, διὰ βίου τῆς ἱερᾶς κοινωνίας ἐκβάλλει, προσκλαίοντας ἐσαεὶ καὶ ἐξομολογουμένους· ἀπαίροντας δὲ τοῦ βίου, τῶν ἁγιασμάτων ἀξιοῦσθαι κελεύει, τῇ τοῦ Θεοῦ τεθαρρηκότας καὶ πεπιστευκότας φιλανθρωπίᾳ.

Νύσσης α΄.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ ά. κανόνι, Ὁ ἑκουσίως, φησὶ, τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνησάμενος πίστιν, καὶ Ἰουδαϊσμῷ, ἢ εἰδωλολατρείᾳ, ἢ Μανιχαϊσμῷ, ἢ ἄλλῳ τινὶ τῶν τῆς ἀθεΐας 1) εἰδῶν ὄντων πλειόνων προσθέμενος, εἶτα καταγνοὺς ἑαυτοῦ, μετάνοιαν εἰσπράττεται τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ συμπαρατεινομένην 2)· οὐδέποτε γὰρ τῆς μυστικῆς εὐχῆς ἐπιτελουμένης συνάμα τοῖς πιστοῖς τὸν Θεὸν προσκυνεῖν τούτῳ ἐφεῖται, ἀλλὰ καὶ κατὰ μόνας προσεύξεται, καὶ τῆς κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· τοῦ δὲ θανάτου ἐφισταμένου, τῆς μερίδος τῶν θείων μεταλήψεται δώρων· εἴγε μὴν συμβαίη παρ' ἐλπίδα τοῦτον ἐπιβιῶναι, τῶν αὐτῶν εἰσαῦθις ἐπιτιμίων ὑπόδικος ἔσεται διὰ βίου, τῶν ἁγιασμάτων μέχρις αὐτῆς εἰργόμενος τῆς ἐξόδου.

---

1) ἀσεβείας Β΄ — 2) ἀντὶ τοῦ μετάνοιαν κτλ., χρόνον τὸν τῆς μετανοίας ἔχει ἕλον τὸν τῆς ζωῆς αὐτοῦ. 1375.

Περὶ τῶν μετὰ τὴν ἄρνησιν καὶ ἑτέρους διωξάντων.

Ἀγκύρας θ'.

Εἰ δέ τινες, ὁ ἔννατος τῆς ἐν Ἀγκύρᾳ φησὶ κανὼν, τοσοῦτον κατεπλάγησαν τὸ βαρὺ 1) τῶν κολάσεων, ὡς μὴ ὅτι τῆς πίστεως ἀποστῆναι, ἀλλὰ καὶ κατεξαναστῆναι οἷς ἐμέλησε τῶν τῆς πίστεως, ὥστε καὶ θύειν προτρέπειν δαίμοσιν, ἢ ἀγνοουμένους ἔστιν οὓς, καταμηνύειν οἷα Χριστιανοὺς, ἢ καὶ κρυπτομένους εἰς μέσον ἕλκειν, ὁ τῆς δεκαετίας τέλειος ἀριθμὸς τὸ τέλειον τῆς ἀφέσεως τούτοις μεταμελομένοις ἐπιμετρήσει. Οὐ γὰρ δήπου περὶ τῶν ἐξάρνων πάντῃ γεγενημένων, καὶ ἀπεναντίας ἱσταμένων τῇ ἀσεβείᾳ, ὁ κανὼν οὗτος διέξεισιν, οἵπερ ἄρα καὶ διῶκται τῆς Ἐκκλησίας πεφήνασιν ἀτεχνῶς· ἐκεῖνοι γὰρ, εἴ γε καὶ ἀληθῶς μεταγνοῖεν, καὶ βαρυτέρων, εἰ οἷόν τε, πειραθήσονται τῶν ἐπιτιμίων, ἢ οἱ πρὸ τούτου ῥηθέντες ἄμφω δικαιοῦσι κανόνες· οὐ δὴ τούτους φησὶν, ἀλλὰ τοὺς ἔτι μὲν τὰ τῶν ὀρθοδόξων φρονοῦντας, δέει γε μὴν τῶν βασάνων τὰ τῶν ἀσεβῶν ὑπέρχεσθαι σκηπτομένους.

Ἀθανασίου.

Ὁ δὲ μέγας Ἀθανάσιος, ἐν τῇ πρὸς Ῥουφινιανὸν ἐπιστολῇ, Τῶν κεκοινωνηκότων τοῖς τὰ Ἀρείου φρονοῦσιν ἱερωμένων, φησί, οἱ μὲν βίᾳ καθυπαχθέντες, κανονικῶς μὲν εὐθύνονται, τοῦ τόπου δὲ ἧς μετέλαχον τάξεως οὐκ ἐκβάλλονται, καὶ μάλιστα εἰ τὸν λογισμὸν ἥκιστα εἶχον ἐκείνοις συμβαίνοντα, ὡς φασι, δι' οἰκονομίαν δὲ κεκοινωνηκέναι προσεποιήσαντο, δέει τοῦ μὴ φθαρῆναι τὰς Ἐκκλησίας τῇ τῶν δυσσεβῶν ἀντεισαγωγῇ. αὐτῶν ὑπερορίων μετὰ τῆς εὐσεβείας γεγενημένων· οἱ δὲ πρὸς τῷ κεκοινωνηκέναι καὶ τῆς ἀσεβείας ὑπεραγωνιζόμενοι, καὶ συνηγοροῦντες εἰς δύναμιν, οὐ τοῖς ἐπιτιμίοις μεταμελόμενοι καθυποβάλλονται, ἀλλὰ γυμνούμενοι τῆς ἱερωσύνης, ἐν τῇ τῶν λαϊκῶν τάττονται χώρᾳ· τοῖς δὲ ἀπατηθεῖσιν, ἢ βίαν παθοῦσι λαϊκοῖς, συγγνώμη δίδοται, κανονικῶς πρότερον ἐπιτιμωμένοις, καὶ φανερῶς ἀναθεματίσασι τὰ τῶν αἱρετικῶν, καὶ τὴν ἐν Νικαίᾳ ὀρ-

1) τῇ βάρει B.

θόδοξον πίστιν πρεσβεύειν ὑπισχνουμένοις· ταύτην οὐκ ἐγὼ, φησὶ, μόνος τὴν ψῆφον, ἀλλ' οἱ καὶ εἰς Συνόδους τοπικὰς ἀθροισθέντες θεῖοι Πατέρες ἐξήνεγκαν.

Περὶ τῶν ἀρνησαμένων κατηχουμένων. Συνόδου πρώτης ιδ'.

Οὐδὲ τοὺς περιπεπτωκότας τῶν κατηχουμένων ἀνευθύνους περιϊδεῖν οἱ θεῖοι Πατέρες ἐνόμισαν. Ὁ γὰρ ιδ'. τῆς ά. Συνόδου κανὼν, εἰς τρίτον ἔτος ἐν τῷ τῶν ἀκροωμένων ἐπιτιμίῳ κελεύει γίνεσθαι τοὺς τοιούτους, εἶθ' οὕτω πρὸς τὴν προτέραν τάξιν ἐπανιέναι, καὶ τοῖς κατηχουμένοις συνεύχεσθαι.

Ἀγκύρας ιβ'.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιβ'. κανὼν, Τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, μετὰ τὸ βάπτισμα, εὖ μάλα τοῦ ἄγους 1) ἀποπλυναμένους, καὶ εἰς ἱερωσύνην ἐπισκήπτει 2) προάγεσθαι.

Περὶ τῶν ἀναγκασθέντων ἀρνήσασθαι καὶ μὴ ὑποκυψάντων. Ἀγκύρας γ'.

Ὅγε μὴν γ'. τῆς ἐν Ἀγκύρᾳ κανὼν, Τοὺς ἐκποδὼν τοῖς διώκουσι γενομένους, κατὰ τὴν φεύγειν ὅταν διώκωσιν ὑμᾶς κελεύουσαν ἐντολὴν, διαδράναι δὲ τελέως μὴ δυνηθέντας, ἀλλὰ συλληφθέντας καὶ πρὸς βίαν ἀναγκασθέντας 3) ἢ λιβανωτὸν εἰς χεῖρας δέξασθαι, ἢ τῷ στόματι τῶν ἀνιέρων σπονδῶν γεύσασθαι 4), οὐ μὴν ἀνεχομένους ἔχειν σιγῇ, ἀλλὰ βοῶντας εἶναι Χριστιανοὺς, οἷα τὸν λογισμὸν κεκτημένους ἀήττητον, τούτους ὡς ἥκιστα ἁμαρτόντας, τῆς κοινωνίας δεῖν ἔκρινε μὴ ἐξείργεσθαι· οὐ μόναν δὲ, ἀλλὰ καὶ εἰς ἱερωσύνην μηδὲν ἐπιδοιάζοντας προβιβάζειν, εἴγε καὶ ὁ προτοῦ βίος τούτοις εἶχε τὸ ἀνεπίληπτον· οὐ γὰρ τοῦ τῆς ὁμολογίας στεφάνου διήμαρτον.

Πέτρου ιδ'.

Οὕτω περὶ τῶν τοιούτων καὶ ὁ ἱερομάρτυς Πέτρος ψηφίζεται ἐν τῷ ιδ'. κανόνι.

---

1) ῥύπου B.—2) κελεύει 1340. — 3) οὐ κεῖται παρὰ B. τὸ πρὸς βίαν ἀναγκασθέντας. —4) δέξασθαι 1340.

Νόμοι πολιτικοί.

Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, καὶ πάλιν ἑλληνίζοντες, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται 1).

Οἱ ἀποστάντες τῆς τῶν ὀρθοδόξων πίστεως, καὶ αἱρετικοὶ γενόμενοι, ἢ θύσαντες, ἢ θῦσαί τινι ἐπαγγειλάμενοι, οὐ δύνανται διατίθεσθαι, ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης, οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τι δύνανται 2).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ αἱρετικῶν, καὶ ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας.

Βασιλείου ἁ.

Ἀλλὰ γὰρ ὅπως, καὶ τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας, καὶ τῇ καθολικῇ προσιόντας Ἐκκλησίᾳ, οἱ θεῖοι Πατέρες προσδέχεσθαι τεθεσπίκασιν, ἤδη σκοπητέον· ἀλλὰ μήπω περὶ τούτου 3), ὡς ἐν εἴδει δὲ διαιρέσεως τῶν ἀποδιϊσταμένων τοῦ ὀρθοῦ φρονήματος, τὰς γενικωτάτας πρῶτον ῥητέον προσηγορίας, ἃς δὴ τὸ ἀπατηλὸν καὶ πολυσχιδὲς 4) τῶν νόθων δογμάτων ἑκάστοις αὐτῶν ἐπεκλήρωσε· τὰς μὲν γὰρ αἱρέσεις προσηγορεύκασιν, ἐν τῷ ἁ. κανόνι φησὶν ὁ μέγας Βασίλειος, τὰ δὲ, σχίσματα· τὰς δὲ, παρασυναγωγὰς· αἱρέσεις μὲν οὖν, τοὺς πάντῃ ἀπερρηγμένους, καὶ κατ' αὐτὴν ἀπηλλοτριωμένους τὴν πίστιν, οἷον Μανιχαίους, Οὐαλεντίνους, Μαρκιωνιστὰς, Πεπουζηνοὺς, καὶ τοὺς ἐκείνοις παραπλησίους· σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας, καὶ μάλιστα τοῦ διαφέρεσθαι περὶ τοῦ τρόπου τῆς μετανοίας πρὸς τὴν καθολικὴν Ἐκκλησίαν· παρασυναγωγὰς δὲ, τὰς παρασυνάξεις, οἷον, εἴτις τῶν ἐπισκόπων ἢ πρεσβυτέρων, πταίσματι ἁλοὺς, ἐπεσχέθη 5) τῆς λειτουργίας, καὶ τοῖς κανόσιν ὑποκύψαι μὴ ἀνασχόμενος, ἑαυτῷ τὴν προεδρίαν ἐξεδίκησε καὶ λειτουργίαν, καὶ τούτῳ συναπῆλθον οἱ ἀπαιδευσίαν νοσοῦντες ἐκ

1) 16. Κῶδ. 1. 5. — 2) 22. Κῶδ. 1. 5. — 3) τὸ, ἀλλὰ μήπω περὶ τούτου, οὐ κεῖται παρὰ Β. — 4) πολυσχιδὲς Β. ε. — 5) ὑπεσχέθη Β.

τοῦ λαοῦ, τὴν καθολικὴν καταλελοιπότες Ἐκκλησίαν. Δέδοκτο τοίνυν, φησὶν, ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν βάπτισμα παντελῶς ἠθετηκέναι, περὶ γὰρ αὐτὴν τὴν εἰς Θεὸν πίστιν πέφυκε τούτοις ἡ διαφορά· παραδέχεσθαι δὲ τῶν ἀποσχισάντων, τοὺς μέντοι παρασυνάγοντας, ἀξιολόγῳ μετανοίᾳ τὴν ἐπιστροφὴν ἐπιδειξαμένους, ἑνοῦσθαι πάλιν τῇ Ἐκκλησίᾳ· ἔστι δ' ὅτε καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, εἶτα μεταμελομένους, εἰς τὴν προτέραν τάξιν ἐπανιέναι.

Τούς γε μὴν Καθαροὺς, τῶν ἀπεσχισμένων καὶ αὐτοὺς ὄντας, καὶ Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, ἔδοξε, φησὶ τοῖς περὶ Κυπριανὸν, καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, πάντας ἀναβαπτίζεσθαι· εἰς γὰρ τὴν Καρχηδόνα, ἧς ἐπίσκοπος ὁ μέγας Κυπριανὸς ἦν, Σύνοδος Πατέρων ἀρχαιοτέρα πασῶν ἤθροιστο, οἷς ἤρεσεν ἐκ κοινῆς ψήφου, πάντας αἱρετικούς τε καὶ σχισματικοὺς προσιόντας τῇ Ἐκκλησίᾳ βαπτίζεσθαι· συνελογίζοντο γὰρ οὕτωσί· εἰ καὶ μὴ περὶ δόγματα οἱ σχισματικοὶ σφάλλοιντο, ἀλλ' ἐπεί τοί γε κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας ὁ Χριστός ἐστι, κατὰ τὸν θεῖον Ἀπόστολον, ἐξ οὗ τὰ μέλη πάντα ζωοῦται, καὶ τὴν πνευματικὴν αὔξησιν δέχεται, οὗτοι δὲ τῆς ἁρμονίας τῶν μελῶν τοῦ σώματος ἀπερράγησαν, οὐκέτι παραμένουσαν αὐτοῖς ἔχουσι τὴν χάριν τοῦ ἁγίου Πνεύματος· ὃ τοίνυν οὐκ ἔχουσι, πῶς ἂν τοῖς ἄλλοις μεταδοῖεν; ἀλλ' ὅμως, φησὶν ὁ μέγας οὗτος Πατὴρ, ἐπεί τισι τῶν κατὰ τὴν Ἀσίαν ἔδοξε δι' οἰκονομίαν τὸ τῶν Καθαρῶν βάπτισμα δέχεσθαι, ἔστω δεκτόν.

Περὶ Ἐγκρατιτῶν.

Τὸ τῶν Ἐγκρατιτῶν μέν τοι οὐκ ἐξῆν· Μαρκιωνιστῶν γάρ ἐστιν ἄντικρυς ἡ κατ' αὐτοὺς αἵρεσις βλάστημα· κατ' ἐκείνους γὰρ καὶ οὗτοι τὸν γάμον βδελύσσονται, τοῦ Σατανᾶ εἶναι αὐτὸν ἀποφαινόμενοι, τὸν οἶνον ἀποστρέφονται, τὴν τῶν ἐμψύχων ἀπαγορεύουσιν ἐδωδὴν, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι ληροῦσι· μὴ γὰρ λεγέτωσαν, ὅτι εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα βαπτίζονται, οἵ γε κακῶν ποιητὴν τὸν Θεὸν εἶναι λέγουσιν, ἐφαμίλλως τῷ Μαρκίωνι· ἀλλ' ἵνα μὴ τῆς ἀκριβείας ἐχόμενοι ὀκνηροτέρους αὐτοὺς ποιήσαιμεν εἰς τὸ προσιέ-

ναι τῇ καθολικῇ Ἐκκλησίᾳ, χρηστέον, φησὶ, τῷ ἔθει, καὶ τοῖς τὰ καθ' ἡμᾶς οἰκονομήσασι Πατράσιν ἀκολουθητέον, καὶ ὡς ἐκείνοις δοκεῖ, χριόμενοι τῷ ἁγίῳ μύρῳ, οὕτω τῶν ἁγιασμάτων μεταλαμβανέτωσαν.

Περὶ Ὑδροπαραστατῶν.

Ὑδροπαραστάται δ' εἰσὶν οἱ μόνον ὕδωρ ἐν τῇ ἱερουργίᾳ τοῦ ἁγίου προσφέροντες ποτηρίου, οἶνον δὲ τούτῳ μιγνύναι μὴ ἀνεχόμενοι, καὶ τὸν ἔννομον γάμον μηδὲν διενηνοχέναι πορνείας οἰόμενοι· τὰ αὐτὰ καὶ ὁ μζ΄. κανὼν τοῦ αὐτοῦ διορίζεται. Ζήτει περὶ Ὑδροπαραστατῶν καὶ Ἀρμενίων ἐν τῷ ἡ. κεφ. τοῦ Κ στοιχείου.

Τίνες μόνῳ χρίονται μύρῳ. Συνόδου Β΄. ζ΄.

Ἀλλὰ γὰρ καὶ ὁ ζ΄. κανὼν τῆς οἰκουμενικῆς Β΄. Συνόδου, ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας ἀριδήλως νομοθετεῖ· εἰς δύο γὰρ μοίρας ἅπαντας διελὼν, τοὺς μὲν, μύρῳ χρίεσθαι, τοὺς δὲ, ἀναβαπτίζεσθαι διωρίσατο. Ἀρειανοὺς μὲν οὖν, καὶ Μακεδονικνοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς, καὶ Ἀριστεροὺς, καὶ Τεσσαρασκαιδεκατίτας ἤτοι Τετραδίτας, καὶ Ἀπολιναριστὰς, ἐπείπερ ἐξίσης ἡμῖν τῷ θείῳ τελειοῦνται 1) βαπτίσματι, οὐκ οἴεται δεῖν τούτους ἀναβαπτίζειν, ἀλλὰ, μετὰ τὸν τῆς σφετέρας αἱρέσεως ἔγγραφον ἀναθεματισμὸν, τῷ ἁγίῳ χρίειν μύρῳ κελεύει τό,τε μέτωπον αὐτῶν, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, τὸ στόμα τε, καὶ τὰ ὦτα, καὶ σφραγίζοντας λέγειν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου.

Περὶ Εὐνομιανῶν. Τίνες ἀναβαπτίζονται·

Εὐνομιανούς γε μὴν, τοὺς εἰς κατάδυσιν βαπτιζομένους μίαν, καὶ Μοντανιστὰς, τοὺς καλουμένους Φρύγας, καὶ Σαβελλιανοὺς, τοὺς διδάσκοντας τὴν υἱοπατρίαν, καὶ τοὺς παραπλησίους τούτοις, ὡς οὐδὲν ἄμεινον τῶν ἀβαπτίστων 2) Ἑλλήνων ἀληθείας δικαζούσης διακειμένους, τῇ καθολικῇ προσιόντας Ἐκκλησίᾳ, εὐθὺς κελεύει βαπτίζεσθαι· ἢ γὰρ ὅλως οὐκ ἐβαπτίσαντο, ἢ καὶ

1) τελοῦνται Β. 1340 — 2) ἀναβαπτίστων 1375.

βαπτισάμενοι οὐ κατὰ τοὺς θεσμοὺς τῆς τῶν ὀρθοδόξων Ἐκκλησίας ἐνεσημάνθησαν· ταύτῃ τοι καὶ ἀφώτιστοι τοῖς θείοις Πατράσι λογίζονται.

Περὶ Ἀρειανῶν.

Ἀρειανοὶ μὲν οὖν εἰσιν οἱ τὰ Ἀρείου φρονοῦντες, ὃς πρεσβύτερος ὢν τῆς κατ' Ἀλεξάνδρειαν Ἐκκλησίας, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ ἅγιον Πνεῦμα ἑτερούσια τῷ Πατρὶ καὶ κτίσματα ὁ βέβηλος ἐδογμάτιζε.

Περὶ Μακεδονιανῶν καὶ Ἡμιαρείων 1).

Μακεδονιανοὶ δὲ οἱ περὶ μὲν τοῦ Υἱοῦ ὑγιῶς φρονοῦντες, τὸ δὲ ἅγιον Πνεῦμα κτιστὸν βλασφημοῦντες, καὶ ἀλλότριον τῆς θεότητος 2), παρ' ὃ καὶ Ἡμιάρειοι ἐκαλοῦντο· ταυτηνὶ δὲ τῆς κλήσεως καὶ ἑτέρα τῶν ἐξαγίστων αἱρέσεων ἔτυχεν· οἳ δὴ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε κτίσματα ὡς ὁ Ἄρειος, οὔτε μὴν ὁμοούσια τῷ Πατρὶ δοξάζειν ἠνείχοντο, ξένῳ δέ τινι τρόπῳ ὁμοούσια τῷ Πατρί· ἐδεδίεσαν γὰρ, ὡς ἔφασκον, μὴ πάθος περὶ τὸν Πατέρα διὰ τῆς γεννήσεως νομισθῇ.

Περὶ Ναβάτου.

Ναβάτος δὲ πρεσβύτερος ὢν τῆς παλαιᾶς Ῥώμης, τῆς τῶν λεγομένων Καθαρῶν αἱρέσεως ἦρξε, σχισματικὸς ὢν κυρίως, οὐχ αἱρετικός· οὐ γὰρ περί τι τῶν ὀρθῶν δογμάτων τοῖς πιστοῖς διεφέρετο, ἀλλὰ τοῖς ἐν τῷ διωγμῷ ὑποκύψασι καὶ θύσασιν ἀπηγόρευε τὴν μετάνοιαν· τοῖς τε δι γάμοις οὐκ ἐκοινώνει· ἀνθ' ὧν, εἰ καὶ μὴ περὶ τὴν πίστιν ἔσφαλτο, διὰ μέντοι τὸ ἀσυμπαθὲς αὐτοῦ καὶ μισάδελφον, Συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου τοῦ Πάπα, Δεκίου βασιλεύοντος, ἀπεβλήθη καὶ ἀνεθεματίσθη, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ.

Περὶ Σαββατίου.

Σαββατιανοὶ δὲ, ὧν ἡγήσατο Σαββάτιός τις πρεσβύτερος, τῆς αἱρέσεως μὲν κἀκεῖνος ὢν τοῦ Ναβάτου, τῇ δὲ περὶ τὰ χείρω φιλοτιμίᾳ καὶ ἰουδαϊκῶς σαββατίζειν ᾑρεῖτο, νηστείαν ἐν τούτῳ

1) Περὶ Μακεδονίου Β. — 2) τὸ, καὶ ἀλλότριον τῆς θεότητος οὐ κεῖται ἐν 1375.

μετιών, καὶ τ' ἄλλα παραπλησίως ἐκείνοις, καθὼς δὴ καὶ οἱ Λαοδικῖνοι τανῦν.

Περὶ Ἀριστερῶν.

Οἱ αὐτοὶ δὲ καλοῦνται καὶ Ἀριστεροὶ, ὅτι τὴν ἀριστερὰν εἰσὶ βδελυττόμενοι χεῖρα, δι' αὐτῆς προσίεσθαι τὸ οἰονοῦν μὴ τολμῶντες.

Περὶ Τεσσαρεσκαιδεκατιτῶν.

Τεσσαρεσκαιδεκατῖται δὲ, οἱ τὸ πάσχα τελοῦντες οὐκ ἐν ἡμέρᾳ Κυριακῇ, κατὰ τοὺς ἱεροὺς τῆς Ἐκκλησίας θεσμοὺς, ἀλλ' ἐν ᾗ ἂν ἡμέρᾳ τεσσαρεσκαιδεκαταίαν τύχῃ τὴν σελήνην γενέσθαι, ὃ τῆς τῶν Ἰουδαίων θρησκείας ἐστὶν ἰδιαίτατον.

Περὶ Τετραδιτῶν.

Οἱ δ' αὐτοὶ καὶ Τετραδῖται, ὅτι τὸ πάσχα ἑορτάζοντες οὐ καταλύειν ἀλλὰ νηστεύειν αἱροῦνται, ὡς ἐν ταῖς τετράσιν ἡμεῖς, Ἰουδαίους κἂν τούτῳ μιμούμενοι, τοὺς μετὰ τὸ πάσχα ἄζυμα καὶ πικρίδας ἐσθίοντας.

Περὶ Ἀπολιναρίου.

Ἀπολιναρισταὶ δὲ, ὧν ἦρχεν ὁ πολὺς τὴν κακίαν Ἀπολινάριος, τῷ τῆς ἐν Συρίᾳ Λαοδικείας θρόνῳ ἀνοχῇ Θεοῦ εἰσφθαρεὶς, ὃς περὶ τὴν οἰκονομίαν φανερῶς ἐβλασφήμει, λέγων τὸν Υἱὸν τοῦ Θεοῦ σῶμα μὲν ἔμψυχον, νοῦ δὲ παντάπασιν ἄμοιρον, ἐκ τῆς ἁγίας ἀνειληφέναι παρθένου, ἅτε τῆς θεότητος ἀποχρώσης ἀντὶ τοῦ νοῦ, ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ Κυρίου φρονῶν· ἀλλὰ καὶ μίαν φύσιν ἐπὶ τοῦ Κυρίου ἐδίδασκεν· οὗτοι πάντες ἐῤῥῶσθαι πολλὰ ταῖς οἰκείαις αἱρέσεσι φράσαντες, μύρῳ μόνῳ χριόμενοι τοῖς Ἐκκλησίας ἐναριθμοῦνται τροφίμοις.

Ἐντεῦθεν οἱ ἀναβαπτιζόμενοι.

Ἄθρει δή μοι ὅσοι τε καὶ οἷοι, οὓς οἱ θεῖοι Πατέρες ἀξιοῦσιν ἀναβαπτίζεσθαι.

Εὐνομιανοὶ, ὧν ἡγεῖτο Εὐνόμιος. Γαλάτης δὲ ὢν, Κυζίκου γέγονεν ἐπίσκοπος, χείρονα μακρῷ τοῦ Ἀρείου φρονῶν· τρεπτὸν γὰρ καὶ δοῦλον, καὶ κατὰ πάντα ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζε· τοὺς γε μὴν τῇ ἀπάτῃ τούτου προστιθεμένους εἰς

μίαν κατάδυσιν ἐβάπτιζεν ὁ ἐξάγιστος, κατὰ κεφαλῆς αὐτοὺς καταδύων ἄνω τῶν ποδῶν αὐτοῖς τετραμμένων· ἀλλὰ καὶ τὰς μελλούσας κολάσεις μὴ ἀληθεῖς εἶναι ἀπεφλυάρει, δι' ἐκφόβισιν μόνην ἀπειληθείσας.

Περὶ Μοντανοῦ τοῦ Φρυγός.

Μοντανισταὶ, οἱ ἀπὸ Μοντανοῦ τινος σχόντες τὴν κλῆσιν, οἳ δὴ καὶ Φρύγες ὠνομάζοντο, ἢ τοῦ αἱρεσιάρχου τούτων Φρυγὸς ὄντος, ἢ τὴν ἀρχὴν ἐκ Φρυγίας τῆς τοιαύτης φυείσης 1) αἱρέσεως. Ὁ τοίνυν Μοντανὸς οὗτοσὶ Παράκλητον ἑαυτὸν προσηγόρευε, καὶ δύο γυναῖκας ἐπαγόμενος Πρίσκιλλαν καὶ Μαξιμίλλαν, προφήτιδας αὐτὰς ἐκάλει.

Περὶ Πεπουζηνῶν.

Καὶ Πεπουζηνοὶ δὲ οἱ τοιοῦτοι προσηγορεύοντο· Πέπουζαν γὰρ τῆς Φρυγίας κώμην ἐκθειάζοντες, Ἱερουσαλὴμ αὐτὴν ὠνόμαζον· οὗτοι καὶ τοὺς γάμους λύειν ἐπέτρεπον, καὶ βρωμάτων ἔστιν ὧν ἀπέχεσθαι ἐδίδασκον 2)· τὸ πάσχα διέστρεφον· εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συνήρουν τε καὶ συνέχευν· καὶ αἷμα παιδὸς ἐκκεντουμένου, ἀλεύρῳ συμφύροντες καὶ ἀρτοποιοῦντες προσέφερον, καὶ αὐτοῦ μετελάμβανον.

Περὶ Σαβελλίου.

Σαβελλιανοὶ, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως ἐπίσκοπος γεγονὼς, συναλοιφὴν ἐπὶ τῆς ἁγίας Τριάδος καὶ σύγχυσιν ἐδογμάτιζε· τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, τριώνυμον τὸν αὐτὸν λέγων, νῦν μὲν ὡς Πατέρα φαίνεσθαι, νῦν δὲ ὡς Υἱὸν, ἔστι δ' ὅτε ὡς ἅγιον Πνεῦμα, ἄλλοτε ἄλλως μεταμορφούμενον καὶ μετασχηματιζόμενον· ὡς ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως, κατὰ τὸν θεολόγον Γρηγόριον, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζόμενος· φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν, εἰς ἄλληλα χωροῦντα καὶ μεταβαίνοντα, ψιλῶν καταλειπομένων τῶν ὀνομάτων.

---

1) ἐκφυείσης 1340. ε.— 2) ἐδίδασκεν οὐ κεῖται ἐν 1340 καὶ 1378. ε καὶ Γ.

Περὶ Παυλιανισάντων. Συνόδου πρώτης ιθ΄.

Ὁ δὲ τῆς Α΄. Συνόδου ιθ΄. κανὼν, καὶ τοὺς παυλιανίσαντας, εἶτα τῇ καθολικῇ προσπεφευγότας Ἐκκλησίᾳ, προστάττει ἀναβαπτίζεσθαι· σκοπῆσαι δὲ δεῖ, τίνας ὁ κανὼν ἀναβαπτίζειν ἐπιτρέπει, τοὺς ἀπὸ ὀρθοδόξων παυλιανίσαντας, ἢ τοὺς ἐξ ἀρχῆς τῆς ἐκείνων ἐθάδας αἱρέσεως· εἰ δέ τινες αὐτῶν, φησὶν, ἐν τῷ κλήρῳ ἐξητάσθησαν, ἀγνοησάντων ἴσως ὅπως εἶχον ἀσεβείας τῶν αὐτοὺς χειροτονησάντων, καὶ τούτους μετὰ τὸ γνωσθῆναι δέον ἀναβαπτίζεσθαι, μηδὲν ἐκ τῆς χειροτονίας ἀποναμένους· καὶ εἰ μὲν εὑρεθεῖεν μετὰ τὸ βάπτισμα καὶ κατὰ τὸν βίον ἄμεμπτοι, χειροτονεῖσθαι ὑπὸ τοῦ ἐπισκόπου τῆς Ἐκκλησίας, ἢ προσῆλθον, εἰδ' οὖν, τοῦ κλήρου εἶναι ἀπεωσμένους.

Περὶ Παυλικιανῶν.

Παυλικιάνοι δὲ οἱ Μανιχαῖοι μετωνομάσθησαν ἀπό τινων ἀδελφῶν δύο, Παύλου καὶ Ἰωάννου, ὁρμωμένων ἐκ Σαμοσάτων, υἱῶν γυναικός τινος Μανιχαίας, Καλλινίκης τοὔνομα, δυσσεβείᾳ μᾶλλον ἢ γάλακτι τοὺς υἱοὺς θρεψαμένης· οὗτοι, ἕνα εἶναι Θεὸν ἐκήρυσσον, Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν αὐτὸν προσαγορευόμενον· εἷς γάρ φησι Θεὸς, καὶ ὁ Υἱὸς αὐτοῦ ἐν αὐτῷ, ὡς ὁ λόγος ἐν ἀνθρώπῳ· ὁ δὲ Λόγος οὗτος ἐπὶ γῆς ἐλθὼν, ἐν ἀνθρώπῳ ᾤκησεν, Ἰησοῦ καλουμένῳ, καὶ τὴν οἰκονομίαν πληρώσας, ἀνῆλθε πρὸς τὸν Πατέρα· ὁ δὲ Ἰησοῦς οὗτος, κάτωθεν ἦν ἀπὸ Μαρίας ἀρξάμενος· ἀπὸ τοίνυν τῶν δύο τούτων νῦν Παύλου καὶ Ἰωάννου, τοῖς σφῶν μαθηταῖς ἡ τῶν Παυλικιανῶν ἐπετέθη προσωνυμία, βαρβαρικώτερον συντεθεῖσα· ἀντὶ γὰρ Παυλοϊωάννοι, Παυλικιάνοι κατονομάζονται· τὰ δὲ τῆς τούτων αἱρέσεως, Φώτιος ὁ πατριάρχης Κωνσταντινουπόλεως χρηματίσας, ἐν ἱκανῷ στηλιτεύει λόγῳ.

Συνόδου ἕκτης κε΄.

Τοὺς οὖν ἄρτι καὶ προσεχῶς ῥηθέντας ἄμφω κανόνας, τόν τε ζ΄. τῆς Β΄. Συνόδου, καὶ τῆς Α΄. τὸν ιθ΄. ὁ κε΄. τῆς ς΄. Συνόδου κανὼν ἑνώσας, καὶ τοῖς αὐτῶν σχεδὸν χρησάμενος ῥήμασι, προσεπάγει, χρῆναι ἀναβαπτίζεσθαι τούς τε Μανιχαίους, καὶ Οὐκ-

λεντίνους, καὶ Μαρκιωνιστάς· Νεστοριανοὺς δὲ, λιβέλλους διδόναι, γράμματα δηλαδὴ τὴν σφῶν αἵρεσιν στηλιτεύοντα, ὀνομαστί τε τὸν Νεστόριον ἀναθέματι καθυποβάλλειν· οὐ μὴν, ἀλλὰ καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, τοὺς ἐκ διαμέτρου τοῦ Νεστορίου ἑτέραν ἐξευρηκότας δυσσέβειαν.

Τὰ μὲν οὖν κατὰ τὸν Νεστόριον ὅσον οὔπω ῥηθήσεται· περὶ μέν τοι τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου ἤδη ῥητέον.

Περὶ Διοσκόρου καὶ Εὐτυχοῦς.

Ὁ τοίνυν Διόσκορος, τῆς περιωνύμου πόλεως Ἀλεξανδρείας τοὺς ἱεροὺς ἀνιέρως διεχείριζεν οἴακας· Εὐτυχὴς δὲ, τῶν ἐν τῇ βασιλίδι τῶν πόλεων ἱερῶν σεμνείων ἀρχιμανδρίτης ἐτύγχανεν ὤν. Οὗτοι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὁμοούσιον μὲν ἐπίστευον τῷ Πατρὶ, περὶ δέ γε τὴν ἐνάνθρώπησιν βλάσφημον γλῶτταν ἐκίνουν, καὶ φεύγοντες δῆθεν τὴν τοῦ Νεστορίου διαίρεσιν, δύο υἱοὺς εἰσάγοντος, εἰς ἕτερον κρημνὸν ἀπεναντίας ὠθοῦντο· τὰς γὰρ δύο ἐπὶ τοῦ Κυρίου φύσεις, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, μετὰ τὴν ἕνωσιν συγκραθῆναι, καὶ εἰς μίαν ἀποτελεσθῆναι φύσιν δυσσεβῶς ἐδογμάτιζον, ὡς ἐντεῦθεν καὶ τῇ θεότητι προσαρμόζεσθαι ἅπερ ἡ ἀνθρωπότης ὑπέστη θεῖα παθήματα· ἀλλὰ καὶ τὴν σάρκα οὐχ ὁμοούσιον ἡμῖν ἀνειληφέναι τὸν Κύριον ἔλεγον, οὐδ' ἐκ τῶν παρθενικῶν συμπαγῆναι αἱμάτων, ἀλλ' ἀῤῥήτως πως καὶ θειοτέρως σεσαρκῶσθαι αὐτὸν ἀνέπλαττον· οὓς καθεῖλεν ἡ ἐν Χαλκηδόνι οἰκουμενικὴ Δ'. Σύνοδος τῶν χλ'. Πατέρων.

Περὶ Σεβήρου.

Ὁ γε μὴν Σεβῆρος, Ἀντιοχείας ἐπίσκοπος ἦν, κατ' οὐδὲν ἐνδέων τά γε εἰς ἀσέβειαν Διοσκόρου καὶ Εὐτυχοῦς· ταύτῃ τοι καὶ πρὸς τῶν ὀρθοδόξων τοῦ θρόνου ἅμα καὶ τῆς πόλεως ἐξοστρακισθεὶς, τὴν Ἀλεξάνδρειαν κατειλήφει, ἔνθα καὶ βίβλον συντάττει πάσης γέμουσαν δυσσεβείας, ἐν ᾗ κατέτρεχε μὲν τῆς ἐν Χαλκηδόνι Δ'. Συνόδου, κρατύνειν δ' ἐπειρᾶτο τὴν δογματίζουσαν αἵρεσιν, μίαν φύσιν ἐπὶ τοῦ Κυρίου μετὰ τὴν ἕνωσιν· ταύτην δὲ τὴν βίβλον ἐπέγραψε « φιλαλήθη » τὴν οὐχ ἥκιστα τῷ τοῦ ψεύδους περιλήμενην πατρὶ, ἣν οἱ ἀπ' ἐκείνου λεγόμενοι Σεβηριανοὶ τιμῶ-

σιν ὑπὲρ τὰ Εὐαγγέλια· οἱ αὐτοὶ δὲ λέγονται Ἀκέφαλοι, τῷ μὴ μόνον πολλοὺς ἐσχηκέναι γεννήτορας καὶ ἀρχηγοὺς τῆς αἱρέσεως, ἀλλὰ καὶ διαφόροις δόξαις μεριζομένους, καὶ ἀλλήλοις ὅλως μὴ συμβαίνοντας.

Περὶ Μανιχαίων.

Μανιχαῖοι δὲ λέγονται οἱ πρεσβεύοντες τὰ τοῦ Μάνεντος· ὁ δὲ Μάνης οὗτος, παράκλητον ἑαυτὸν ἐκάλει, δοκήσει δὲ καὶ φαντασίᾳ τὸν Χριστὸν ἡγεῖτο πεφηνέναι· δύο ἀρχὰς ἐδογμάτιζε, πονηράν τε καὶ ἀγαθὴν, ἤτοι Θεόν τε καὶ ὕλην· τὴν παλαιὰν ἐβλασφήμει διαθήκην· σελήνην καὶ ἀστέρας προσκυνεῖν οἷα θεοὺς ἐπέτρεπε· σαρκὸς ἀνάστασιν ἠρνεῖτο· μετεμψύχωσιν ἐδίδασκε, βοτάνας καὶ ὕδωρ καὶ δένδρα ἔμψυχα εἶναι φάσκων.

Περὶ Οὐαλεντινιανῶν ἤτοι Εὐχιτῶν, Βογομίλων, καὶ Μασσαλιανῶν.

Οὐαλεντινιανοὶ δὲ, ἡ κατὰ τοὺς χρόνους τοῦ Οὐαλεντίνου καὶ Οὐάλεντος βλαστήσασα αἵρεσις τῶν Βογομίλων ἤτοι Μασσαλιανῶν· τοῦτο δὲ ἑξελληνιζόμενον Εὐχίτας δηλοῖ· πολὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, ἣν καὶ τοῖς πολλοῖς ποιοῦσιν ἀνέκφορον· καλοῦνται δὲ ἐκ τοῦ πράγματος καὶ Ἐνθουσιασταί· δαίμονος γὰρ ἐνέργειαν λαμβάνοντες, Πνεύματος ἁγίου εἶναι ταύτην ὑπολαμβάνουσιν· οἱ γὰρ τέλεον τὴν νόσον ταύτην εἰσδεδεγμένοι, ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν ὡς πονηράν· ὕπνῳ δὲ τὰ πολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες, ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας ἀποκαλοῦσι· φύσει λέγουσιν εἶναι τὰ κακὰ, καὶ ἐν ἑκάστῳ ἀνθρώπῳ πνεῦμά τι θεῖον συνοικεῖν, καὶ δαίμονα· τοὺς τικτομένους παῖδας ἐκ τοῦ προπάτορος ἕλκειν Ἀδὰμ, ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα ἑκάστῳ τούτων συνοικοῦντα καὶ κατεξουσιάζοντα· καὶ τὸ μὲν βάπτισμα ἀδυνάτως ἔχειν ἐξελαύνειν αὐτὸν, ἢ τὰς ῥίζας ἀνασπᾶν τῶν ἁμαρτημάτων, μόνην δὲ τὴν ἐπιτεταμένην εὐχὴν ἐκεῖνόν τε ἐξωθεῖν καὶ ταύτας καθαίρειν· καὶ μετὰ τὴν γενομένην τοῖς αὐτῶν τελεοτέροις ἀπάθειαν, ἐπιφοιτᾶν αὐτοῖς ὁρατῶς τὸ ἅγιον Πνεῦμα, καὶ τῆς τῶν

παθῶν κινήσεως τὸ σῶμα ἐλευθεροῦν, ὡς μηκέτι λοιπὸν δεῖσθαι μήτε νηστείας πιεζούσης αὐτὸ, μήτε διδασκαλίας χαλινούσης, καὶ μὴ βαίνειν ἄτακτα παιδευούσης· οὐ μὴν ἀλλὰ καὶ αἰσθάνεσθαι τούτους τῆς τοῦ ἐπουρανίου νυμφίου κοινωνίας, ὥσπερ ἡ γυνὴ τῆς τοῦ ἀνθρώπου συνουσίας, καὶ τὴν ἁγίαν Τριάδα αἰσθητοῖς ὁρᾶν ὀφθαλμοῖς, μόνοις γὰρ τοῖς τοιούτοις ὑπ' ὄψιν ἐμφανίζεσθαι ταύτην, κἀντεῦθεν τὰ μέλλοντα τούτοις προβλέπειν· νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἀλλ' ἑαυτοῖς μόνοις, ἑαυτοὺς εἶναι λέγοντες πτωχοὺς τῷ πνεύματι, οὓς ὁ Κύριος ἐμακάρισε· λύουσι τοὺς γάμους· ὀμνύουσιν ἀδεῶς καὶ ἐπιορκοῦσι· καὶ ἕτερα μυρία τερατεύονται καὶ παρανομοῦσιν, ἃ καὶ φιλοθέων ἀκοαῖς παραδιδόναι οὐκ εὐαγές.

Περὶ Βογομίλων.

Ἡ δὲ τῶν Βογομίλων αἵρεσις οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασσαλιανῶν, καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν· ἔστι δὲ ἃ καὶ προσεξευροῦσα, καὶ τὴν λύμην αὐξήσασα· εἴη δ' ἂν Βογόμιλος, κατὰ τὴν τῶν Μυσῶν γλῶσσαν, ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπώμενος· Βὸγ γὰρ καλεῖται παρ' αὐτοῖς ὁ Θεὸς, μίουλι δὲ, ὁ ἔλεος· οὗτοι τὰς τῆς παλαιᾶς καὶ καινῆς ἀθετοῦσι βίβλους, μετὰ τοῦ ἐν αὐταῖς γεγραμμένου Θεοῦ, ὡς κατ' ἐπίπνοιαν γραφείσας τοῦ Σατανᾶ, πλὴν μόνων ἑπτὰ, ὧν ἐστι καὶ τὸ Εὐαγγέλιον· παρερμηνεύουσι δὲ καὶ ταύτας βλασφήμοις ἐννοίαις καὶ μυσαραῖς, καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέρουσιν· ἀτιμάζουσι τὸν θεῖον Σταυρὸν, ὡς ἀναιρέτην τοῦ Κυρίου· ἔτι δὲ καὶ τὴν φρικτὴν ἱερουργίαν τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος, τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων θυσίαν ταύτην ἀποκαλοῦντες· λέγουσι γὰρ ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς τοὺς δαίμονας κατοικεῖν· καὶ τὸ μὲν παρ' ἡμῖν βάπτισμα, τοῦ Ἰωάννου λέγοντες, τὸ δὲ παρ' αὐτοῖς, τοῦ Σωτῆρος· μόνην ὀνομάζουσι προσευχὴν τὸ, Πάτερ ἡμῶν, τὰς δ' ἄλλας ἀθετοῦσι, βαττρλογίαν ἀποκαλοῦντες· θεοτόκους λέγουσι τοὺς παρ' αὐτοῖς ἔνοικον κτησαμένους τὸ ἅγιον Πνεῦμα, ὡς ἂν τὸν λόγον ἐν τῷ διδάσκειν γεννῶντας· λέγουσιν οὐ μόνον ὄναρ, ἀλλὰ καὶ ὕπαρ βλέπειν, τὸν μὲν Πατέρα, ὡς γέροντα καθεζόμενον

ἱκανῶς τὴν ὑπήνην, τὸν δὲ Υἱὸν, ἄρτι τὸν ἴουλον παραμείβοντι ἐοικότα· τὸ δὲ ἅγιον Πνεῦμα, ὡς νεανίαν δεινῶς ἐψιλωμένον τὰς παρειὰς, τῶν δαιμόνων οὕτως ἐξαπατώντων αὐτοὺς, καὶ διδασκόντων, ἄνισον εἶναι τὴν ἁγίαν Τριάδα κατὰ τὴν τῶν σχημάτων τούτων διαφοράν. Καὶ τὰ πλείω παρείσθω μοι τῆς τούτων καὶ τῆς τῶν Μασσαλιανῶν δυσσεβείας, ἵνα μὴ ἐπὶ πλεῖστον τὰς τῶν ἐντυγχανόντων ἀκοὰς ἀποκναίω· ὅστις δὲ μὴ ἐν παρέργῳ τοὺς αὐτῶν γνῶναι βούλεται λήρους, τὴν περὶ τούτων διεξιοῦσαν βίβλον ἀνελιττέτω, καὶ σαφέστερον εἴσεται.

Λαοδικείας ζ΄, καὶ η΄.

Ἀλλὰ καὶ ὁ ζ΄. κανὼν, ἔτι δὲ καὶ ὁ η΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου, τοὺς ἐπιστρέφοντας τῶν προφρηθέντων Φρυγῶν, εἰ καὶ κληρικοὶ νομίζονται εἶναι, καὶ μέγιστοι παρ' αὐτῶν ὀνομάζονται, ὡς τῶν ἄλλων προέχοντες, καὶ διδασκάλων ἐν ἐκείνοις πληροῦντες τάξιν, ἀναβαπτίζεσθαι ἀξιοῦσιν.

Ὅτι πάντες οἱ εἰς μίαν κατάδυσιν βαπτιζόμενοι ἀναβαπτίζονται.

Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, ἅπαντας τοὺς εἰς μίαν κατάδυσιν πρὸς τῶν ἑτεροδόξων βαπτισαμένους, καὶ τῇ καθολικῇ προσιόντας Ἐκκλησίᾳ, αὖθις βαπτίζεσθαι οἱ θεῖοι κανόνες θεσπίζουσι.

Συνόδου δευτέρας ά.

Καὶ ὁ προδιαληφθεὶς δὲ τῆς β΄. Συνόδου ά. κανὼν, ἐν τῷ περὶ τῆς ὀρθοδόξου πίστεως κεφαλαίῳ, ὑπὸ ἀνάθεμα τίθησι τὴν τῶν Εὐνομιανῶν αἵρεσιν, εἴτουν Εὐδοξιανῶν, καὶ τὴν τῶν Ἡμιαρείων, ἤτοι Πνευματομάχων, καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ Μαρκελλιανῶν, Φωτεινιανῶν τε, καὶ Ἀπολλιναριστῶν.

Περὶ Εὐδοξίου.

Καὶ περὶ μὲν τῶν Εὐνομιανῶν εἴρηται· οἱ αὐτοὶ δὲ καὶ Εὐδοξιανοὶ ἐκαλοῦντο, ἀπό τινος Εὐδοξίου, συναιρεσιώτου τῷ Εὐνομίῳ, ὃς Κωνσταντινουπόλεως γεγονὼς ἐπίσκοπος, τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν.

Περὶ Ἀνομοίων.

Οἱ δ' αὐτοὶ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν Πατέρα.

Περὶ Μαρκελλιανῶν.

Ἡ δὲ τῶν Μαρκελλιανῶν, Μάρκελλόν τινα ἔσχεν αἱρεσιάρχην, ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατίας, καὶ αὐτῆς ἐπίσκοπος ἐγεγόνει, ἐπίσης δὲ τῷ προρρηθέντι ἐδογμάτιζε Σαβελλίῳ.

Περὶ Φωτεινοῦ.

Οἱ δὲ Φωτεινιανοὶ ἀπὸ Φωτεινοῦ εἵλκον τὴν κλῆσιν, ἐκ Συρμίου μὲν ὁρμωμένου, κἀνταῦθα ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ τῷ προλεχθέντι Παύλῳ φρονήσαντος τῷ Σαμοσατεῖ.

Ὅπως δεῖ δέχεσθαι τοὺς ἀπὸ Ναβάτου.
Συνόδου πρώτης ἡ.

Ὁ δὲ ἡ. τῆς πρώτης Συνόδου κανὼν, οὓς φθάσαντες εἴπομεν Καθαροὺς ἤτοι Ναβατιανοὺς, τῇ καθολικῇ προσιόντας Ἐκκλησίᾳ, ἐγγράφως κελεύει ὁμολογεῖν, ὡς ἀσφαλῶς τὰ δόγματα πάντα τηρήσουσι ταύτης, τοὺς τὸν Χριστόν τε ἀρνησαμένους ἐπιστρέφοντας δέξονται, καὶ κατὰ τοὺς ὡρισμένους τῇ μετανοίᾳ τῶν παραπεπτωκότων καιροὺς, ἐκείνους οἰκονομήσουσι, τοῖς τε διγάμοις κοινωνήσουσι· καὶ εἰ τούτοις συγκατάθοιντο, τοὺς οἰκείους αὖθις ἐκκλησιαστικοὺς ἀπολαμβάνειν βαθμοὺς, οὓς πρώην καταλελοίπασι, πρεσβύτεροι δήπου τυγχάνοντες ἢ διάκονοι· εἰ δὲ καὶ ἐπίσκοποι, καὶ τούτοις ταῖς ἰδίαις ἐπισκοπαῖς ἀποκαθίστασθαι, εἴπερ μὴ ταύτας ἐν τῷ μεταξὺ μετειλήφασιν ἕτεροι.

Ὅπως χρὴ δέχεσθαι τοὺς Δονατιστάς.
Καρθαγένης ιζ'. καὶ ξή.

Ὁ δὲ νζ'. καὶ ὁ ξή. τῆς ἐν Καρθαγένῃ, τοὺς ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν τῇ ὀρθοδόξῳ πίστει προσερχομένους, μήτε, εἰ τοῦ λαοῦ εἶεν, ἀναβαπτίζεσθαι διατάττονται, καὶ τοὺς κληρικοὺς ἔχειν αὖθις τοὺς ἱερατικοὺς βαθμοὺς, προνοίᾳ τοῦ πλείονας οὕτω τῇ καθολικῇ προστίθεσθαι πίστει.

Περὶ Δονάτου.

Τούτων αἱρεσιάρχης ἦν Δονάτος τις ὄνομα, ὃς μὴ ἄλλως τῶν θείων μεταλαμβάνειν ἐδίδασκε μυστηρίων, εἰ μή τις, ὁστοῦν ἀνθρώπινον κατέχων ἐν τῇ χειρὶ, τοῦτο πρῶτον ἀσπάζοιτο, καὶ οὕτω μεταλαμβάνειν.

Περὶ Ἀγγελιτῶν. Λαοδικείας λέ.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ λέ., Ὁ τὴν τοῦ Θεοῦ, φησὶ, καταλιμπάνων Ἐκκλησίαν, καὶ ἀγγέλους ἐπονομάζων καὶ ἐπικαλούμενος, συνάξεις τε τούτοις ἐπιτελῶν, καὶ τῇ κεκρυμμένῃ ταύτῃ σχολάζων εἰδωλολατρείᾳ, ἔστω ἀνάθεμα, οὐχ ὡς τῆς πρὸς ἀγγέλους τιμῆς εἰδωλολατρείας οὔσης, ἀλλὰ τέχνη τις ἦν τοῦτο τηνικαῦτα τοῦ πονηροῦ, ἀγγέλοις μόνοις πείθοντος προσανέχειν, καὶ μὴ τὸν Χριστὸν ἐπικαλεῖσθαι, ἵνα τοὺς πειθομένους κατὰ μικρὸν εἰς τὸ τῆς εἰδωλολατρείας λαθὼν ἐκκυλίσῃ 1) βάραθρον· ῥιλεῖ γὰρ, ὡς ἐπίπαν, ἐκ τῶν δεξιῶν ὑποκλέπτειν ὁ δόλιος· ἔφασκον γὰρ οἱ μύσται τοῦ πλάνου, μὴ δεῖν τὸν Χριστὸν, τοὺς δὲ ἀγγέλους εἰς βοήθειαν ἐπικαλεῖσθαι, καὶ εἰς τὴν προσαγωγὴν τὴν πρὸς τὸν Πατέρα· τὸ γὰρ ἐπικαλεῖσθαι τὸν Χριστὸν ἐν τούτοις, μεῖζον ἢ καθ' ἡμᾶς. Ταύτης τῆς αἱρέσεως, παλαιὰ γὰρ ἦν, καὶ ὁ θεῖος Ἀπόστολος, ἐν τῇ πρὸς Κολασσαεῖς ἐπιστολῇ μέμνηται, λέγων· Μηδεὶς ἡμᾶς καταβραβευέτω ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων· ἤτοι μηδεὶς ὑμῖν ἐπηρεαζέτω, νικῶσιν ἐν τῇ ἀμωμήτῳ πίστει καὶ πολιτείᾳ, μηδὲ τοῦ βραβείου ἀποστερείτω, ἐπὶ ξένας παραδόσεις μεταφέρων ὑμᾶς, ἐκ τῆς ὀρθῆς δηλαδὴ πίστεως εἰς τὴν τῶν ἀγγέλων θρησκείαν διὰ ταπεινοφροσύνης, ὡς ὑπὲρ ἡμᾶς ὄντος τοῦ ἐπικαλεῖσθαι τὸν Κύριον, καὶ αὐτῷ κεχρῆσθαι πρὸς τὸν αὐτοῦ Πατέρα προσαγωγῇ· καταβραβεύειν δ' ἐστὶ, τὸ μὴ τῷ νικήσαντι τὸ βραβεῖον ἀλλ' ἑτέρῳ διδόναι, ἀδικουμένου τοῦ ἀριστέως. Ὡς δὲ ὁ ἅγιος Ἐπιφάνιος ἱστορεῖ ἐν τῷ βιβλίῳ τῶν Παναρίων, αἵρεσιν εἶναι ἑτέραν τῶν Ἀγγελικῶν λεγομένην, ἢ ὡς ἀγγελικῶς οἰόμενοι βιοῦν, οὕτως ἑαυτοὺς ὀνομάζοντες, ἢ ὡς παρ' ἀγγέλων τὰ θεῖα μυεῖσθαι νομίζοντες.

1) ἑλκύσῃ ε.

Περὶ Μαξίμου τοῦ κυνικοῦ 1).

Συνόδου δευτέρας δ'.

Ἀλλὰ καὶ ὁ δ'. τῆς β'. Συνόδου, Μάξιμον ἀποκηρύττει τινὰ, μήτε ἐπίσκοπον αὐτὸν γενέσθαι ἢ εἶναι ἀποφαινόμενος, διὰ τὸ ἐκθέσμως κεχειροτονεῖσθαι, μήτε τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας κληρικοὺς ὑπάρχειν· τούτου καὶ ὁ Θεολόγος Γρηγόριος ἔν τινι τῶν μὴ ἐπ' Ἐκκλησίας ἀναγινωσκομένων αὐτοῦ μέμνηται λόγων· οὗτος δὲ ὁ Μάξιμος, Αἰγύπτιος ἦν φιλόσοφος κυνικός· κυνικοὶ δὲ ἐλέγοντο παρὰ τὸ αὔθαδες καὶ θρασύ· καὶ προσελθὼν τῷ μεγάλῳ Πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ κατηχηθεὶς ἐβαπτίσατο, εἶτα καὶ τῷ κλήρῳ συγκατελέγη, καὶ τῷ μεγάλῳ ἐκείνῳ Πατρὶ ὁμοδίαιτος ἦν. Ἐν ἐφέσει δὲ τοῦ ἀρχιερατικοῦ θρόνου τῆς βασιλευούσης γενόμενος, χρήματα εἰς Ἀλεξάνδρειαν πέμπει, κἀκεῖθεν ἐπισκόπους ἄγει τοῦτον χειροτονήσοντας, ἔχων καί τινα συνεργὸν τῶν οἰκείων τῷ Θεολόγῳ· ἤδη δὲ τῆς Ἐκκλησίας ἔνδον γενόμενοι, καὶ φωραθέντες, πρὶν ἢ τὴν τελετὴν τελέσασθαι, παρὰ τῶν πιστῶν ἀπηλάθησαν· ἀλλ' οὐδὲ οὕτως ἡσύχασαν· οἰκίαν δὲ εἰσδύντες χοραύλου τινὸς, ἐκεῖ χειροτονοῦσι τὸν Μάξιμον, εἰ καὶ μηδὲν τῆς περὶ ταῦτα μοχθηρίας ἀπώνατο, οὐ γὰρ ἀνύσαι τι ὅλως δεδύνητο· ἐς ὕστερον γὰρ γνωσθεὶς, καὶ τὰ Ἀπολλιναρίου φρονῶν, ἀνεθεματίσθη.

Συνόδου τρίτης ά. β'. γ'. δ'. έ.

Τῆς δέ γε τρίτης Συνόδου ὁ ά. καὶ β'. κανὼν, ἔτι δὲ καὶ ὁ γ'. καὶ ὁ δ'. καὶ ὁ έ., τοὺς τὰ Νεστορίου καὶ τοῦ ὁμοδόξου τούτου Κελεστίνου φρονοῦντας ἐπισκόπους ἢ κληρικοὺς, τῆς ἱερωσύνης ἐξοστρακίζουσιν· οὓς δὲ ὁ Νεστόριος τῆς ἱερωσύνης ἐξέωσε, μὴ συντεθειμένους τῇ ἐκείνου κακοδοξίᾳ, αὖθις ἀπολαύειν κελεύουσι τοὺς οἰκείους βαθμούς· ὅσους γε μὴν ὑπὸ τῆς Συνόδου ἢ τῶν ἰδίων ἐπισκόπων ἐπὶ ἀτόποις πράξεσιν ἐλεγχθέντας τε καὶ καθαιρέσει ὑποβληθέντας ἀκανονίστως εἰς κοινωνίαν δεξάμενος ὁ Νεστόριος τοῖς οἰκείοις βαθμοῖς ἐγκατέστησε, τούτους μηδὲν ἧττον εἶναι καθηρημένους.

1) τοῦ ἀσκητοῦ. B.

Περὶ Νεστορίου 1).

Ὁ μὲν οὖν Νεστόριος οὗτος, πατριάρχης ὢν Κωνσταντινουπόλεως, ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστὸν, ἐνωθῆναι δὲ αὐτῷ κατὰ σχέσιν τὸν Υἱὸν τοῦ Θεοῦ, παρὸ οὐδὲ Θεοτόκον ἀλλὰ Χριστοτόκον τὴν ἁγίαν παρθένον ὠνόμαζεν, ὃς ψήφῳ τῶν ἐν Ἐφέσῳ ἀθροισθέντων ἁγίων Πατέρων καθῄρητο, προεξάρχοντος τούτων τοῦ ἐν ἁγίοις Κυρίλλου Πάπα Ἀλεξανδρείας, ἐπέχοντος δὲ καὶ τὸν τόπον Κελεστίνου τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης, συναιρομένου καὶ Μέμνωνος, ἐπισκόπου Ἐφέσου.

Περὶ τῆς γενομένης διαφορᾶς μεταξὺ τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ μακαρίου Θεοδωρήτου.

Μετὰ δὲ τὴν τρίτην ἡμέραν, Ἰωάννης παρῆν ὁ Πατριάρχης Ἀντιοχείας σὺν πλείοσιν ἐπισκόποις, μεθ' ὧν ἦν καὶ Θεοδώρητος ἐπίσκοπος Κύρου, καὶ Ἴβας Ἐδέσσης· οἳ καὶ τῆς ἀπολείψεως ὑβριοπαθήσαντες, τῇ καθαιρέσει Νεστορίου ἐμέμψαντο, καὶ τὸν ἅγιον Κύριλλον τόν τε Ἐφέσου Μέμνωνα παραλόγως 2) καθεῖλον· ὁ μέντοι Θεοδώρητος καὶ εἰς ἀνασκευὴν τῶν ιβ'. κεφαλαίων, ὧν ὁ μέγας ἐξέθετο Κύριλλος, εἰς ἔλεγχον μὲν τῆς Νεστορίου κακοδοξίας, στηριγμὸν δὲ τῆς ὀρθοδόξου πίστεως, κεφάλαια ἕτερα τοσαῦτα ἐκδέδωκε, καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολήν· καὶ μεγίστη γέγονε μεταξὺ τούτων ἡ διαφορὰ, ὡς καὶ καθαίρεσιν αὖθις τὴν Σύνοδον τῶν ἀρχιερέων ἐκείνων καταψηφίσασθαι, οἷα δὴ τοῖς τοῦ Νεστορίου ὑποπτευθέντων στοιχεῖν. Ἐπεὶ οὖν οὕτω δι' ἀλλήλων οἱ ἀρχιερεῖς κεχωρήκασι, καὶ σχίσμα ἦν παρ' αὐτοῖς, ὁ βασιλεὺς πάντας εἰς τὴν βασιλεύουσαν μετακαλεσάμενος, τὰ τῆς ὁμοφροσύνης καὶ ἅμφω τὰ μέρη ἀσπάσασθαι παρεσκεύασεν· ὁ μέντοι Θεοδώρητος, πρὸς ἔριν καὶ τὰ ιβ'. κεφάλαια συντεταχέναι μὴ ἀρνησάμενος, τῇ ἀποβολῇ τούτων καὶ ἀθετήσει ἑαυτόν τε τῆς αἰτίας παρῃτήσατο, καὶ τῆς προτέρας ἔτυχε τιμῆς τε καὶ τάξεως, ἀγαπήσας τε τοῖς πεπραγμένοις τῇ ἁγίᾳ Συνόδῳ, τῇ καθαιρέσει Νεστορίου καὶ οὗτος ἐπεψηφίσατο.

---

1) ἐνταῦθα ἕπεται ἐν 137ῦ καὶ ε. τὸ περὶ Κελεστίου. — 2) παρανόμως Β.

Περὶ Κελεστίου.

Ὁ δὲ Κελέστιος, μαθητὴς ἦν Πελαγίου τινὸς μοναχοῦ· ὥρμηντο δὲ καὶ ἄμφω τῆς Καρθαγένης, ὡς ὁ Κωνσταντινουπόλεως Φώτιος ἱστορεῖ, καὶ καινότερα ἐπεισῆγον τῇ Ἐκκλησίᾳ δόγματα· θνητὸν γὰρ πλασθῆναι τὸν Ἀδὰμ τὴν ἀρχὴν διετείνοντο, ἀλλὰ μὴ ἐκ παραβάσεως τούτῳ καταδικασθῆναι· τά τε ἀρτίτοκα βρέφη μὴ χρείαν ἔχειν βαπτίσματος, οὐ γὰρ ἐφέλκονται τὴν προγονικὴν ἐξ Ἀδὰμ ἁμαρτίαν· τόπον τε εἶναι μεταξὺ τοῦ Παραδείσου καὶ τῆς κολάσεως, εἰς ὃν τὰ μὴ φωτισθέντα 1) βρέφη μετατιθέμενα μακαρίως ζῆν· ταῦτα καὶ ἕτερα ἓξ παραπλήσια τούτοις κεφάλαια τοῖς περὶ Πελάγιον καὶ Κελέστιον ἐπρεσβεύετο, ἃ δὴ καὶ ἡ παροῦσα οἰκουμενικὴ τρίτη Σύνοδος τῷ ἀναθέματι καθυπέβαλεν, ἀλλά γε καὶ ἡ ἐν Καρθαγένῃ Σύνοδος· καὶ ζήτει τοὺς περὶ τούτων διεξιόντας ταύτης κανόνας ἐν τῷ ά. κεφ. τοῦ Β στοιχείου, τὸν ρθ'. φημὶ καὶ τοὺς καθεξῆς τρεῖς ἑτέρους· ἀλλὰ δὴ καὶ ἐν τῷ λέ. κεφαλαίῳ τοῦ Ε στοιχείου κανόνας τῆς αὐτῆς Συνόδου ριδ'. καὶ ριέ. ἅπερ γὰρ οὗτοι τοῦ ἀναθέματος ἀξιοῦσι, παρ' ἐκείνοις ἀφρόνως ἐδογματίζετο· καὶ ὁ μέγας δὲ Λέων ὁ Πάπας, τοὺς περὶ Πελάγιον καὶ Κελέστιον ἐπιστρέφοντας ἐγγράφως ἀναθεματίζειν τὸ σφῶν ἐθέσπισε φρόνημα.

Ἀποστόλων μέ, μς'. ξδ'.

Ὁ δὲ μέ. τῶν ἁγίων Ἀποστόλων κανὼν, τοὺς συνευξαμένους αἱρετικοῖς ἐπισκόπους ἢ πρεσβυτέρους ἀφορίζει· ἐπιτρέψαντας δέ τισι τούτων τὰ τῶν κληρικῶν ἐνεργῆσαι, καθαιρεῖ.

Ὁ δὲ μς'. καὶ τοὺς δεξαμένους τὸ ἐκείνων βάπτισμα, τοὺς ὑπ' ἐκείνων δηλαδὴ βαπτισθέντας, ἢ ὅσα εἰς θυσίαν προσάγουσι, καθαιρεῖ.

Ὁ δὲ ξδ'. τὸν εἰσερχόμενον κληρικὸν ἢ λαϊκὸν εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσευχῆς χάριν, τὸν μὲν καθαιρεῖ, τὸν δὲ ἀφορίζει· τίς γάρ, φησι, συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς δὲ μερὶς πιστῷ μετὰ ἀπίστου;

Λαοδικείας ς'. λθ'. μγ'. μζ'. θ'. μδ'.

Καὶ ὁ μὲν τῆς ἐν Λαοδικείᾳ ς'. τοὺς περιπεσόντας αἱρέσεσι,

1) ἀβάπτιστα, ἀντὶ τοῦ, τὰ μὴ φωτισθέντα, ε.

καὶ ἔτι ταύταις ἐνεσχημένους, πόρρω βάλλει τῆς Ἐκκλησίας, καὶ εἰς οἶκον Θεοῦ εἰσιέναι οὐ συγχωρεῖ.

Ὁ δὲ λϐ΄. οὐδὲ τὰς τῶν αἱρετικῶν εὐλογίας, ἢ ἀλογίας εἰπεῖν οἰκειότερον, λαμβάνειν ἐφίησιν.

Ὁ δὲ λγ΄. αἱρετικῷ ἢ σχισματικῷ ὅλως ἡμᾶς οὐκ ἐπιτρέπει 1) συνεύχεσθαι.

Ὁ δὲ λζ΄. οὔτε τὰ παρὰ τῶν Ἰουδαίων ἢ αἱρετικῶν πεμπόμενα ἑορταστικὰ λαμβάνειν, ἢ συνεορτάζειν τούτοις ἐφίησιν.

Ὁ δὲ θ΄. καὶ λδ΄, τοὺς καταλιμπάνοντας τοὺς τοῦ Χριστοῦ μάρτυρας, καὶ ἀπιόντας εἰς τοὺς τῶν αἱρετικῶν ψευδομάρτυρας, καὶ εἰς τὰ λεγόμενα τούτων μαρτύρια καὶ κοιμητήρια, ὡς ἀλλοτριοῦντας ἑαυτοὺς τοῦ Θεοῦ, ὁ μὲν τῆς κοινωνίας μέχρι τινὸς ἀπείργει, ὁ δὲ ἀναθεματίζει· εἰκὸς γάρ τινας ὑποκειμένους αἱρέσεσιν, ἐν τοῖς διωγμοῖς, ἑστῆναι μέχρι θανάτου, οὓς καὶ μάρτυρας οἱ ὁμοδοξοῦντες αὑτοῖς ἐκάλουν, μαρτύρια τε τοὺς οἴκους, ἐν οἷς τὰ ἐκείνων ἐτέθαπτο σώματα.

Τιμοθέου θ΄.

Ὁ δὲ θ΄. Τιμοθέου Ἀλεξανδρείας, τῆς θείας τελουμένης ἱερουργίας, τῇ εὐχῇ κελεύει τοὺς 2) αἱρετικοὺς μὴ παρεῖναι, εἰμή που μετανοεῖν ἐπαγγέλλοιντο· εἰ γὰρ τοῖς κατηχουμένοις τοῦτο οὐκ ἐφεῖται, πολλοῦ γε δεῖ τοῖς αἱρετικοῖς· ἀλλὰ καὶ οἱ ἐπαγγελλόμενοι, ἐν τόπῳ, ὃς ἀνεῖται τοῖς κατηχουμένοις, ἑστήξουσι, μὴ βουλόμενοι δε μετανοεῖν, καὶ τούτου ἐκβληθήσονται.

Ὅτι τοὺς ἐν ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή.

Βασιλείου ε΄.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ πέμπτῳ κανόνι, σύμπαντας τοὺς ἐν ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν ἐπιτάττει προσδέχεσθαι, δοκιμάζοντας μὲν εἰ ἀληθῆ τὴν μετάνοιαν ἐπιδείκνυνται, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

1) ἡμᾶς ἐπιτρέπει Β. — 2) ἔνιοι τοὺς, ε.

Καρθαγένης κδ'. πά.

Ὅγε μὴν κδ'. τῆς ἐν Καρθαγένῃ Συνόδου, ἐπισκόποις ἢ κληρικοῖς ἀπείρηκεν εἰς κληρονομίαν τῶν ἰδίων πραγμάτων ὅλως εἰσάγειν ἄπιστον ἢ αἱρετικὸν, εἰ καὶ τούτοις κατὰ γένος ᾠκείωνται.

Ὁ δὲ πά, Ἐπισκόπῳ, φησὶ, τῷ ἐπὶ τέλει διατιθεμένῳ τοῦ βίου, αἱρετικοὺς τῶν τούτου κληρονομεῖν, καὶ εἰ καθ' αἷμα τούτῳ προσήκουσι, καὶ μετὰ θάνατον ἀνάθεμα δέον τῷ τοιούτῳ λεχθῆναι, καὶ τὸ ὄνομα αὐτοῦ τῆς τῶν ἱερέων μνήμης ἀπαλειφθῆναι.

Νόμοι πολιτικοί.

Καὶ παρὰ διαφόρων δέ γε βασιλικῶν νόμων αἱρετικοῖς οὐκ ἐπιτέτραπται κληρονομεῖν, μὴ ὅτι γε τῶν τοῖς ἐπισκόποις προσόντων ἢ κληρικοῖς, ἀλλ' οὐδὲ τῶν τοῖς λαϊκοῖς Χριστιανοῖς, εἰ καὶ παῖδες αὐτῶν τύχοιεν ὄντες· οἱ δέ γε τῶν αἱρετικῶν παῖδες, Χριστιανοὶ γενόμενοι, ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν, καὶ προῖκα τούτοις διδόναι κατὰ τὸ μέτρον τῆς αὐτῶν περιουσίας 1).

Ὁ μὴ δοξάζων τὴν ἁγίαν Τριάδα ἐν μιᾷ θεότητι ἰσοδύναμον, οὔτε Χριστιανὸς λέγεται, καὶ ἄφρων ἐστὶ, καὶ αἱρετικὸς, καὶ ἄτιμος, καὶ τιμωρεῖται 2).

Αἱρετικός ἐστι καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως· ἀλλὰ καὶ μηδεμίαν στρατείαν, ἢ τὴν οἰανοῦν δημόσιον φροντίδα μετιέναι τοὺς αἱρετικοὺς θεσπίζομεν, μήτε ἀξιωματικοὺς γίνεσθαι, μὴ διδάσκειν τούτους, μὴ χειροτονίας ποιεῖν, μὴ λιτανεύειν· αἱρετικοὺς δὲ λέγομεν πάντας εἶναι τοὺς μὴ μεταλαμβάνοντας τῶν ἁγιασμάτων παρὰ τῶν ἱερέων κατὰ τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν 3).

Μανιχαῖοι καὶ Δονατισταὶ μὴ ἐχέτωσαν τὰ τῶν ὀρθοδόξων προνόμια, ἀλλὰ καὶ ἐσχάτως τιμωρείσθωσαν· ὡσαύτως καὶ οἱ

---

1) Νεαρὰ Ἰουστ. ριέ. κ. ιδ'.—λς'. Βασ. ΑΕ'. 8. — 2) ά. Βασ. Α'. 1. — 3) κδ'. Βασ. Α'. 1.

Ἀπολλιναρισταὶ, καὶ οἱ μὴ ταῖς ἁγίαις τέσσαρσι Συνόδοις πειθόμενοι, καὶ οἱ κατὰ τῆς ἁγίας δ΄. Συνόδου ἢ λέγειν τι ἢ διδάσκειν τολμῶντες 1).

Μανιχαῖος, εἰ ἐν Ῥωμαϊκῷ τόπῳ ὀρθεῖη διάγων, ἀποτεμνέσθω 2).

Μοντανισταὶ ἐξαιρέτως μηδένα τῶν παρ' αὐτοῖς καλουμένων Πατριαρχῶν ἢ κληρικῶν ἐντὸς ἐχέτωσαν Κωνσταντινουπόλεως· κωλυέσθωσαν δὲ καὶ ἐντὸς αὐτῆς στρατεύεσθαι, ἢ συσσίτια ποιεῖν, ἢ ἀνδράποδα ἐμπορεύεσθαι 3).

Αἱρετικὸς κατὰ ὀρθοδόξου μὴ μαρτυρείτω 4).

Ἐκβαλλέσθωσαν δὲ καὶ αἱ αἱρετικαὶ γυναῖκες τῶν δεδομένων προνομίων ταῖς ὀρθοδόξοις· οὐ γὰρ περὶ τὴν ἱκάνωσιν τῆς προικὸς αὐτῶν καὶ τῶν προγαμιαίων δωρεῶν προτιμηθήσονται τῶν προτέρων δανειστῶν τοῦ ἀνδρὸς, ὥσπερ αἱ ὀρθόδοξοι· ἐπειδὴ γάρ φησιν, ἑαυτὰς τῶν τοῦ Θεοῦ χωρίζουσι δωρεῶν, καὶ τῆς ἀχράντου κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας ἀλλοτριοῦσι, δίκαιον ἂν εἶεν καὶ τῶν παρ' ἡμῶν δεδωρημένων ταῖς εὐσεβέσι τῶν γυναικῶν δικαίων καὶ προνομίων ἀλλοτριοῦσθαι· τῶν γὰρ εὐσεβῶν εὐσεβεῖς ὄντες εὐεργέται καὶ νομοθέται πρὸς Θεοῦ καθεστήκαμεν, οὐ τῶν περὶ ἐλαχίστου τὰ τῆς ὑγιοῦς πίστεως τιθεμένων· κοινὸν γὰρ ἡμῖν οὐδὲν πρὸς ἐκείνους. Ταῖς νομίμοις γε μὴν τοὺς αἱρετικοὺς ταφαῖς παραδίδοσθαι συγχωροῦμεν 5).

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Πῶς δεῖ τὰς λεγομένας ἀγάπας ποιεῖν, ἤτοι τὰ συμπόσια.

Γάγγρας ις΄.

Ὁ μὲν ις΄. τῆς ἐν Γάγγρᾳ Συνόδου κανὼν, τοὺς κοινωνεῖν μὴ ἀνεχομένους τοῖς ἐκ πίστεως καὶ εὐλαβείας τὰς λεγομένας ἀγάπας ἐν Ἐκκλησίᾳ ποιοῦσι, καὶ εἰς τιμὴν τοῦ Κυρίου τοὺς ἀδελ-

1) κδ΄. κζ΄. Βασ. Α. 1. — 2) κθ΄. Βασ. αὐτόθι. — 3) ἢ συσσίτια . . . ἐμπορεύεσθαι, οὐ κεῖται ἐν 1375. λγ΄. Βασ. Α. 1. — 4) κή. Βασ αὐτόθι. — 5) λδ΄. Βασ. Α. 1.

φοὺς εἰς ἑστίασιν προσλαμβάνουσιν, ὡς βδελυσσομένους τὸ γινόμενον, τῷ ἀναθέματι παραπέμπει· εἰ γὰρ καὶ τοῖς ῥηθησομένοις κανόσι ταῦτα γίνεσθαι ἀπείρηται, ἀλλ' οὖν τοῖς ἀγαθῇ γνώμῃ τοῦτο δρῶσιν ἔστιν ὅπη ἐφεῖται.

Συνόδου ἕκτης δ'. Λαοδικείας κή.

Ὁ δὲ δ'. τῆς ς. Συνόδου κανὼν, καὶ ὁ κή. τῆς ἐν Λαοδικείᾳ, ἀφορισμὸν ἐπανατείνονται τοῖς ἔνδον Ἐκκλησίας ἢ τοῦ κυριακοῦ δειπνοῦσι, καὶ ἀγάπην δῆθεν ἐσθίουσι, καὶ ἀκούμβιτα σρωνύειν τολμῶσιν· ἀλλὰ γὰρ ἅπας τόπος τῷ Θεῷ ἀνατεθειμένος, κυριακὸς λέγεται· ἀρχαῖον δὲ ἦν ἔθος, μετὰ τὴν τῶν θείων κοινωνίαν μυστηρίων κοινὴν τράπεζαν τοὺς πλουσίους τοῖς πένησι προτιθέναι· τούτου τοῦ ἔθους καὶ ὁ μέγας Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Κορινθίους μέμνηται ά. ἐκεῖνος γὰρ καὶ ἀγάπην τοῦτο καλεῖ, ἢ ὡς εἰς ἀγάπην συνάγον, ἢ ὡς δι' ἀγάπην γενόμενον· ἀλλ' ὡς παραίτιον σκανδάλου γεγονὸς ὕστερον, οἱ θεῖοι Πατέρες ἐκώλυσαν· ἀκούμβιτα δὲ λατινικῶς στρωμνὰς εἰς ὕψος ἠρμένας δηλοῖ· ἀκούμβω γὰρ παρ' ἐκείνοις, τὸ ἀναπίπτω.

Καρθαγένης μβ'.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ μβ'. διατάττεται, κωλύων ὅλως ἐν Ἐκκλησίᾳ συμπόσια γίνεσθαι· εἰ μήπου τις ἐν ἀλλοδαπῇ ὁδεύων, καὶ καταγωγίου ἀπορῶν, εἰς Ἐκκλησίαν ἐξ ἀνάγκης εἰσέλθοι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἀγορᾶς καὶ πράσεως.

Νόμοι πολιτικοί.

Ἀγορασία καὶ πρᾶσις συνίσταται, ἡνίκα ἂν περὶ τοῦ τιμήματος ἑκάτερον τῶν συμφωνούντων συναινέσειε μέρος· ὁ μὲν, τὴν καταβολὴν ποιησάμενος τοῦ τιμήματος, ὁ δὲ, παραδοὺς τὸ πιπρασκόμενον· ἀῤῥαβῶνος δὲ δοθέντος, καὶ διαλυομένης τῆς πράσεως, εἰ μὲν ὁ ἀγοραστὴς εἴη ὁ διαλύων, ἀπόλλυσι τὸν ἀῤ-

ῥαβῶνα· εἰ δὲ ὁ πράτης, διπλοῦν ὃν ἔλαβεν ἀῤῥαβῶνα παρασχεῖν ἀναγκάζεται 1).

Ὁ κρατῶν ὀφφίκιον ἐν ἐπαρχίᾳ οὐ δύναται κινητὸν ἢ ἀκίνητον ἐν αὐτῇ ἀγοράζειν πρᾶγμα, ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου, εἰ μὴ παρὰ τοῦ δημοσίου, καὶ γὰρ καὶ τοῦ πράγματος ἐκπίπτει, καὶ τὸ δοθὲν τίμημα οὐκ ἀναλαμβάνει 2).

Ὁ ἁρπάσας πρᾶγμα ἢ βίᾳ ἀφελόμενος, ἐὰν μὴ ἀποκαταστήσῃ τοῦτο, ἀνισχύρως αὐτὸ ἀγοράζει 3).

Ἐὰν ὁ δημόσιος διὰ δημόσια χρέη πωλήσῃ πράγματα τοῦ χρεώστου, οὐδὲ αὐτὸς ὁ χρεώστης, οὐδὲ ὁ δανειστὴς δύναται προσαγαγεῖν τὸ χρέος, καὶ ἐκδικῆσαι τὰ πράγματα· πάντων γὰρ προτιμότερός ἐστιν ὁ δημόσιος 4).

Ἐὰν ὁ τῶν δημοσίων ἀπαιτητὴς, κατὰ κέλευσιν τοῦ ἄρχοντος πωλήσῃ τὸν ἀγρὸν τοῦ ἀγνωμονοῦντος ἐν τοῖς δημοσίοις, οὐκ ἀνατρέπεται ἡ πρᾶσις· ἐὰν δὲ χωρὶς κελεύσεως τοῦ ἄρχοντος γένηται, ἢ κατὰ δόλον, ἢ δίχα τιμήματος, ἀνατρέπεται 5).

Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται δι' ἴδιον αὐτοῦ χρέος, ἢ διὰ πατρῷων, ἢ διὰ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως 6).

Κἂν συγγνώμην ἡλικίας ἀπαιτήσῃ ὁ ἥττων, οὐ πωλεῖ ἀκίνητον πρᾶγμα χωρὶς δεκρέτου, ἀλλ' οὐδὲ ὑποτίθεται· εἰ δὲ πωλήσει, δύναται οὐ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ κληρονόμοι τὸ πραθὲν ἀνατρέψαι εἴσω ἐνιαυτοῦ μετὰ κέ. ἔτη· ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται αὐτὸ ἀνατρέψαι, τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα εἴσω τοῦ εἰρημένου χρόνου· ἡ δὲ ἁρμόζουσά τινι ἀποκατάστασις, παραπέμπεται καὶ ἐπὶ τοὺς αὐτοῦ κληρονόμους 7).

Συγγνώμην δὲ ἡλικίας αἰτεῖ, ὁ μὲν ἀνὴρ ἀπὸ κ΄. ἔτους, ἡ δὲ θήλεια ἀπὸ ιή. σὺ δὲ γνῶθι τὴν τελείαν ἡλικίαν εἶναι ἀπὸ κέ. ἔτους 8).

---

1) Ἰνστ. 3, 23. Πρόχ. Νόμος ά. Τίτλ. ΙΔ΄. ἁρμεν. Βιβλ. Γ΄. γ΄. 20. — 2) 62 Πανδ. 18, 1. ά. Βασ. ΙΘ΄. 13. — 3) ς΄. Βασ. Α΄. 11. — 4) ά. Βασ. ΙΘ΄. 13. — 5) γ΄. Βασ. Ι. 19. — 6) μδ΄. Βασ. ΙΘ΄. 1. — 7) Ἁρμ. Ά. ιδ΄. ις΄. — 8) ϛ΄. Βασ. Γ΄. 27.

Ἐπίτροπος οὐ δύναται ὀρφανοῦ ἀγοράσαι πρᾶγμα, ἢ κουράτωρ, ἢ προκουράτωρ 1).

Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες 2).

Τὰ χωρὶς δόλου σύμφωνα καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα, ἔῤῥωται 3).

Οἱ τῇ εὐθηνίᾳ ἐπιβουλεύοντες διὰ τοῦ προαγοράζειν 4) τὰ ὤνια, ἢ ἀποτίθεσθαι, ἢ καὶ καιρὸν ἀφορίας ἐκδέχεσθαι, ἔμποροι μὲν ὄντες, τῆς πραγματείας εἴργονται, ἢ ἐξορίζονται, εὐτελεῖς δὲ, εἰς δημόσιον ἔργον καταδικάζονται 5).

Περὶ αἰχμαλώτων.

Ὁ ἀγορασθεὶς αἰχμάλωτος, εἰ μὲν εὔπορος εἴη, ἐκπληρούτω τὰς ὑπὲρ αὐτοῦ τιμάς· ἀπορῶν δὲ, τριετίαν δουλευέτω τῷ ἀγοράσαντι, καὶ οὕτως ἀπολυέσθω 6).

Ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς, ἀγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Περὶ ἀλογευσαμένων ἤτοι ζωοφθόρων.

Ἀγκύρας ις΄. ιζ΄.

Τῶν ἀλόγοις συμφθαρέντων ζώοις, ὁ ις΄. τῆς ἐν Ἀγκύρᾳ κανὼν θαυμασίαν πεποίηται τὴν διαίρεσιν· οἱ μὲν γὰρ τὴν ἐπάρατον ταύτην ἅπαξ τελεσάμενοι πρᾶξιν, φησὶ, μήπω τὸ εἰκοστὸν ἐκπληρώσαντες ἔτος, μηδὲ γυναικὶ συζευχθέντες, καὶ τῇ μετανοίᾳ τὴν θεραπείαν ἐπιζητήσαντες, εἰς πεντεκαιδέκατον ἔτος τοῦ τόπου τῆς ὑποπτώσεως μὴ ἐξιέτωσαν, καὶ εἰς ἑτέραν πεντετηρίδα τοῖς εὐχομένοις εἰς ταὐτὸ συνιόντες, οὕτω τῆς κοινωνίας καταξιούσθωσαν, εἴγε θερμοτάτην ἐπιδείξαιντο τὴν μετάνοιαν·

1) ιθ΄. Βασ. αὐτόθι. — 2) Ἀριθ. Α. ιϑ΄. 13. — 3) Ἀριθ. Α. θ΄. ιζ΄. — 4) προσαγοράζειν 1375. Β. — 5) ς΄. Βασ. Ξ. 22. — 6) ιή. Βασ. ΑΔ. 2.

οἱ δὲ μέχρι κόρου τοῦ πάθους ἐμφορηθέντες, τῇ μακρᾷ τῆς εἰκοσαετηρίδος προσκείσθωσαν ὑποπτώσει, καὶ εἰς ἕτερον ἔ. ἔτος τοῖς πιστοῖς συνιστάμενοι, οὕτω τῇ κοινωνίᾳ προσίτωσαν. Τοῖς γε μὴν τούτῳ συνεσχημένοις, τὴν νέαν ὑπερβεβηκόσι, καὶ ἐν ἡλικίᾳ γενομένοις, καὶ γυναιξὶ συζῶσιν, ὁ πεντάκις πέντε τὴν ὑπόπτωσιν ἐπιμετρήσει, καὶ ἑτέρα πενταετηρὶς τῶν θείων δώρων μνηστεύσει τὴν μετάληψιν· ὅστις μέντοι πεντηκοντούτης ὢν, ἢ καὶ πρὸς γῆρας ἤδη κλίνων, καὶ τῇ ἰδίᾳ χρώμενος γυναικὶ, τούτῳ ἑάλω, ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ τῶν μυστηρίων εἰργόμενος, ἐν τῷ καιρῷ τοῦ θανάτου κοινωνήσει καὶ μόνον.

Ὁ δὲ ιζ'. ταύτης, λελεπρωμένους τούτους ἐπονομάζει· οὕτω γὰρ ὁ Μωσαϊκὸς νόμος τοὺς ἀκαθάρτους καὶ μεμιασμένους ἐκάλει· καὶ τοῖς χειμαζομένοις προστάττει συνεύχεσθαι· εἶεν δ' ἂν οὗτοι οἱ τὸν ἀχείμαστον λιμένα τῆς Ἐκκλησίας προσχώσαντες ἑαυτοῖς τῇ πρὸς τὰ πάθη ῥοπῇ, καὶ θύραν τοῖς πνεύμασι τῆς πονηρίας ἀνοίξαντες, ἃ δὴ μυρίαν ἐπεγείρει τῇ ψυχῇ τρικυμίαν καὶ ζάλην.

Βασιλείου ζ'. καὶ ξγ'.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ζ'. ἔτι δὲ καὶ ἐν τῷ ξγ'. κανόνι τοὺς ἀλογευσαμένους μετὰ τὴν ἐξομολόγησιν εἰς ἔτος δέκατον πέμπτον τῆς κοινωνίας ἀπείργει.

Νύσσης γ'.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος, ἐν τῷ γ'. κανόνι, τὴν ἀλόγιστον ζωοφθορίαν εἰς ὀκτωκαιδέκατον ἔτος ἐκτείνει.

Νόμος γ'.

Ὁ μέν τοι πολιτικὸς νόμος, Οἱ ἀλογευσάμενοι, φησὶν, ἤτοι κτηνοβάται, καυλοκοπείσθωσαν 1).

1) ἄδεκτόν μοι δοκεῖ τῇ Ἐκκλησίᾳ, ἐν περισελίδῳ. ε.

ΚΕΦΑΛΑΙΟΝ Σ'.

Περὶ ἀναγνωστῶν.

Συνόδου ἕκτης λγ'.

Ὁ λγ'. τῆς ἕκτης Συνόδου κανών, Μηδείς, φησι, κουρᾶς ἄνευ καὶ σφραγίδος τοῦ οἰκείου ποιμένος, ἐπ' Ἐκκλησίας ἀναγινωσκέτω τὰς ἱερὰς βίβλους, ἐπὶ τοῦ ἄμβωνος ἱστάμενος· τοὺς δὲ παρὰ τοῦτο ποιεῖν τολμῶντας ἀφορισμῷ ὑποβάλλεσθαι.

Συνόδου ἑβδόμης ιδ'.

Ὁ δὲ τῆς ζ'. Συνόδου ιδ'. οὐδὲ τὸν κεκαρμένον ἐκ μειρακίου ἢ φαιὰ ἐνημμένον, ἢ μοναχικὸν ἠμφιεσμένον σχῆμα, τοῦτο ποιεῖν ἐφίησι, μὴ πρὸς τοῦ ἀρχιερέως τὴν χειροθεσίαν 1) δεξάμενον· ἐξεῖναι δὲ καὶ ἡγουμένοις, φησὶν, ἱερωσύνῃ σεμνυνομένοις, ἀναγνώστας ἐν τοῖς οἰκείοις μοναστηρίοις χειροτονεῖν, εἰ ἐπ' ἐρημίας οἶμαι τὰ μοναστήρια τυγχάνουσι κείμενα· τοῦτο δὲ καὶ χωρεπισκόποις ποιεῖν ἐφεῖται. Ζήτει καὶ τὸ δ'. κεφ. τοῦ Γ στοιχείου, καὶ τὸ κά. τοῦ Χ στοιχείου, καὶ ἐν τῷ έ. κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου να'.

Νόμος.

Ἡ δὲ Ἰουστινιάνειος Νεαρὰ κελεύει μὴ γίνεσθαί τινα ἀναγνώστην εἰμὴ ιή. ἐτῶν γένοιτο. Ζήτει καὶ τὸ ιγ'. κεφ. τοῦ Κ στοιχ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ ἀναθέματος.

Ζήτει τὰ περὶ τούτου ἐν τῇ ἐπιγραφῇ τῆς ἐν Γάγγρᾳ Συνόδου, ἥτις τῷ καταλόγῳ τῶν λοιπῶν Συνόδων ἐν τῇ ἀρχῇ συνηρίθμηται.

ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ ἀντιμινσίων.

Τὰ ἀντιμίνσια, τῆς ἁγιαστικῆς μετέχοντα δυνάμεως, ἣν αὐτοῖς ἡ τῆς καθιερώσεως τῶν νεωστὶ ἀνεγειρομένων ναῶν ἀκο-

1) τὴν υἱοθεσίαν δεξάμενον ἤτοι χειροθεσίαν. 1375.

λουθία καὶ ἡ ἑπταήμερος ἐν τῷ ἐκεῖ θυσιαστηρίῳ κειμένοις ἱερουργία χαρίζεται, ἔνθα ἂν χρεία γένηται τούτων, ἀκωλύτως παραπέμπονται, καὶ οὐ περιγράφεται ἐν τῇδε τῇ ἐνορίᾳ, ἢ ἐν ἐκείνῃ, ἀλλὰ καὶ ὑπερόρια γίνονται, καθὰ δὴ καὶ τὸ ἅγιον μῦρον, καὶ ἕτερα ἅγια· ἐκλήθησαν δὲ οὕτως, ὡς ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν πολλῶν τοιούτων μίνσων, τῶν καταρτιζόντων τὴν ἁγίαν δεσποτικὴν τράπεζαν· ἀλλὰ καὶ ἀπὸ τοῦ κατ' Ἰταλοὺς μίνσου ἡ τούτων παρήχθη προσηγορία· κυρίως δὲ ἐπ' ἐκείνων τῶν τραπεζῶν τίθενται, ἃς καθιέρωσις οὐχ ἡγίασεν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἀποδημίας ἐπισκόπων καὶ κληρικῶν.

Συνόδου πρώτης καὶ δευτέρας ις'.

Οὐδὲ τὰ τῆς ἀποδημίας τῶν ἐπισκόπων ἢ κληρικῶν παροπτέα τοῖς Πατράσιν ἐκρίθη· ὁ γὰρ ις'. τῆς λεγομένης ά. καὶ β'. Συνόδου κανὼν, Ὁ πλέον τῶν ἓξ μηνῶν, φησὶ, τῆς ἑαυτοῦ Ἐκκλησίας ἀποδημῶν ἐπίσκοπος, καὶ ἐν ἀλλοδαπῇ διατρίβων, μὴ βασιλικοῦ ἢ πατριαρχικοῦ εἴργοντος αὐτὸν ἐπιτάγματος, ἢ βαρείας νόσου κλινοπετῆ διόλου ποιούσης, ὡς ἀκινήτως πρὸς μετάβασιν ἔχειν, ἀλλοτριωθήσεται τῆς ἱερωσύνης, καὶ ἕτερος εἰς τὴν ἐπισκοπὴν ἐκείνου ἀντεισαχθήσεται.

Σαρδικῆς ζ', ή, θ', κ'.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ζ', Εἰ μὴ γράμμασι βασιλικοῖς μεταπεμφθείη, φησὶν, ὁ ἐπίσκοπος, ἀπιέναι μὴ τολμάτω πρὸς βασιλέα, ἀξιωμάτων ἕνεκα μάλιστα, ἃ δὴ κοσμικοῖς οὐχ ἧττον ἢ ἐπισκόποις προσήκει· εἰ δὲ δι' ἐπικουρίαν προφανῶς ἀδικουμένων πενήτων, χηρῶν τε καὶ ὀρφανῶν, τὴν ὡς τὸν βασιλέα στείλασθαι προθυμηθείη, ἢ παραιτησόμενος τοὺς ἐπὶ πταίσμασιν ἐξορίᾳ παραπεμφθέντας, ἢ ἑτέραις ἐξεταζομένους κολάσεσιν, ἐπαινετέος μᾶλλον ἢ μεμπτέος τοῖς γε νοῦν ἔχουσιν.

Ὁ δὲ ή. ταύτης, Εἰ μέντοι δι' ὑπηρέτου, φησὶ, τὴν δεδηλωμένην ἱκεσίαν ὑπὲρ τῶν προσφευγόντων τῇ Ἐκκλησίᾳ καὶ δεο-

μένων ἐπικουρίας ὁ ἐπίσκοπος ποιήσαιτο, καὶ τῇ τῶν πολλῶν οὐχ ὑποπεσεῖται μέμψει, καὶ τὴν ἐν τῷ στρατοπέδῳ ταλαιπωρίαν ἐκφεύξεται.

Ὁ δὲ θ', Τὰς μετὰ Συνοδικῆς, φησὶ, διαγνώσεως πρὸς τὸν βασιλέα τοῦ ἐπισκόπου πεμπομένας ἐπιστολὰς, ὑπὸ τοῦ τῆς πόλεως ἐκείνης μητροπολίτου, ἐν ᾗ τὰς διατριβὰς ὁ βασιλεὺς τῷ τηνικαῦτα ποιεῖται, ἀνακρίνεσθαι δεῖ, καὶ εἰ μὴ φορτικαὶ τούτῳ δοκοῦσιν, ἐπιδίδοσθαι· εἰ δ' οὖν, πρὸς τὸν πέμψαντα ταύτας ἀνακομίζεσθαι.

Ὁ δὲ κ', Τῆς ἐνίων ἀναισχυντίας εἵνεκεν, ἵνα μὴ τὰ τῆς ἱερωσύνης διαβάλλοιτο, καὶ παρὰ τῶν ἐν ταῖς παρόδοις καθεστηκότων ἐπισκόπων, ἀνακρίνεσθαι τοὺς ἀπιόντας ποι τῶν ἀρχιερέων χρὴ, τῶν μητροπολιτῶν, οἶμαι, οἷς οἱ τοιοῦτοι πάντως ὑπόκεινται· πρὸς ἐκείνων γὰρ καὶ μόνον τοὺς ὑπ' αὐτοῖς ἀνακρίνεσθαι χρεὼν ἐπισκόπους, ἔστι δ' ὅτε καὶ τοὺς μὴ ὑποκειμένους αὐτοῖς, καὶ τούτοις παρὰ κανόνας τι πράξειν ὡρμημένους, οὐχ ὅπως μὴ συναινεῖν, ἀλλὰ καὶ ἀπελέγχειν, καὶ ὡς οἷόν τε, διακωλύειν. Εἰ μὲν γὰρ ἀπίοιεν πρὸς βασιλέα, ἢ ὑπ' αὐτοῦ προσκληθέντες, ἢ τῶν προδεδηλωμένων εὐλόγων ὑποθέσεων χάριν, ἐφεῖναι τούτοις τὴν πάροδον, τὰς εἰρηνικὰς αὐτῶν σημειωσαμένους ἐπιστολάς· εἰ δὲ δι' ἐπίδειξιν ἄλογον εἰς ἀλλοτρίαν πόλιν ἀπέρχονται, διδάξαι τὸν ἐνταῦθα λαὸν οἰόμενοι, καὶ καταισχύναι τὸν ταύτης ἐπίσκοπον, ἢ πρὸς βασιλέα ἰδίας ποιησόμενοι ἀξιώσεις, μὴ κοινωνῆσαι τούτοις, ὡς ἐκ τοῦ κανόνος οὖσι καθῃρημένοις.

Ἀντιοχείας ιά.

Ὁ γὰρ τῆς ἐν Ἀντιοχείᾳ ιά. καὶ τῆς κοινωνίας ἀποκηρύττει, καὶ τῆς ἀξίας ἀπόβλητον τίθησι πάντα ἐπίσκοπον ἢ πρεσβύτερον, ἢ ὅλως ὄντα τοῦ κανόνος, τὸν ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τοῦ μητροπολίτου, ἀπιέναι πρὸς βασιλέα, καὶ ὑπὲρ ἀναγκαίων, φημὶ, πραγμάτων, τολμήσαντα.

Καρθαγένης κγ'. καὶ οά.

Ἀλλ' οὐδὲ ὁ τῆς ἐν Καρθαγένῃ, διὰ θαλάσσης μακρὰν ὁδὸν

στέλλεσθαι τὸν ἐπίσκοπον ἐπιτρέπει, εἰ μή τοί γε μετὰ κοινοῦ ψηφίσματος τῶν τῆς ἐπαρχίας ἐπισκόπων, κατ' ἐξαίρετον δὲ τοῦ τῆς Συνόδου τὰ πρῶτα φέροντος Πατριάρχου ἢ μητροπολίτου ἐντετυπωμένης καὶ σεσημασμένης γραφῆς, συνιστάσης τοῦτον πρὸς οὓς ἄπεισι, καὶ ἀξιούσης περὶ αὐτοῦ.

Ὁ δὲ ὁά. ταύτης, οὐδὲ πρὸς ἑτέραν ὑπ' αὐτῷ τελοῦσαν παροικίαν εὐπρόσοδον ἀποδημεῖν δικαιοῖ, κἀκεῖ διατρίβειν ἐπὶ πολὺ, τὴν πρωτότυπον Ἐκκλησίαν καταλιμπάνοντα, καὶ τῶν σωτηριωδῶν αὐτῇ παραγγελμάτων ὀλιγωροῦντα 1), κέρδους ἰδίου τὴν σωτηρίαν τοῦ λαοῦ προϊέμενον.

Βαλσαμών. Ἐκ τούτου τινὲς συλλογίζονται μὴ ἐξεῖναι, μήτε τὸν ὑπὸ ἐθνῶν τῆς οἰκείας ἐπισκοπῆς ἐκβληθέντα, ἐν ἑτέρᾳ ὑπ' αὐτῷ τελούσῃ κατοικεῖν παροικίᾳ, μήτε τὸν φαύλης καὶ μικρᾶς ἐπισκοπῆς προϊστάμενον, εἰς ἑτέραν πολυανθρωποτέραν χώραν, ὑποτελῆ καὶ ταύτην αὐτῷ τυγχάνουσαν, αὐθόρμητον μεταβαίνοντα κατοικεῖν, ἢν μὴ βασιλεὺς ἐφῇ, καὶ διάγνωσις ἐπικρίνῃ τοῦτο Συνοδική.

Σαρδικῆς ιϐ'.

Ὁ δὲ ιϐ'. τῆς ἐν Σαρδικῇ, Τὸν εἰς ἀκινήτους αὐτοῦ κτήσεις ἀπιόντα ἐπίσκοπον, ὑπερορίους οὔσας τῆς αὐτοῦ ἐπαρχίας, ἐπὶ τῷ συγκομίσαι τοὺς οἰκείους καρποὺς, ὡς ἂν ἔχῃ τοῖς δεομένοις ἐπαρκεῖν, ἐπὶ τρισὶ καὶ μόναις κυριακαῖς κελεύει τοῦτον τῷ τῆς ἐπαρχίας ἐκείνης πρεσβυτέρῳ συνέρχεσθαι, καὶ τοῖς ἐνταῦθα πιστοῖς συνεύχεσθαι, καὶ συμψάλλειν, ἵνα μὴ προσκεκρουκὼς ἢ τῷ ἀφορίζοντι κανόνι τὸν ἐπὶ τρισὶ κυριακαῖς τῆς Ἐκκλησίας ἀπολιμπανόμενον· ἔστι δὲ καὶ οὗτος ταύτης ιά· οὐ μὴν ἀλλὰ καὶ πυκνῶς εἰς τὴν πόλιν τῆς χώρας ἐκείνης μὴ ἀπιέναι, οὕτω γὰρ καὶ ζημίαν οὐχ ὑποστήσεται, συνεχέστερον ἐπιτηρῶν τὰ οἰκεῖα, καὶ ὁ ἐγχώριος ἐπίσκοπος κενῆς δόξης καὶ ὑπεροψίας αὐτὸν οὐ γράψεται, ὡς ἂν εἰς αὐτοῦ αἰσχύνην τὸν ὑπ' αὐτῷ λαὸν διδάσκειν ἐθέλοντα.

---

1) καὶ τῶν σωτηριωδῶν . . . ὀλιγωροῦντα, οὐ κεῖται παρὰ Β. καὶ ε.

Βαλσαμών. Εἰς γὰρ τὰς ἀκινήτους κτήσεις τῶν ἀλλοτρίων Ἐκκλησιῶν, ὁ ἐγχώριος ἐπίσκοπος τὰ ἀρχιερατικὰ ἐνεργεῖ δίκαια.

Ὅτι μόνῳ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως σταυροπήγια πανταχῆ πέμπειν δέδοται.

Μόνῳ δὲ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως, ἐκ συνηθείας ἐφεῖται μακρᾶς, σταυροπήγιά τε διδόναι, καὶ τὴν ἀναφορὰν καὶ μνήμην τοῦ ὀνόματος αὐτοῦ ἔχειν, οὐ μόνον ἐφ' οἷς κέκτηται ἰδίοις χωρίοις ὁπουδήποτε κειμένοις, καὶ τοῖς ἀκινήτοις κτήμασι τῶν ὑποκειμένων τούτῳ μοναστηρίων, ἀλλὰ καὶ ἐν ταῖς τῶν μητροπόλεων αὐτοῦ ἐνορίαις, ἔνθα ἂν παρὰ τοῦ τὸν νεὼν ἀνεγείροντος δηλαδὴ προσκληθείη.

Τί ἐστι μετάθεσις, μετάβασις, καὶ ἐπίβασις.

Εἰ δέ τι περαιτέρω τῆς ἀπραγματεύτου ἀποδημίας καινοτομηθείη τοῖς ἐπισκόποις, ἢ μετάθεσις λέγεται τοῦτο, ἢ μετάβασις, ἢ ἐπίβασις.

Μετάθεσις.

Καὶ μετάθεσις μέν ἐστι, τὸ ἐξ ἐλάττονος Ἐκκλησίας εἰς μείζονα χηρεύουσαν ἀναχθῆναί 1) τινα τῶν λόγῳ καὶ σοφίᾳ διαφερόντων, καὶ τὴν εὐσέβειαν κινδυνεύουσαν δυναμένων ῥῆξαι, οἷα καὶ τὰ κατὰ τὸν μέγαν ἔσχε Γρηγόριον, τὸν τῆς θεολογίας ἐπώνυμον, ἣν οὐκ ἄν τις εὖ φρονῶν εἴπῃ μὴ τῶν σφόδρα ἐπαινουμένων εἶναι.

Ἀποστόλων ιδ'.

Τοῦτο καὶ ὁ ιδ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, τῶν ἀναγκαίων εἶναι κρίνει, μὴ ἐξεῖναι λέγων ἐπίσκοπον καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιποθᾷν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις ἀναγκαία εἴη αἰτία ἡ τοῦτο ποιεῖν αὐτὸν κατεπείγουσα 2), οἷα δυνάμενον τοῖς ἐκεῖ τά γε εἰς εὐσέβειαν συλλαβέσθαι· καὶ τοῦτο δὲ οὐκ οἴκοθεν ἐλέσθαι δεῖ, ἀλλὰ καὶ κρίσει πολλῶν ἐπισκόπων, καὶ ἱκανῇ παρακλήσει.

---

1) ἀνενεχθῆναι 1375 καὶ Γ. — 2) ἀναγκάζουσα Γ.

Μετάβασις.

Μετάβασις δὲ, ὅταν τις τῶν ἐπισκόπων, τῆς Ἐκκλησίας αὐτοῦ καταληφθείσης ὑπὸ ἐθνῶν, γνώμῃ τῶν κατὰ τὴν χώραν ἐπισκόπων εἰς σχολάζουσαν ἑτέραν μεταβῇ, διά τε τὸ περὶ τὴν ὀρθοδοξίαν αὐτοῦ ὑγιὲς, καὶ τὴν τῶν ἐκκλησιαστικῶν ἐπιστήμην νόμων τε καὶ δογμάτων.

Ἀντιοχείας ιγ΄. κβ΄.

Ἔχει δὲ καὶ αὕτη πάντως τὸ ἀνεπίκλητον 1), ὡς ἡ ἐν Ἀντιοχείᾳ Σύνοδος ἐν τῷ ιγ΄. κανόνι καὶ κβ΄. διέξεισι, Μὴ δεῖν λέγουσα πρὸς ἑτέραν ἐπίσκοπον ἐπαρχίαν ἀπιέναι καὶ χειροτονίας ποιεῖν, εἰ μήπου παραχωρηθείη πρὸς τοῦ ἐπισκόπου τῆς ἐπαρχίας ἐκείνης· εἰδ' οὖν, καὶ τὰς χειροτονίας, καὶ τὰ ἄλλως ὑπ' αὐτοῦ πραττόμενα τυγχάνειν ἄκυρα, καὶ αὐτὸν καθαιρέσει καθυποβάλλεσθαι, ὡς σκανδάλου καὶ ταραχῆς αἴτιον ὑπάρξαντα.

Ἐπίβασις.

Ἐπίβασις δέ ἐστιν ἡ κατὰ αὐτονομίαν, ἢ κατά τινα φαύλην οἰκονομίαν τοῦ σχολὴν ἄγοντος, ἢ καὶ τοῦ ἔχοντος Ἐκκλησίαν ἐπισκόπου πρὸς χηρεύουσαν Ἐκκλησίαν παράλογος ἐπεισαγωγὴ, ἣν τοσοῦτον ἐβδελύξαντο οἱ ἐν Σαρδικῇ θεῖοι Πατέρες, ὥστε καὶ ἀκοινώνητον εἶναι παντὶ Χριστιανῷ τὸν ἐργάτην ταύτης διωρίσαντο, καὶ μηδὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς λαϊκῆς γοῦν κοινωνίας ἀξιοῦσθαι.

Σαρδικῆς, ά. β΄.

Εὐθὺς γὰρ ἐν τῷ ά. κανόνι, καὶ μέντοι καὶ τῷ β΄, οὕτω φασί· Μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι τὴν πόλιν, ἐν ᾗ κεχειροτόνητο, καταλιπόντα, πρὸς ἑτέραν μεταβῆναι· τεκμήριον γὰρ ἀλαζονείας καὶ πλεονεξίας ἀτεχνῶς καθέστηκεν ἡ τοιάδε μετάβασις, καὶ δόξης κενῆς ἔφεσις, καὶ τοῦ πλείονα κτήσασθαι πράγματα· ἐπεί τοί γε πῶς οὐχ εὕρηταί τις ποτὲ ἐκ μείζονος πόλεως εἰς ἐλάσσονα μεταβεβηκώς; ταῦτ' ἄρα καὶ δίκαιος ἂν ὁ τοιοῦτος εἴη, τῆς τῶν πιστῶν ἐκκόπτεσθαι ὁμηγύρεως· εἰ δὲ καὶ δόλους

1) τὸ ἐνέγκλητον Γ.

ἀλοίη ῥάπτων, φησὶ, καὶ κατασκευαζόμενος, καὶ χρήμασί τινας ὑποφθείρων ἀνακπείθει, στάσεις κατὰ τὴν Ἐκκλησίαν ἐγείρειν, τὴν αὐτοῦ προστασίαν ἐπιζητοῦντας, μηδὲ θνήσκων τῆς τῶν λαϊκῶν ἀξιούσθω κοινωνίας· καὶ τῶν πιστῶν γὰρ ὅλως ἐνάριθμον εἶναι τοῦτον οὐκ ἀνέχεται.

Συνόδου δευτέρας β'.

Ὁ δὲ τῆς δευτέρας Συνόδου β', τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους, ταῖς ὑπερορίαις Ἐκκλησίαις, ταῖς ὑπὲρ τὰ ἑκάστῃ δηλαδὴ ἀφωρισμένα κειμένοις ὅρια, ἀκλήτους θεσπίζει μὴ ἐπιέναι, τὴν ἄτακτον αὐτῶν καὶ λῃστρικὴν ἔφοδον ἐντεῦθεν ἐμφαίνων· μηδὲ ταύταις ἐπιδημεῖν 1) ἐπὶ χειροτονίᾳ ἢ ἑτέρᾳ οἱαδήτινι ἱερατικῇ διοικήσει. Τὰς μέν τοι καθ' ἑκάστην ἐπαρχίαν ἐκκλησιαστικὰς διοικήσεις, ψήφους, φημὶ, καὶ χειροτονίας, καὶ ἀμφιβολιῶν λύσεις, ἐν ἀφορισμοῖς δεικνυμένας καὶ ἐπιτιμίοις, καὶ λοιποῖς τοιούτοις, τὴν ἑκάστης ἐπαρχίας οἰκονομεῖν Σύνοδον· τὸ δέ γε ἔθος κρατεῖν τῶν ἐν τοῖς βαρβάροις ἔθνεσι κειμένων Ἐκκλησιῶν, ὥστε ἀνενδοιάστως ἐπιφοιτᾶν καὶ ταῖς τῶν ἄλλων Ἐκκλησιῶν παροικίαις, εἴ τις ἐν λόγῳ διαλάμπων, τοὺς λοιποὺς ἐπιστηρίζειν δύναιτο· τοῦτο δὲ συγκεχώρηται παρὰ τὸ μὴ εἶναι κἀκεῖ ἐπισκόπους ἀποχρῶντας εἰς Συνόδου πλήρωμα.

Συνόδου ἕκτης κ'.

Ὁ δὲ τῆς ἕκτης Συνόδου κ', ἐπισκόπῳ διδάσκειν ἐν πόλει δημοσίᾳ οὐκ ἐπιτρέπει τῇ τούτῳ μὴ ὑποκειμένῃ· ἰδίᾳ μέντοι τὸν ἐν αὐτῇ ἐρωτῶντα διδάξαι, καὶ μέντοι καὶ δημοσίᾳ τοῦ ἐγχωρίου ἐπιτρέψαντος ἐπισκόπου, ἔτι δὲ καὶ χειροτονίας ποιῆσαι οὐ κεκώλυται· εἰ δέ τις παρὰ ταῦτα, φησὶ, πράττων φωραθείη, τῆς μὲν ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω, ἀντίῤῥοπον τῷ ἐξ ἐπάρσεως πταίσματι τὴν ἐν τῷ πρεσβυτερείῳ ταπείνωσιν ὑπενεγκών· ἐπεὶ καὶ τὰ ἐναντία τῶν ἐναντίων ἴσμεν ἰάματα· οὐ γὰρ ἄλλο τι τούτῳ ἡμάρτηται τελείας ἄξιον καθαιρέσεως.

---

1) ἐπιβαίνειν B.

Ἀγκύρας ιή.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιή, Οἱ χειροτονίαν ἐπισκόπου, φησὶ, δεξάμενοι, καὶ πρὸς τὴν παροικίαν ἀπιόντες, ἐν ᾗ ἐπωνομάσθησαν, κωλυόμενοι δὲ καὶ τῶν ἐκείνοις ἐπιβῆναι ὁρίων πρὸς τοῦ ἐνταῦθα λαοῦ, καὶ ἐντεῦθεν ἑτέραις ἐπιέναι τολμῶντες, καὶ τοὺς ἐν αὐταῖς ἐπισκόπους βιάζεσθαι, καὶ στάσεις κινεῖν, ἀφοριζέσθωσαν. Εἰ μέντοι ἀποχρῶν ἡγήσαιντο τῆς τιμῆς καὶ καθέδρας ἠξιῶσθαι μόνης τῶν πρεσβυτέρων, ἔνθα καὶ πρότερον ὑπῆρξε τούτοις πρεσβυτέροις εἶναι, μενέτωσαν ἡσυχῇ βιοῦντες· εἰ δὲ πρὸς τοὺς καθεστῶτας ἐπισκόπους φωραθεῖεν στασιάζοντες, καὶ τὴν τιμὴν ἀφαιρεῖσθαι τούτους τοῦ πρεσβυτέρου, καὶ τῆς Ἐκκλησίας ἐκπτώτους γίνεσθαι.

Ἀντιοχείας ις΄. κά.

Ὁ δὲ τῆς ἐν Ἀντιοχείᾳ ις΄, Ὁ τελέως, φησὶν, ἐκβεβλημένος ὑπὸ ἐθνῶν τῆς ἰδίας ἐπισκοπῆς, καὶ ὡς σχολάζων εἰς σχολάζουσαν ἐπιῤῥίψας ἑαυτὸν Ἐκκλησίαν, καὶ τὸν ταύτης ὑφαρπάσας θρόνον, μὴ τελείας ἐπιτρεψάσης Συνόδου, ἀπόβλητος καὶ τῆς ἱερωσύνης ἔστω, κἂν ἅπας ὁ λαὸς, ὃν ὑφήρπασε, τοῦτον αἱροῖτο· τελεία δέ ἐστι, φησὶ, Σύνοδος, ᾗ σύνεστι καὶ ὁ μητροπολίτης· οὐ γὰρ ἐφεῖται ταῦτα πράττειν μόνοις τοῖς τῆς ἐπαρχίας ἐπισκόποις.

Ὁ δὲ κά, Μὴ μεταβαίνειν ἐπίσκοπον ἀπὸ τῆς ἰδίας παροικίας 1) εἰς ἑτέραν διορίζεται, μήτ' αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε μὴν ὑπὸ λαῶν ἐκβιαζόμενον 2), μήθ' ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον· μένειν δὲ ἐν ᾗ κεκλήρωτο ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ, καὶ μὴ μεθίστασθαι.

Σαρδικῆς γ΄. ιά. ιζ΄.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ γ΄, Εἰ καὶ συνελκηλύθασι, φησὶν, εἰς ἠντιναοῦν ἐπαρχίαν πλείους τῶν ἐπισκόπων, ὥς τι τελέσοντες ἐκκλησιαστικὸν, μὴ ἀκλήτους πρὸς αὐτοὺς ἀπιέναι τοὺς ἀφ' ἑτέρας ἐπαρχίας· καλουμένους γε μὴν, μὴ ἀναδύεσθαι τὴν ἄφιξιν διὰ τὸ φιλάδελφον.

---

1) ἐπαρχίας 1375. —2) βιαζόμενον, ε.

Ὁ δὲ ιά, Ἐάν τις τῶν ἐπισκόπων, φησὶ, λόγων παιδείαν 1) ἱκανῶς ἠσκημένος, πρὸς ἑτέραν ἀπίῃ πόλιν ἢ ἐπαρχίαν, ζητήσεως ἐκεῖ γενομένης περὶ τῆς ἐν ἡμῖν θρησκείας, ἤτοι λατρευομένης εὐσεβείας, μὴ κατ' ἐπίδειξιν καὶ κόμπον ἀλόγιστον συνεχῶς τοῖς λαοῖς ὁμιλείτω, ἐν περιφρονήσει τὸν τῆς χώρας ποιμένα τιθέμενος, καταισχύνων αὐτὸν, καὶ προφέρων τὸ περὶ λόγους ἀνάσκητον· αἴτιον γὰρ τοῦτο ταραχῆς καὶ ὑπονοίας οὐκ ἐλεύθερον, οἷα ταῦτα ποιῶν ἐξεπίτηδες τῷ ἐποφθαλμιᾷν τῇ τῆς πόλεως ἐκείνης καθέδρᾳ· δεῖ τοίνυν, φησὶ, καὶ τὸν ἀτάκτως ἄττοντα καταστεῖλαι, καὶ νομοθετῆσαι τὸ φιλάδελφον· μήτε οὖν ὁ ἐπίσκοπος παντάπασιν ἀπωθείτω τὸν συνεπίσκοπον, ἀπάνθρωπον γὰρ τοῦτό γε καὶ σκαιὸν, καὶ φαῦλον, καὶ πονηρόν· μήτε μὴν οὗτος ἐνταυθοῖ διατρίβων, πλέον τῶν τριῶν ἑβδομάδων τῆς οἰκείας Ἐκκλησίας ἀπολιμπανέσθω· εἰ γὰρ ὁ ἀγράφως φερόμενος κανὼν τῆς κοινωνίας ἀπείργει τὸν ἐν πόλει διάγοντα λαϊκὸν 2), καὶ ἐπὶ τρεῖς ἑβδομάδας τῇ κοινῇ συνάξει τῆς Ἐκκλησίας μὴ συνιόντα, πολλῷ γε δήπου τὸν ἐπίσκοπον οὐ δέον τῆς ἑαυτοῦ Ἐκκλησίας ἀποδημεῖν ἐπὶ τοσοῦτον χρόνον, βαρυτάτης ἄνευ ἀνάγκης, καὶ παραλιπεῖν τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον· ἀλλὰ γὰρ ὕστερον ὁ ἀγράφως φερόμενος οὑτοσὶ κανὼν, ὀγδοηκοστὸς ἐχρημάτισε τῆς ἕκτης Συνόδου 3).

Ὁ δὲ ιζ'. αὖθις τῆς ἐν Σαρδικῇ, Τὸν ἀδίκως, φησὶ, τῆς ἰδίας ἐκβεβλημένον ἐπισκοπῆς, ἢ ὑπὸ αἱρετικῆς δυναστείας περὶ πλείονος τὰ τῆς ὀρθῆς πίστεως ποιούμενον δόγματα, ἢ τῷ τὴν ἔνσαρκον οἰκονομίαν ὁμολογεῖν, παρὰ εἰδωλολατρῶν ἐξωσθέντα, ἢ τῆς ἀληθείας καὶ δικαιοσύνης μεταποιούμενον, ὑπὸ τῶν κακῶς τὸν πλησίον ποιεῖν εἰωθότων, ὡς καθωσιωμένον, καὶ εἰς κόλασιν ἀφωρισμένον ἀπελαυνόμενον, ἀθῷόν γε μὴν αὐτὸν ἀληθείας δικαζούσης ὑπάρχοντα, τὸν δὴ τοιοῦτον ἐν ἑτέρᾳ διατρίβειν πόλει μὴ κωλύεσθαι, μέχρις ἂν εἰς τὴν οἰκείαν ἐπανήκῃ, τὸν φόβον δικαδρὰς τοῦ κινδύνου, καὶ τὴν δοκοῦσαν ἐκ τῆς ἐξορίας ἀποτρίψηται ὕβριν· σκληρὸν γὰρ καὶ ἀπάνθρωπον, τὸν ἀδίκως

1) λόγων παιδείας, ε.—2) λαϊκὸν ἢ κληρικὸν, 1375.—3) τῇ ἕκτῃ Συνόδῳ Γ.

τῆς αὐτοῦ πόλεως ἀπεληλαμένον, μὴ πρὸς τῶν συνεπισκόπων ἱλαρῶς καὶ φιλοφρόνως ξενίζεσθαι.

Συνόδου ἕκτης ιή.

Ὁ δὲ τῆς ἕκτης Συνόδου κανὼν ιή, Τοὺς προφάσει βαρβαρικῆς ἐφόδου ἢ φορολόγων ἀπανθρωπίας 1), ἢ λιμοῦ ἀνάγκης, ἢ ἡσδηποτοῦν ἄλλης αἰτίας πρὸς ἀλλοδαπὴν ἀπάραντας ἐπισκόπους, ἢ κληρικοὺς, καὶ, τῆς αἰτίας διαλυθείσης, μὴ ἐπανήκειν προθυμουμένους, ἀφορίζεσθαι κελεύει, μέχρις ἂν εἰς τὴν Ἐκκλησίαν ἐπανέλθωσιν, ἧς μετανάσται γεγόνασιν· οὐ μὴν, ἀλλὰ καὶ τὸν ὑποδεξάμενον τούτους ἐπίσκοπον, καὶ εἰσέτι κατέχειν πειρώμενον, ἀφορισμῷ ὑποτίθησιν.

Συνόδου τετάρτης κγ'.

Ὁ δὲ κγ'. τῆς τετάρτης Συνόδου, Τοὺς ἀποδημεῖν ἑλομένους ὧν κεκλήρωνται Ἐκκλησιῶν κληρικούς τε καὶ μοναχοὺς, παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, προφάσει ὡς μὴ παρ' αὐτοῦ διοίκησιν ἐγκεχειρισμένους τινὰ, ἴσως μὴ ἐπιτηδείως ἔχειν αὐτοὺς περὶ τὰ τοιαῦτα κρίναντος, ἔστι δ' ὅτε καὶ ἀκοινωνήτους πρὸς αὐτοῦ γενομένους, καὶ εἰς βασιλεύουσαν ἢ εἰς ἑτέραν ἀπιόντας πόλιν, καὶ ἐπὶ πλεῖστον αὐτόθι διατρίβοντας, καὶ τὴν τῆς Ἐκκλησίας ταράσσοντας καὶ θορυβοῦντας κατάστασιν, ἀνατρέποντας τέ τινων οἴκους τῷ ἠμελημένως βιῶναι, καὶ ἄκοντας ἐξωθεῖσθαι διορίζεται παρὰ τῆς ἐν τῇ πόλει Συνόδου, ὥστε τοὺς οἰκείους τόπους καταλαβεῖν.

Συνόδου ἑβδόμης ι.

Ὁ δὲ τῆς ζ'. Συνόδου ι. καθαιρεῖ οὐ μόνον τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνοντα ἱερέα, ἀλλὰ καὶ τὸν εἰς τὴν βασιλεύουσαν 2) εἰσιόντα, καὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις τῶν ἀρχόντων λειτουργοῦντα ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως.

---

1) Ὁ Βευερ. ἀνέγνω σπανίας ἀντὶ ἀπανθρωπίας, ἐκ τοῦ σίγλου ἀπανῖας. — 2) βασιλεύουσαν πόλιν 1375.

Συνόδου τετάρτης δ'.

Ὁ δὲ δ'. τῆς τετάρτης Συνόδου, Κληρικούς, φησι, τῆς οἱασοῦν Ἐκκλησίας, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι Ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην, ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν, ἐκτὸς τῶν κατ' ἀνάγκην τῆς ἰδίας πατρίδος ἐκπεπτωκότων· ἐπίσκοπος δὲ τὸν ἑτέρου δεξάμενος κληρικὸν, ἀκοινώνητος ἔστω, ἕως ἂν ὁ κληρικὸς εἰς ἣν καταλέλοιπεν Ἐκκλησίαν ἐπιστρέψῃ.

Νεοκαισαρείας ιγ'.

Ὁ δὲ ιγ'. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου, Τοὺς ἐκτὸς ἡστινοσοῦν πόλεως πρεσβυτέρους εἰς ταύτας εἰσέρχεσθαι καὶ προσφέρειν, ἢ τῆς θείας μεταδιδόναι τινὶ κοινωνίας οὐκ ἐπιτρέπει, παρόντος τοῦ τῆς πόλεως ἐπισκόπου ἢ πρεσβυτέρου· ἐὰν δὲ ἀπῶσιν οὗτοι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, εἰσελθεῖν αὐτὸν οὐ κωλύει, καὶ τῶν ἁγιασμάτων τισὶ μεταδοῦναι, εἰ τῆς ὑποκειμένης εἴη τῇ πόλει καὶ οὗτος δηλαδὴ ἐπαρχίας· ἑτέρας γὰρ πρεσβυτέρῳ οὐκ ἐφεῖται λειτουργεῖν, παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου· ὥσπερ οὐδὲ ἐπισκόπῳ παροικίας ἑτέρας, τοῦ γνησίου μὴ ἐπιτρέποντος ἐπισκόπου 1), εἰ καὶ ὑπὸ τοῦ τῆς πόλεως ἐκείνης μετακληθείη λαοῦ.

Περὶ τῶν διδομένων τοῖς ἀποδημοῦσι κληρικοῖς παρὰ τῶν ἐπισκόπων ἐπιστολῶν συστατικῶν, ἀπολυτικῶν, καὶ εἰρηνικῶν.

Ἀποστόλων λγ'.

Καὶ ὁ μὲν λγ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Τοὺς ἐξ ἀλλοδαπῆς ἐρχομένους ἐπισκόπους καὶ λοιποὺς κληρικοὺς συστατικῶν ἄνευ γραμμάτων παρεγγυᾶται 2) μηδόλως εἰς κοινωνίαν προσίεσθαι· εἰ δὲ καὶ ταῦτα ἐπιφέροιντο, μηδ' οὕτως ἀνεξετάστως αὐτοῖς κοινωνεῖν· συμβαίνει γὰρ ἔσθ' ὅτε, κατὰ πίστιν τινὰς σφαλλομένους, πρὸς τὴν τῶν πολλῶν ἐξαπάτην συστατικὰς ἐπιστολὰς τινῶν ἐπισκόπων λαβεῖν, ἀγνοησάντων ἴσως τὴν ἐγκεκρυμμένην αὐτοῖς περὶ τὰ δόγματα λύμην· πολλὰ γὰρ τὰ

1) ἐπισκόπου, οὐ κεῖται ἐν 1375. — 2) παρεγγυᾷ 1375.

κατὰ συναρπαγὴν ἴσμεν 1) γινόμενα· πολλοῖς γοῦν πιστεύσασι μὲν μεγάλη ἀπήντησε συμφορὰ, ἀπιστίᾳ δὲ φραξαμένοις, λαμπρὰ περιγέγονε σωτηρία· εἰ οὖν ἀναμφιβόλως δειχθεῖεν ὀρθόδοξοι, τῆς κοινωνίας τούτοις μεταδιδόναι· εἰ δ' οὖν, τὰ πρὸς τὴν χρείαν ἐπιχορηγοῦντες ἐκπέμπειν, ἵνα μὴ φειδωλίας γραφὴν ἑαυτοῖς προστριψώμεθα.

Ὡς ἐν βραχεῖ δὲ ῥητέον περὶ τῶν διδομένων ἐπιστολῶν πρὸς τῶν ἐπισκόπων τοῖς τῶν οἰκείων ἀποδημοῦσι πόλεων ἢ χωρῶν, ὧν αἱ μὲν λέγονται συστατικαὶ, αἱ δὲ ἀπολυτικαὶ, αἱ δὲ εἰρηνικαί.

Περὶ συστατικῶν.

Καὶ συστατικαὶ μέν εἰσιν αἱ κληρικοῖς διδόμεναι παρὰ τῶν αὐτοὺς 2) χειροτονησάντων ἐπισκόπων, πρὸς ἑτέραν μεθισταμένοις, καὶ συνιστᾶσαι, ἤτοι δηλοποιοῦσαι, ἢ τὸν περὶ τὴν ἱερωσύνην βαθμὸν τουτωνὶ, ἢ καὶ ὡς τὰ τῆς ὑγιοῦς πρεσβεύουσι πίστεως, ἢ κατηγορίας κατ' αὐτῶν κινηθείσης, ἢ καὶ συκοφαντίας, καὶ τηνάλλως 3) ἀπελεγχθείσης εἰρῆσθαι, τὸ ἀνεπίληπτον τοῖς ἐπιφερομένοις προσμαρτυροῦσαι, ὡς ἀθῷοι πεφήνασι· δίδονται δὲ καὶ λαϊκοῖς ὑποβληθεῖσιν ἀφορισμῷ, καὶ πρὸς ἀλλοδαπὴν ἀπάραι τούτους δεῆσαν, συνιστᾶσαι τῷ ταύτης ἐπισκόπῳ, ὡς τοῦ δεσμοῦ τῶν ἐπιτιμίων ἤδη λέλυνται.

Περὶ ἀπολυτικῶν.

Ἀπολυτικαὶ δὲ αἱ δηλοῦσαι κατὰ γνώμην τοῦ ἀρχιερέως ἐφεῖσθαι τῷ ἐπισκόπῳ ἢ τῷ κληρικῷ τὴν μετοίκησιν, καὶ συγχωροῦντος, κἀκεῖ τὰ τῆς ἱερωσύνης ἀνεμποδίστως αὐτοὺς μετιέναι.

Περὶ εἰρηνικῶν.

Εἰρηνικαὶ δὲ ῥηθεῖεν μὲν καὶ αὗται, περὶ ὧν ἄρτι διέξιμεν, ὅτι τοιάσδε γραφὰς τοῦ κληρικοῦ διακομίζοντος πρὸς ὃν ἄπεισιν, οὐκ ἂν εἴη ῥαγῆναι τὰ συνδέοντα πρὸς εἰρήνην τῆς θείας ἀγάπης δεσμὰ καὶ ἄμφω τοὺς ἐπισκόπους· οὔτε γὰρ ὁ τὸν ἀλλότριον ταύτῃ δεχόμενος κληρικὸν, τὸν συνεπίσκοπον λυπήσας

1) εἶναι 1375. — πολλὰ κατὰ συναρπαγὴν γίνεται Γ. — 2) ἐκείνους 1375. — 3) μάτην, ε.

σκανδάλου γενήσεται πρόξενος, οὔτε ὁ τὴν ἀρχὴν τοῦτον χειροτονήσας, ὡς ἀναξιοπαθήσας δυσχερανεῖ· λέγοιντο δ' ἂν εἰρηνικαὶ καὶ αἱ πρὸς τοὺς συνεπισκόπους ἰδίᾳ πεμπόμεναι, μηδὲν ἔχοντος τοῦ διακομίζοντος αἴτιον. Δεῖ οὖν, τὸν ἀποδημεῖν ἑλόμενον κληρικὸν, διττὰς ἐπιφέρειν ἐπιστολὰς, συστατικήν τε καὶ ἀπολυτικὴν, ὡς ἂν τῇ μὲν εἰς σύστασιν χρήσηται, τοῦτε περὶ τὴν ὀρθὴν πίστιν ὑγιοῦς αὐτοῦ φρονήματος, καὶ τοῦ περὶ τὸν βίον ἀνεπιλήπτου, ἔτι τε τοῦ προσόντος αὐτῷ ἱερατικοῦ βαθμοῦ· τῇ δὲ, εἰς τὸ ἀνεμποδίστως καὶ ἐφ' ἑτέρας Ἐκκλησίας ἐξεῖναι ἱερουργεῖν, ἢ καὶ τῷ κλήρῳ ταύτης συγκαταλεγῆναι.

Ἀποστόλων ιϐ', ιγ', ιέ, ις'.

Ὁ δέ γε ιϐ'. ἔτι δὲ καὶ ιγ'. τῶν αὐτῶν ἁγίων Ἀποστόλων, ὃν ὁ ἴδιος ἐπίσκοπος χειροτονῆσαι οὐκ ἀξιοῖ κληρικὸν, τοῦτο ἴσως δι' αἰτίας τινὰς ὑπερτιθέμενος, μέχρις ἂν διαλυθῶσι, μηδαμῶς ἑτέρῳ προσιέναι διὰ ταῦτα τὸν κληρικὸν ἐπισκόπῳ κελεύουσιν 1)· οὐ μὴν 2) οὐδ' ἐκείνῳ τὸν ἀλλότριον ἐφιᾶσι κληρικὸν ὑποδέχεσθαι, συστατικῶν ἄνευ γραμμάτων τοῦ παρ' ᾧ ἐξητάζετο ἐπισκόπου· τοὺς δὲ παρὰ ταῦτα πρᾶξαι τολμήσαντας, τῇ μιᾷ τοῦ ἀφορισμοῦ καταδίκῃ καὶ ἀμφοτέρους ὑπάγεσθαι, τόν τε κληρικὸν, φημὶ, καὶ τὸν προσδεξάμενον ἐπίσκοπον· εἰ δὲ κεχειροτονημένος μὲν εἴη ὃν προσεδέξατο κληρικὸν ὁ ἐπίσκοπος, ἀφωρισμένος δὲ ἐπί τινι πταίσματι, αὐτῷ μὲν ἐπιτείνεσθαι τὸν ἀφορισμὸν, τόν γε μὴν προσδεξάμενον ἐπίσκοπον ἀφορίζεσθαι.

Ὁ δὲ ιέ. πρὸς δὲ καὶ ὁ ις', τῆς λειτουργίας ἀπείργουσι τὸν ἀπὸ παροικίας εἰς ἑτέραν παροικίαν μεταβαίνοντα κληρικὸν, γνώμης ἄνευ τοῦ κεχειροτονηκότος αὐτὸν ἐπισκόπου, καὶ μάλιστα, εἰ καλούμενος πρὸς αὐτοῦ οὐκ ἐπάνεισι· κοινωνεῖν μέντοι τοῖς ἐκεῖ ὥς γε δὴ λαϊκὸν, οὐ κωλύουσιν· ὁ δὲ προσδεξάμενος αὐτὸν ἐπίσκοπος, εἰ τὰ κατ' αὐτὸν μὴ ἀγνοήσας τῷ οἰκείῳ κλήρῳ συναριθμήσειε, καὶ ἀδεῶς ἐνεργεῖν ἐπιτρέψειεν, ἀπολυτικῆς

---

1) ἑτέρῳ μηδαμῶς προσιέναι ἐπισκόπῳ τὸν κληρικὸν διὰ ταῦτα κελεύουσι 1375. — 2) οὐ μὴν ἀλλ' οὐδὲ 1340.

ἄνευ γραφῆς τοῦ οἰκείου 1) ἐπισκόπου, ἀφορισμῷ ὑποβαλλέσθω, φησὶν, ὡς ἀταξίας καὶ ἀκαταστασίας διδάσκαλος, εἰ δὲ καὶ ἐπὶ μείζονα βαθμὸν τοῦτον κεχειροτόνηκεν, ἄκυρον εἶναι τὴν τοιαύτην χειροτονίαν· ὥστε εἰ μὴ ἀπολυτικὴν ἐπιφέροιτο γραφὴν ὁ κληρικὸς, ἱερουργεῖν τούτῳ ἐν ἀλλοδαπῇ οὐκ ἐφεῖται.

Συνόδου πρώτης ις΄.

Τὰ αὐτὰ καὶ ὁ ις΄. τῆς ά. Συνόδου διέξεισιν.

Ἀντιοχείας γ΄.

Ὡς δὲ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ γ΄. πλὴν ἐπὶ πολὺ ἐπιμένοντα τῇ ἀπειθείᾳ τὸν κληρικὸν τελέως καθαιρεῖσθαι προστάττει, καὶ ἐλπίδα μηκέτι ἔχειν ἀποκαταστάσεως.

Συνόδου τετάρτης ιγ΄, καὶ Ἀντιοχείας ζ΄.

Ἀλλὰ καὶ ὁ ιγ΄. τῆς δ΄. Συνόδου, καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ζ΄. ξένους κληρικοὺς καὶ ἀγνώστους, κελεύουσι μὴ λειτουργεῖν συστατικῶν ἄνευ τοῦ οἰκείου ἐπισκόπου.

Συνόδου ἕκτης ιζ΄.

Ὁ δὲ τῆς ἕκτης ιζ΄. μιᾷ ὑπάγει τῇ καταδίκῃ τῆς καθαιρέσεως τὸν ἐπισκόπῳ τε προσελθόντα, καὶ αὐτὸν τὸν προσδεξάμενον συστατικῶν ἄνευ καὶ ἀπολυτικῶν γραμμάτων, ὡς καταισχύνοντας, ὅσον τὸ ἐπ' αὐτοῖς, τὸν παρ' οὗ τὴν χειροτονίαν ἐδέξαντο.

Λαοδικείας μά, μζ΄.

Ἀλλ' οὐδὲ ὁ μά. τῆς ἐν Λαοδικείᾳ, ἔτι 2) δὲ καὶ ὁ μζ΄, κληρικὸν ἢ ἱερατικὸν ὅλως ὁδεύειν οὐκ οἴεται δεῖν δίχα κελεύσεως τοῦ ἰδίου ἐπισκόπου, ἢ κανονικῶν τούτου ἐπιστολῶν.

Καρθαγένης ρς΄. νθ΄.

Ὁ δὲ ρς΄. τῆς ἐν Καρθαγένῃ, μετὰ ἀπολυτικῆς γραφῆς τοῦ μητροπολίτου ἀπιέναι θεσπίζει τοὺς ἐπισκόπους εἰς τὸ κομητάτον, ἤγουν ἔνθα ἐστὶν ὁ κόμης, ἤτοι ὁ βασιλεύς.

Ὁ δὲ νθ΄, οὐδὲ πλεῖν κελεύει ἄνευ ταύτης τῶν ἐπισκόπων τινά.

---

1) ἰδίου B. ε. — 2) οὔτε δὲ . . . ὅλως ὁδεύειν οἴεται. B.

Ἀντιοχείας ἡ.

Ὁ δὲ τῆς ἐν Ἀντιοχείᾳ ἡ, κανονικὰς ἐπιστολὰς, ἤτοι συστατικὰς καὶ ἀπολυτικὰς ἐπισκόποις μόνοις ἐφεῖται διδόναι, οἷς καὶ ἡ τῶν χειροτονιῶν ἀφώρισται τελετή· οὐ μὴν καὶ τοῖς πρώτοις τῶν ἱερέων, διὰ τὸ μὴ ἐξεῖναι καὶ τούτοις χειρονεῖν· τοῖς δέ γε χωρεπισκόποις, ἢν ἀνεπίληπτοι ὦσιν, εἰρηνικὰς πέμπειν ἐφεῖται, τοῖς ὁμόροις 1) τῶν ἐπισκόπων· ἐπεὶ καὶ ἄλλοις 2) προνομίοις τούτους οἱ κανόνες ἐδωρήσαντο.

Συνόδου τετάρτης ιά.

Ὁ δὲ τῆς τετάρτης Συνόδου ιά, Τοῖς προσερχομένοις τῇ Ἐκκλησίᾳ, φησὶ, πένησι, καὶ βοηθείας προσδεομένοις, εἰρηνικὰς ἐπιστολὰς δίδοσθαι δεῖ, ἀλλὰ μὴ συστατικάς· ταύτας γὰρ τοῖς οὖσιν ἐν ὑπολήψει μόνῃ προσώποις προσήκει δίδοσθαι, ὡς τὴν αὐτῶν συνιστώσας ὑπόληψιν· τοὺς δὲ ἱερουργεῖν βουλομένους κἂν τῇ ἀλλοδαπῇ, σὺν ταύταις καὶ συστατικὰς δεῖ κομίζεσθαι.

Συνόδου τετάρτης έ. Σαρδικῆς ις'.

Ὁ δὲ έ. τῆς αὐτῆς τετάρτης Συνόδου, καὶ ὁ τῆς ἐν Σαρδικῇ ις'. περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων ἢ κληρικῶν, ὁ μὲν τοὺς περὶ τούτων τεθέντας τῶν ἁγίων Ἀποστόλων κανόνας θεσπίζει κρατεῖν· ὁ δὲ, περὶ τῶν εἰς Θεσσαλονίκην ἀπιόντων, κἀκεῖ διατριβόντων ἐπιπολὺ, τὰ περὶ αὐτῶν ὡρισμένα τηρεῖσθαι προστάττει.

Συνόδου πρώτης ιέ.

Ὁ δὲ τῆς πρώτης ιέ., ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνειν κωλύει τὸν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τῆς αὐτῆς οὖσαν καὶ ταύτην δηλαδὴ ἐπαρχίας· τοῦ μὲν γὰρ, τὴν τῆς καθέδρας αἰτιᾶται μετάθεσιν, ὡς καὶ ἀνωτέρω μοι εἴρηται, τῶν δὲ, τὸ μεταπίπτειν ἀπὸ τῆς Ἐκκλησίας ἢ τῆς μονῆς, ἐν αἷς ὑπηρετεῖν ἐχειροτονήθησαν· καὶ γὰρ οὐδὲ οὗτοι ἀπολελυμένως τῷ τότε τὰς χειροτονίας ἐδέχοντο κατὰ τὸν ς'. κανόνα τῆς τετάρτης Συνόδου, ἀλλ' ἐν τῇ δε τῇ Ἐκκλησίᾳ, ἢ τῷ δεῖνι μοναστηρίῳ· διὸ καὶ ἀκύρως τὴν τοιάνδε μετάβασιν.

1) ὁμοίοις 1340. — 2) ἐνορίοις προνομίοις, Κ.

Σαρδικῆς ιέ.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ιέ, Εἴτις, φησὶν, ἐξ ἑτέρας παροικίας ὑπηρέτην δεξάμενος χωρὶς τῆς τοῦ ἰδίου ἐπισκόπου συγκαταθέσεως, ἔν τινι βαθμῷ τοῦ οἰκείου κλήρου ἐγκαταστήσειεν, ἄκυρος ἔστω καὶ ἀβέβαιος ἡ τοιαύτη κατάστασις.

Καρθαγένης ιγ΄.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ιγ΄, Ὅστις δήποτε ἐν Ἐκκλησίᾳ, εἰ καὶ ἄπαξ ἀνέγνω, φησὶ, χειροθεσίαν εἰς τοῦτο δεξάμενος, εἰς ἑτέραν πρὸς κλήρωσιν μὴ μεταβαινέτω.

Τίσι τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς Ἐκκλησίαις.

Μόνῳ δὲ τῷ ἐπισκόπῳ Καρθαγένης δέδοται, τῷ οἰκείῳ κλήρῳ συγκαταλέγειν κληρικοὺς ἑτέρων ἐνοριῶν, καὶ χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτούς· καὶ τοῦτο εἴση σαφῶς ἐκ τοῦ . νέ. ταύτης κανόνος, ὃς ἐπικυρῶν δείκνυται τὴν ἄνωθεν διδομένην ἄδειαν τῷ Καρχηδόνος ἐπισκόπῳ, ὥστε μετ' ἐξουσίας λαμβάνειν ἀφ' ἑκάστης Ἐκκλησίας οὓς βούλεται κληρικοὺς, καὶ ἐν τῇ ἰδίᾳ χειροτονεῖν Ἐκκλησίᾳ· διὰ δὲ τὸ φιλάδελφον, ὑποτίθεται μετ' εἰδήσεως τοῦτο ποιεῖν τῶν ἐχόντων αὐτοὺς ἐπισκόπων· τοῖς δὲ λοιποῖς μητροπολίταις, κληρικὸν ἀλλότριον οὐκ ἐφίησι δέχεσθαι, καὶ χειροτονεῖν αὐτὸν πρεσβύτερον ἢ διάκονον, εἰ μήπου τις χρήσιμος εἰς προστασίαν εὑρεθείη λαοῦ· τοῦτον γὰρ δέδοται καὶ τῷ ἀλλοτρίῳ μητροπολίτῃ μεταπέμψασθαι, εἴγε βουληθεῖεν ἀμφότεροι, καὶ ἐπισκοπικῷ τιμῆσαι ἀξιώματι· τοῦτο δέ φησι συγχεχώρηται τῷ μὴ τοσοῦτον ἀναγκαίαν εἶναι τὴν τῶν ἱερέων καὶ διακόνων χειροτονίαν, ὅσον τὴν τῶν ἐπισκόπων, καὶ τῷ σπανίως εὑρίσκεσθαι τοὺς δυναμένους ἔργῳ καὶ λόγῳ δι' ἑαυτῶν πρὸς τὰ κράτιστα τοὺς λαοὺς ὁδηγεῖν· τὸν δὲ μὴ δεχόμενον κληρικὸν τὸ τῆς ἐπισκοπῆς ἀξίωμα, ἀναγκάζειν οὐ θέμις· οὐδαμοῦ γὰρ εὕρηται ἄκοντά τινα καὶ βίᾳ εἰς τὴν τοιάν δε προεδρίαν ἀνάγειν. Ἐφιλοτιμήθη δὲ καὶ τῷ Κωνσταντινουπόλεως θρόνῳ, λαμβάνειν ὁθενδήποτε τῶν ὑποκειμένων αὐτῇ Ἐκκλησιῶν οὓς βούλεται κληρικοὺς, καὶ τοῖς

οἰκείοις συναριθμεῖν· οὐ μὴν ἀλλὰ καὶ τῷ Βουλγαρίας, καὶ τῇ Κύπρου, διὰ τὴν ρλ΄. Ἰουστινιάνειον Νεαρὰν, ἣν καὶ ζήτει ἐν τῷ ιά. κεφαλαίῳ τοῦ Ε στοιχείου. Ἐδόθη δὲ καὶ τῷ βασιλεῖ τὰς τῶν κληρικῶν ὡσαύτως μεταθέσεις ποιεῖν.

Νόμοι πολιτικοί.

Τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν Ἐκκλησίας, καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι, ἀπαγορεύομεν· εἰ δὲ ἀνάγκη τις ἀπαιτεῖ τοῦτο ποιῆσαι, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν Πατριάρχου ἢ μητροπολίτου, ἢ κατὰ βασιλικὴν δήπου κέλευσιν τοῦτο ποιείτωσαν. Ἀλλὰ μηδὲ εἰς τὴν βασιλίδα τῶν πόλεων ἄλλως ἢ οὕτως ἐπιδημείτωσαν. Ἀλλ' εἰ καὶ κατὰ τὸν τρόπον τοῦτον ἐπίσκοπος οἱοσδήποτε ἀποδημήσειε, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμπανέτω Ἐκκλησίαν. Τοὺς δὲ ἐπισκόπους, τοὺς κατὰ τὴν βασιλίδα πόλιν, ὡς εἴρηται, παραγινομένους, κἂν οἱασδήποτε διοικήσεως ὦσι, πρὸ πάντων ἀπιέναι δεῖ πρὸς τὸν μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ Πατριάρχην, καὶ οὕτω δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. Τοῖς δὲ παρὰ ταύτην ἡμῶν τὴν διατύπωσιν ἀποδημοῦσιν, ἢ ὑπὲρ τὸν ὡρισμένον τοῦ ἐνιαυτοῦ χρόνον ἔξω τῆς ἰδίας Ἐκκλησίας ποιοῦσι, κελεύομεν πρῶτον μὲν μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων τῆς ἰδίας Ἐκκλησίας δαπάνας, ἔπειτα ὑπομιμνήσκεσθαι αὐτοὺς διὰ γραμμάτων τῶν ἀρχιερέων, ὑφ' οὓς τελοῦσιν, ὥστε ἐπανελθεῖν εἰς τὰς ἰδίας Ἐκκλησίας· ὑπερτιθεμένους δὲ τὴν ὑποστροφὴν, κατὰ τοὺς ἱεροὺς καλεῖσθαι καὶ αὖθις κανόνας· καὶ εἰ μὴ ἐντὸς τοῦ ὡρισμένου χρόνου ὑποστρέψουσιν εἰς τὰς ἰδίας Ἐκκλησίας, αὐτοὺς μὲν τῆς ἐπισκοπῆς ἐξωθεῖσθαι, γνώμῃ καὶ κρίσει καὶ δοκιμασίᾳ τοῦ οἰκείου ἀρχιερέως· ἑτέρους δ' ἀντ' αὐτῶν καλλίονας χειροτονεῖσθαι κατὰ τὴν τοῦ παρόντος νόμου δύναμιν· ταῦτα δὲ καὶ ἐπὶ κληρικῶν οἱασδηποτοῦν ὑπηρεσίας, ἔτι δὲ καὶ μοναχῶν, κελεύομεν κρατεῖν· τοὺς δὲ παραβαίνοντας, ἐκπίπτειν τοῦ οἰκείου 1) σχήματος 2).

Ἀλλὰ καὶ ἄμφω ταῦτα ὁρῶμεν τανῦν ἀθετούμενα· οὔτε γὰρ

1) ἰδίου B. — 2) κεφ. θ΄. Νεαρᾶς ἰουστ. ρκγ΄.

οἱ ἀρχιερεῖς διὰ γραμμάτων τοῦ Πατριάρχου εἰς τὴν βασιλεύουσαν ἐπιδημοῦσιν, ἀλλ' αὐθόρμητοι παραγενόμενοι, καὶ ταῖς πύλαις ταύτης προσιόντες, μηνύματι τὴν σφετέραν ἔλευσιν τῷ Πατριάρχῃ δηλοῦσι, καὶ οὕτως ἀκινδύνως τῆς μεγάλης ἐπιβαίνουσι πόλεως· καὶ ἐπὶ πολὺν δὲ χρόνον ἐν αὐτῇ διατρίβοντες οὐδεμίαν ὑφίστανται κάκωσιν· καίτοι γε καὶ τοῦ ἀοιδίμου βασιλέως Μανουὴλ πρὸ ὀλίγου θεσπίσαντος μὴ πλείονα τοῦ παρὰ τῶν φιλευσεβῶν νόμων καὶ τῶν θείων κανόνων ὁρισθέντος καιροῦ διατρίβειν τοὺς ἀρχιερεῖς ἐν τῇ μεγίστῃ τῶν πόλεων, μή τινος ὄντος ἀπαραιτήτου ἐμποδισμοῦ, ἢ καὶ ἄκοντας τῆς πόλεως ἐκβάλλεσθαι· ἀλλὰ καὶ τὴν εἰς ταύτην τούτων ἐπιδημίαν, κατὰ τὴν ἐκ παλαιοῦ κανονικῶς καὶ νομίμως κρατήσασαν συνήθειαν γίνεσθαι 1).

Θεσπίζομεν καὶ τοὺς κληρικοὺς, τοὺς ἑτέρᾳ ἐνορίᾳ τεταγμένους, μηδαμῶς παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου εἰς ἑτέραν ἐνορίαν μεταπίπτοντας, ἢ ἐν Ἐκκλησίᾳ καταλέγεσθαι, ἢ χειροτονίαν δέχεσθαι· ἐκ γὰρ τοῦ μὴ τὰ τοιαῦτα 2) παρατηρεῖσθαι, πολλῆς ἀταξίας καὶ πλάνης πολλαὶ τῶν Ἐκκλησιῶν ἐπληρώθησαν· εἰ δέ τις φωραθείη τὴν παροῦσαν διάταξιν ἀθετῶν, εἰ μὲν τὴν οἰκείαν ἐνορίαν ἀπολιπὼν 3) ἐν ἑτέρᾳ καταλεγῇ Ἐκκλησίᾳ, μηδένα βαθμὸν χειροτονίας προσλαβών, τῆς ὑπερορίου Ἐκκλησίας ἐλαυνόμενος, ἐπαναστρεφέσθω καὶ ἄκων πρὸς τὸν οἰκεῖον ἐπίσκοπον· εἰ δὲ καὶ χειροτονίαν προσείληφεν, οὗτος μὲν ἐπὶ τριετίαν τῆς λειτουργίας ἀργείτω· ἐπὶ δὲ τῇ κρίσει τοῦ οἰκείου ἐπισκόπου ἡ ἐπ' αὐτῷ συγγνώμη καταλιμπανέσθω 4).

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ ἀπολυτικῶν γραμμάτων.

Περὶ τῶν διδομένων παρὰ τῶν ἀρχιερέων ἀπολυτικῶν γραμμάτων τοῖς ἀποδημοῦσι τῶν κληρικῶν, ἱκανῶς ἐν τῷ προσεχῶς ἐκτεθέντι περὶ ἀποδημίας διείληπται κεφαλαίῳ.

---

1) Βαλσαμ. εἰς Νομοκάν. τ. ἡ. κεφ. 6΄. — 2) τοῦ τοιαῦτα μὴ Γ. — 3) καταλιπὼν Γ. — 4) Ἀρμ. τίτλ. διάφοροι Δ. ιή.

ΚΑΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ τῶν ἁρπαζόντων ἐπισκόπων τὰς μὴ ἀνηκούσας αὐτοῖς Ἐκκλησίας.

Οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν πεποιημένων ἐπισκόπων ἅρπαγμα τὰς μηδοτιοῦν διαφερούσας αὐτοῖς Ἐκκλησίας, ἐν τῷ αὐτῷ τῷ περὶ ἀποδημίας φημὶ ἐγκατέσπαρται κεφαλαίῳ, καὶ παλιλλογεῖν ἔξω λόγου καθέστηκε.

Καρθαγένης νγ΄.

Λέγει δὲ καὶ ὁ νγ΄. κανὼν τῆς ἐν Καρθαγένῃ Συνόδου· Εἰσί τινες τοῖς οἰκείοις θαῤῥοῦντες 1) πλήθεσι, κνήθουσι τὰς αὐτῶν ἀκοὰς, ἤτοι κολακεύουσι 2), καὶ ἑτέρων Ἐκκλησίας ἁρπάζοντες· ἀλλὰ ταύτας χρὴ μετ' ἐξουσίας τῶν τὰ πρῶτα φερόντων ἀρχιερέων, Πατριαρχῶν, ἢ μητροπολιτῶν, ἐξ αὐτῶν ἀφελέσθαι τοὺς ἔχοντας· τὸ δὲ κνήθειν τὰς ἀκοὰς, ἐκ τοῦ Ἀποστόλου εἴληπται· δηλοῖ δὲ, τὸ λόγοις ἀπατηλοῖς τὰς ἀκοάς τινων ἡδύνειν, ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων· ταῦτα γὰρ καταψώμενα, καὶ κνηθόμενα, καὶ γαργαλιζόμενα χερσὶν ἀνθρώπων, ἡμεροῦνται καὶ χειρόηθη γίνονται 3).

Ζήτει καὶ ἐν τῷ κδ΄. κεφ. τοῦ Χ στοιχείου κανόνα ταύτης ν΄.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ τῶν ἁρπαζόντων ληστρικῶς τὰ ἀλλότρια.

Γρηγορίου τοῦ θαυματουργοῦ γ΄. ι΄.

Ὁ ἅγιος Γρηγόριος ὁ θαυματουργὸς, ἐν τῷ γ΄. κανόνι, τὸν ληστεύοντα καὶ πλεονεκτοῦντα, καὶ τῶν ἀλλοτρίων αἰσχροῦ κέρδους χάριν ἐφαπτόμενον, ἐκκήρυκτον καὶ ἀπόβλητον τῆς τοῦ Θεοῦ Ἐκκλησίας καθίστησιν, οἷα καὶ τοὺς δι' αἰτίας ἀτόπους τῆς πατρικῆς οὐσίας ἐκβαλλομένους καὶ ἀποκηρυσσομένους υἱούς·

1) συμπνέοντες Β. — 2) κνήθοντες . . . κολακεύοντες. Β.—3) ἡμεροῦται. . . γίνεται Γ.

τὸ δὲ τολμῆσαί τινας, φησὶν, ἐν οἰμωγῇ τοσαύτῃ καὶ θρήνοις τοσούτοις, τῶν βαρβάρων τὰ πάντα ληϊζομένων, τὸν ἐπ᾽ ὀλέθρῳ πάντων ἐπιόντα καιρὸν, κέρδους εἶναι νομίσαι καιρὸν, ἀνθρώπων ἐστὶν ἀσεβῶν καὶ θεοστυγῶν, καὶ μηδεμίαν ἀτοπίας καταλελοιπότων ὑπερβολήν· ὅθεν ἔδοξε τοὺς τοιούτους ἅπαντας ἐκκηρύξαι, μήποτε ἐφ᾽ ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ, καὶ ἐπ᾽ αὐτοὺς πρώτους τοὺς προεστῶτας, τῷ μὴ σπουδῇ τούτους ἐπιζητῆσαι καὶ διορθώσασθαι· οἱ γὰρ ἐφιέμενοι τὰ τῶν αἰχμαλώτων κερδαίνειν, ὀργὴν καὶ ἑαυτοῖς καὶ παντὶ ἐπισωρεύουσι τῷ λαῷ· ἐξαίρων δὲ ταυτηνὶ τὴν πλεονεξίαν, πολλῷ χείρονα καὶ τῆς τοῦ Ἄχαρ εἶναι κατασκευάζει· καὶ γὰρ οὗτος, φησὶν, ἀπὸ τοῦ ἀναθέματος μόνος καὶ ἰδίᾳ λαβὼν, ἐπὶ πάντα τὸν Ἰσραὴλ τὴν ὀργὴν ἤγαγε τοῦ Θεοῦ· ταύτῃ τοι, καὶ οὐκ ἐκεῖνος μόνος, ἀλλὰ καὶ οἱ αὐτοῦ πάντες καταλευσθέντες ἀπέθανον· εἰ γὰρ ἐκ προνομῆς καὶ οὗτοι κἀκεῖνος ὑφείλοντο, ἀλλ᾽ ἐκεῖνος μὲν, τὰ τῶν πολεμίων, οὗτοι δὲ, τὰ τῶν ἀδελφῶν· οὕτω χαλεπωτέρα ἡ τούτων παρανομία, ἥπερ ἡ ἐκείνου· λανθάνει δέ τις ἑαυτὸν ἀπατῶν, ὡς ἄρα ἐῤῥιμμένοις λέγων περιτύχοι, καὶ μή τινος ἀντιποιουμένου ἀνέλοιτο, τὸν κεκτημένον ἴσως ἠγνοηκώς· οὐ γὰρ ἔξεστι καὶ οὕτως εὑρόντι κερδάναι καὶ οἰκειώσασθαι τὸ ἀλλότριον, ἀλλὰ περιφυλάξαι 1) τῷ κεκτημένῳ· εἰ γὰρ ὁ παλαιὸς κελεύει νόμος, ὅτι ἂν ὁ ἀδελφός σου ἢ ὁ ἐχθρός σου ἐκ ῥᾳθυμίας ἀπολέσῃ τὸ ἴδιον, καὶ ταῦτα ἐν καιρῷ 2) εἰρήνης, οὐ καθέξεις, ἀλλ᾽ ἐπαναστρέψεις τῷ ἀπολέσαντι, πόσῳ μᾶλλον τοῦ φεύγοντος ἀδελφοῦ, ἢ τοῦ γεγονότος 3) αἰχμαλώτου δέον περιφυλάξαι τὰ ἐγκαταλειφθέντα πράγματα, καὶ ἀποδοῦναι οἱ δυσπραγοῦντι; Πολλῆς μέν τ᾽ ἂν εἴη καὶ τοῦτο ἀνοίας, τὸ μεταποιεῖσθαι τῶν ἀλλοτρίων ἀντὶ τῶν ἰδίων τῶν ἀπωλομένων, καὶ οἴεσθαι μηδὲν εἶναι δεινὸν, καί τοι μηδὲν εἰς κακίας λόγον τῶν εἰρημένων ἀπολειπόμενον· ὅπερ γὰρ αὐτοῖς γεγόνασιν οἱ πολέμιοι, τοῦτο τοῖς ἀδελφοῖς οὗτοι γενέσθαι σπουδάζουσιν. Ἀπήγγειλε δέ τις ἡμῖν, ὡς καί τινας τῶν πολεμίων τὰς χεῖρας διαφυγόντας, βίᾳ τινὲς κατέχουσιν

1) προφυλάξαι B. — 2) εἰς καιρὸν Γ. — 3) ἄνευ τοῦ γεγονότος Γ.

ἄπιστοι πάντως ὄντες καὶ ἀσεβεῖς, καὶ Θεὸν ὅλως μὴ ἐπεγνωκότες· πέμψατέ τινας εἰς τὴν χώραν ἐρευνῆσαι τὰ περὶ τούτου, μὴ σκηπτοὶ κατενεχθῶσιν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

Ἐν τῷ ί. δὲ κανόνι, ὁ αὐτὸς μέγας Γρηγόριος, τοὺς ἀλλοτρίοις οἴκοις ἐπιέναι τολμήσαντας, εἰ μὲν κατηγορηθέντες ἐλεγχθεῖεν, οὐδὲ τῆς ἀκροάσεως ἀξιοῖ· ἑαυτοὺς δὲ ὁμολογήσαντας ἑκοντὶ, καὶ ἅπερ ἀφείλοντο ἀποτίσαντας, ὑποπίπτειν κελεύει, καὶ τοῖς κατηχουμένοις συνεξέρχεσθαι.

Νόμοι.

Ὁ δὲ νόμος, τὸν ἀπὸ ἐμπρησμοῦ ἁρπάζοντα, ἢ ναυαγίου, ἢ καταπεσούσης οἰκίας, εἴσω μὲν ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν ἀποδοῦναι καταδικάζει 1), μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν· ὡσαύτως καὶ τὸν κατὰ δόλον ταῦτα ὑποδεχόμενον. Τοὺς δὲ ἅρπαγας, καὶ πρὸ καταδίκης προσάγοντας τὸ ὑπ' αὐτῶν ἁρπαγὲν, οὐ προσίεται, ἀλλ' εἰς τὸ τετραπλάσιον καταδικάζει 2).

Ἐάν τις βιαίως ἁρπάσῃ κινητὰ πράγματα, ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἐνέχεται, ἐὰν μαρτυρηθῇ ἡ ποσότης καὶ τὸ εἶδος τῶν πραγμάτων, μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν. Ἐὰν δὲ ἡ βιαία ἁρπαγὴ δείκνυται, τὰ δὲ ἁρπαγέντα ἀγνοοῦσιν οἱ μάρτυρες, ἐπόμνυται ὁ τὴν βιαίαν ἀφαίρεσιν ὑποστὰς, καὶ ἀπολαμβάνει ἀπὸ τοῦ ἅρπαγος ὅσα ἐπομόσεται διαρπαγῆναι, εἰς τὸ ἁπλοῦν 3).

Ἐάν τις χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί τι πρᾶγμα, εἰ μὲν δεσπότης ἐστὶ τοῦ πράγματος, ἐκπίπτει τῆς δεσποτείας αὐτοῦ· εἰ δὲ ἀλλότριόν ἐστι τὸ πρᾶγμα, καὶ τὴν τιμὴν αὐτοῦ δίδωσι. Κἀνταῦθα τοίνυν, ἔσωθεν τοῦ ἐνιαυτοῦ κινουμένης τῆς ἀγωγῆς, δίδοται ἡ ποινὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν, τὸ πρᾶγμα μόνον καὶ οἱ καρποί 4).

Ὁ ἁρπάζων γῆν, ἢ μετατιθεὶς ὅρια, διπλῆν τὴν ἁρπαγὴν ἀποδίδωσιν 5).

Οἱ μεθ' ὅπλων ἐπιόντες, καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγροὺς, εἰς κεφαλὴν τιμωροῦνται 6).

---

1) ἀποδοῦναι καταδικάζει, οὐ κεῖται παρὰ Β.—2) ά. Βασ. Ξ. κ'. —3) τιδ'. Βασ. Ξ. ιζ'.—4) νέ. Βασ. Ν. γ'.—5) Πρόχ. Ν. λθ'. μή.—6) γ'. Βασ. Ξ. 18.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Περὶ τῶν ἁρπαζόντων ἐπὶ γάμῳ γυναῖκας.

Ἀγκύρας ιά.

Ὁ ιά. κανὼν τῆς ἐν Ἀγκύρᾳ Συνόδου, Τὰς μνηστευθείσας κόρας τισὶν, εἶθ' ὑπ' ἄλλων ἁρπαγείσας, εἰ καὶ παρανόμως αὐτὰς ἐβιάσαντο, κελεύει τοῖς μνηστευσαμένοις αὖθις ἀποκαθίστασθαι, εἴγε αἱροῖντο δηλονότι ταύτας λαβεῖν· ἄκοντες γὰρ οὐκ ἀναγκασθήσονται.

Βασιλείου κδ'.

Ὁ δὲ τοῦ μεγάλου Βασιλείου κδ', Οὐ χρὴ, φησὶν, εἰς μετάνοιαν προσίεσθαι τὸν ἐξ ἁρπαγῆς εἰληφότα γυναῖκα, πρὶν ἂν ταύτης ἀφαιρεθῇ· καὶ εἰ μὲν ἦν προμνηστευθεῖσά τινι, ἐκείνῳ εἰς ἐξουσίαν ἀποκαθίστασθαι, εἴγε βουληθείη ταύτην λαβεῖν· εἰ δὲ μήπω τινὶ προμεμνήστευτο, πρὸς τοὺς γονέας ἐπανιέναι, ἢ καὶ ἄλλως καθ' αἱμά ταύτῃ προσήκοντας· κἂν μὲν ἕλωνται οὗτοι, συναινούσης κἀκείνης, τὴν κηδείαν 1) τοῦ ἅρπαγος, τὸ συνοικέσιον ἵστασθαι· εἰ δ' οὖν, μὴ βιάζεσθαι. Ὁ μέντοι συμφθαρεὶς γυναικὶ, εἴτ' οὖν λαθραίως ἑκούσῃ, εἴτ' οὖν βιασάμενος, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ὑποβαλλέσθω· καὶ ἐν τέσσαρσι χρόνοις, τοὺς τέσσαρας τόπους 2) διερχέσθω τῆς μετανοίας, ἐνὶ μὲν ἔξω τῆς θύρας τοῦ νεὼ προσκλαίων, ἐνὶ δ' ἀκροώμενος, ἑτέρῳ δ' εἰς μετάνοιαν ὑποπίπτων, τῷ δὲ τετάρτῳ, τοῖς μὲν πιστοῖς συνιστάμενος, τῶν δὲ θείων ἀπεχόμενος μυστηρίων· ἐξήκοντος δὲ καὶ τούτου, τηνικαῦτα τοῦ τελείου τυγχανέτω.

Ὁ δὲ λ', Τοὺς ἁρπάζοντας γυναῖκας, καὶ τοὺς συνεργοῦντας 3) αὐτοῖς, ἐπὶ τριετίαν πόῤῥω μὲν τῶν εὐχῶν, μετὰ δὲ τῶν ἀκροωμένων ἵστασθαι κατεδίκασεν· εἰ μέντοι ἑκοῦσα, φησὶν, ἐπιδέδωκεν ἑαυτὴν ἡ γυνὴ, μήτε φθορᾶς προηγησαμένης, ἥτις ἐπὶ τῶν παρθένων κυρίως λέγεται, μήτε μὴν κλοπῆς, λαθραίας οἱονεὶ μίξεως, ἀνεύθυνος ὁ ταύτην λαβὼν τῶν ἐκ τοῦ κανόνος ἐπιτιμίων, οἷα μὴ βίας μεσολαβούσης· καὶ μάλιστα, εἰ αὐτεξου-

---

1) τὴν μνηστείαν, ἀντὶ κηδείαν, Κ.— 2) οὕτω 1375 καὶ Γ. — παρὰ δὲ Β. 1340, ε. καὶ Κ χρόνους, — 3) συνιόντας Γ.

σία ἐτύγχανεν οὖσα, χήρα δηλαδὴ, καὶ ἐπ' αὐτῇ ἦν τὸ ἀκολουθῆσαι, ἢ μή· τῶν γὰρ σχημάτων ἡμῖν, φησὶν, οὐ φροντιστέον, τοῦ πλάσματος δηλαδὴ, καὶ τῆς ὑποκρίσεως· αἰδουμένη γὰρ ἔσθ' ὅτε ἡ γυνὴ ἑαυτὴν ἐπιδοῦναι τῷ ἐραστῇ ἢ τῷ ἐρωμένῳ, ἐσχημάτισατο μὲν ἁρπαγῆναι, πρὸς δὲ ἀλήθειαν, ἑκοῦσα ἐπηκολούθησεν· εἰ τοίνυν κατὰ προσποίησιν ἡ ἁρπαγὴ γέγονεν, οὔτε τὰ ἐπιτίμια χώραν ἔξουσιν, οὔτε οἱ κατὰ ἁρπακτῶν κείμενοι νόμοι· μόνῃ δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ ἔνοχοι τοῖς πατράσιν οἱ λαβόντες τὰς ὑπεξουσίας ἔσονται· οὗτοι γὰρ καὶ τὸν παρὰ γνώμην αὐτῶν γενόμενον γάμον διασπῶσι.

Συνόδου τετάρτης κή. καὶ ἕκτης ϙϛ'.

Ὁ δὲ κή. τῆς τετάρτης Συνόδου, καὶ ὁ τῆς ἕκτης ϙϛ'. οὕτως διορίζονται· Τοὺς ἐπ' ὀνόματι συνοικεσίου γυναῖκας ἁρπάζοντας, ἢ συμπράττοντας, ἢ συναιρομένους, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀναθεματίζεσθαι· ὑπὸ ταῖς αὐταῖς γὰρ εὐθύναις ποιοῦνται καὶ τοὺς ἀρήγειν αὐτοῖς ἑλομένους, καὶ μάλα εἰκότως· ὁ μέν γε τὸν ἔρωτα τῆς ἁρπαγῆς, εἰ καὶ πάνυ σαθρὰν ἀπολογίαν προΐσχεται, πρὸς τὴν ἀθέμιτον ὑποκνίζοντα πρᾶξιν, καὶ τοῦ λογισμοῦ γενόμενον βιαιότερον· τῷ δέ γε συντρέχοντι, τίς ἂν τῶν νοῦν ἐχόντων συγγνοίη, μηδὲν ἕτερον ἢ τὴν οἰκοθεν μοχθηρίαν πρὸς τὴν ἐξάγιστον πρᾶξιν ἔχοντι συνελαύνουσαν, ἢ δὴ, πρὸς τοῖς ἄλλοις ἀτόποις, καὶ τὴν τῆς πολιτείας ἀνάστατον τίθησι κοσμιότητα· συμπράττων δ' ἂν εἴη ὁ πράξει τῇ ἁρπαγῇ συνεργῶν 1)· συναιρόμενος δὲ, ὁ μηχανὰς ὑποτιθέμενος καὶ βουλάς.

Νόμοι.

Οἱ ἁρπάζοντες γυναῖκα ἢ μεμνηστευμένην, ἢ ἀμνήστευτον, ἢ χήραν, εἴτε εὐγενής ἐστιν, εἴτε δούλη, ἢ ἀπελευθέρα, καὶ μάλιστα, εἰ τῷ Θεῷ εἴη καθιερωμένη, καὶ εἰ τὴν ἰδίαν τις μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων, ἤτοι ξιφῶν, ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσατο, ὁ τοιοῦτος ξίφει τιμωρείσθω· οἱ δὲ συν-

1) συμπράττων δ' ἂν εἴη ὁ τῇ πράξει συνεργῶν, καὶ τῇ ἁρπαγῇ συναιρόμενος, ἢ μηχανὰς ὑποτιθέμενος καὶ βουλάς. Γ.

ὑπουργοῦντες αὐτοῖς, ἢ συνειδότες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι σφοδρῶς καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· ἐπειδὴ οἱ ἁρπάσαι προθέμενοι 1), ἕτοιμοι καὶ φονεύειν τοὺς ἀνθισταμένους εἰσί· εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν ἁρπάσας χειροκοπείσθω, οἱ δὲ καθ' οἱονδήτινα τρόπον συνεργήσαντες, τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν, εἴτε βουλομένων τῶν γυναικῶν, εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονε, καὶ μάλιστα, εἰ συνοικούσας τισὶν ἀνδράσιν ἐπειράθησαν ἁρπάσαι· ἀλλὰ καὶ οἱ γονεῖς τῆς γυναικὸς, ἂν μὴ τὴν ἀξίαν παρ' αὐτῶν δίκην πειραθῶσι λαβεῖν, περιοριζέσθωσαν· εἰ δὲ καὶ δοῦλος ἀλοίη συνεργήσας τῇ πράξει, καιέσθω 2).

Οἱ ἁρπάζοντες, ἢ ὑπονοθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν, ἢ μονάστριαν, ἢ διάκονον, ἢ ἄλλο εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, τὸν ἄνωθεν εἰρημένον ἐκ τοῦ νόμου κίνδυνον ὑπομένουσι, καὶ τὰ πράγματα αὐτῶν τῇ Ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης προστίθενται διὰ τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων· αὕτη δὲ μετὰ τῶν ἰδίων πραγμάτων τῷ μοναστηρίῳ ἐμβάλλεται ἀσφαλῶς φυλαχθησομένη· εἰ μέντοι γε διάκονος εἴη, νομίμους ἔχουσα παῖδας, τὸ κατὰ νόμους τῆς περιουσίας αὐτῆς λαμβάνουσιν 3).

Ὁ παρθένον ἢ χήραν ἁρπάσας, οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς, καὶ συγχωροῦντος τὸ ἔγκλημα 4).

Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτὴν, ἀλλ' εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς περιορίζονται.

Ἄλλως δὲ κολάζεται ὁ ἁρπάσας κόρην, καὶ ἄλλως ὁ κατὰ βίαν φθείρας παρθένον· ἡ μὲν γὰρ ἁρπαγὴ, διὰ τὴν ἀναίδειαν τοῦ ἁρπάσαντος, οὐ συγγινώσκεται· ἡ δὲ κατὰ βίαν γενομένη φθορὰ, ἐὰν παρὰ τῆς βιασθείσης καταδέχηται, συγγινώσκεται, καὶ συνοικῆσαι τούτοις δέδοται.

Ἡ ἁρπαγεῖσα κερδαίνει τὰ τοῦ ἅρπαγος πράγματα μὴ θελήσασα συζευχθῆναι νομίμως αὐτῷ· ἐπείτοι γε, εἰ θελήσει τοῦτο, δημεύεται ἥ τε αὐτῆς περιουσία καὶ ἡ τοῦ ἅρπαγος, καὶ ἡ τῶν

1) θηρώμενοι 1375 καὶ Κ.—2) ά. Βασ. ξ'. νή. — 3) μγ'. Νεαρ. Ἰουστ. ρκγ'. — 4) ς'. Βασ. ξ'. νή.

συναιρομένων ἐπὶ τῷ κακῷ, κἄν τε γονεῖς τούτων ὦσι, κἄν τε ἀλλότριοι 1).

Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας· καὶ ὁ ἁρπάσας γεγαμημένην, ἢ παρθένον, ἐσχάτως τιμωρεῖται, καὶ ξένου κατηγοροῦντος, καὶ εἰ ὁ πατὴρ τῆς κόρης παρακληθεὶς συνεχώρησεν 2).

Ἐὰν δοῦλος ἁρπαγὴν παρθένου καταμηνύσῃ, ἐλεύθερος γίνεται, ἢ ἐὰν τὴν ἤδη συγχωρηθεῖσαν ἁρπαγὴν ἀπελέγξῃ 3).

Ὁ δούλην ἀλλοτρίαν, πόρνην οὖσαν 4), ἁρπάζων ἢ κρύπτων, οὔτε ὡς κλέπτης, οὔτε ὡς ἀνδραποδιστὴς ἐνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν τοῦτο πεποίηκε· πλὴν εἰς χρήματα ζημιοῦται παρὰ τοῦ ἄρχοντος, καὶ σωφρονίζεται.

Ἡ δὲ ιζ'. Ἰουστινιάνειος Νεαρὰ ἀπαγορεύει ὅρους ἀσυλίας φυλάττεσθαι τοῖς ἅρπαξι τῶν παρθένων, ἣν καὶ ζήτει ἐν τῷ ιγ'. κεφ. τοῦ Ε στοιχείου.

Ἀλλὰ καὶ ἐν ταῖς ἡμέραις τοῦ Πάσχα, οἱ τῶν παρθένων ἅρπαγες ἐγκλείονται καὶ δεσμοῦνται· καὶ ζήτει ἐν τῷ ζ'. κεφ. τοῦ Π στοιχείου νόμους.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ ἀρρεσομανίας.

Βασιλείου ζ'. καὶ ξβ'.

Ὁ μέγας Βασίλειος, ἐν τῷ ζ'. κανόνι, ἔτι δὲ καὶ τῷ ξϐ', Ὁ τὴν ἀσχημοσύνην, φησὶν, ἐν τοῖς ἄῤῥεσι διαπραξάμενος, καὶ μετανοήσας, εἰς ιέ. ἔτη τοῖς προσήκουσι τῆς μετανοίας ἐπιτιμίοις ὑποβαλλέσθω, καὶ μετὰ τοῦτο τῆς κοινωνίας ἀξιούσθω.

Νύσσης γ'.

Ὁ δὲ Νύσσης Γρηγόριος, ἐν τῷ γ'. κανόνι, εἰς ιή. ἔτη τὴν τούτων ἐπεκτείνει μετάνοιαν.

Ἰωάννου τοῦ Νηστευτοῦ.

Ὁ δὲ Νηστευτὴς Ἰωάννης, Εἰ παιδίον, φησὶν, ὑπό τινος ἀνδρὸς

1) Νεαρὰ ρμγ'. καὶ 6'. ἐ. Βασ. Ξ. νή. — 2) ἐ. Βασ. Ξ. ιή. — 3) γ'. Βασ. μή. ιή. — 4) ἄνευ τοῦ, οὖσαν Γ. — 5) λϑ'. Βασ. Ξ. ιϑ'.

μολυνθείη, εἰ μὲν εἰς τοὺς μηροὺς τὴν ῥοὴν δέξαιτο, προσφόρως ἐπιτιμώμενον, εἰς ἱερωσύνην ἐρχέσθω· εἰ δὲ εἰς ἀφεδρῶνα, μηδόλως ἱερατικοῦ ἀξιούσθω βαθμοῦ· εἰ γὰρ κἀκεῖνο οὐχ ἥμαρτε διὰ τὸ ἀνήλικον, ἀλλ' ὅμως τὸ σκεῦος αὐτοῦ ἐῤῥάγη, καὶ ἱερουργῆσαι αὐτὸν οὐκ ἐνδέχεται· μεμόλυνται γάρ.

Νόμος.

Οἱ ἀσελγεῖς, ὅ,τε ποιῶν καὶ ὁ πάσχων, ξίφει τιμωρείσθωσαν, εἰ μὴ ἄρα ὁ πεπονθὼς ἐλάττων εἴη τῶν ιϐ΄. ἐτῶν· τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας τῆς τοιαύτης αὐτὸν ἀπαλλάττει ποινῆς 1).

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ ἀρχόντων, ὁποίους δει εἶναι τούτους.

Νόμοι.

Δεῖ τὸν ἄρχοντα, τὴν θείαν, ὡς οἷόν τε, φύσιν μιμεῖσθαι, καὶ εἶναι πρὸς ἅπαντα συμπαθῆ, ἀμνησίκακον, ἀνεξίκακον, ἀόργητον, ἀπροσωπόληπτον, ἀδωροδόκητον, καὶ μὴ εὐχερῶς μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι· ἐκ γὰρ τοῦ δουλεύειν τὸν ἄρχοντα τοῖς ἐναντίοις τῶν ἀπηριθμημένων ἀρετῶν πάθεσι, πολλοὶ πολλάκις ἀδίκως κινδυνεύουσι 2).

Τρία χαρακτηρίζει τὸν ἀληθῆ ἄρχοντα, τὸ ταπεινὸν πρὸς τοὺς ἀφιερωμένους Θεῷ, τὸ ἁπλοῦν ἐν ταῖς τραπέζαις, καὶ εὐμετάβλητον 3), καὶ τὸ ἀπροσωπόληπτον ἐν ταῖς κρίσεσι, καὶ ἀδωροδόκητον.

Ὁ ἄρχων εὐέντευκτος ἔστω τοῖς προσιοῦσιν, ἀλλὰ μὴ εὐκαταφρόνητος, καὶ μὴ ἐξίσου ἀναστρεφέσθω 4) τοῖς ἀρχομένοις, καὶ μὴ δηλούτω τῇ ὄψει ἐλεῶν ἢ ὀργιζόμενος· μετὰ φρονήσεως ἕως πρὸς τοὺς συνηγόρους, καὶ μὴ δεχέσθω τοὺς κεκωλυμένους 5).

Ὕπαρχοι δὲ λέγονται οἱ τῶν ἐπαρχιῶν ἐξάρχοντες· ἔπαρχος δὲ, ὁ τῆς Κωνσταντινουπόλεως.

---

1) Ἁρμ. ς΄. Δ. γ΄. — 2) Ἐπιτομ. ΙΔ΄. 6΄. — 3) καὶ εὐμετάβλητον μετὰ τὸ, ἀδωροδόκητον, παρὰ Β. — 4) ἀναστρέφεσθαι ε. — 5) νϐ΄. Βασ. ς΄. ά.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Περὶ τῶν ἐν ἀφέδρῳ γυναικῶν.

Διονυσίου β'.

Ὁ ἅγιος ἱερομάρτυς Ἀλεξανδρείας, ἐν τῷ β'. κανόνι, Τὰς ἐν ἀφέδρῳ οὔσας τῶν γυναικῶν, κελεύει μὴ προσιέναι τῇ θείᾳ τραπέζῃ, μηδὲ τῶν ἀχράντων κοινωνεῖν μυστηρίων· οὐδὲ γὰρ ἡ αἱμορρόουσα ψαῦσαι τοῦ Κυρίου τετόλμηκε, πλὴν τοῦ κρασπέδου τῶν αὐτοῦ ἱματίων· μεμνῆσθαι δὲ τοῦ Δεσπότου, καὶ βοηθείας δεῖσθαι τυχεῖν καθ' ἑαυτὰς, οὕτω διακειμένας, ἀνεπίφθονον· τοῖς δὲ τῶν ἁγίων ἁγίοις, τῷ μὴ πάντῃ καθαρῷ, ἐπισφαλὲς προσιέναι καὶ ἐπικίνδυνον· ἐν ἀφέδρῳ δέ φησιν εἶναι τὰς ὑπὸ τῆς ῥύσεως τῶν ἐμμήνων ἐνοχλουμένας, παρὰ τὸ κεχωρεῖσθαι αὐτὰς τῆς τῶν λοιπῶν ἕδρας, ὡς ἀκαθάρτους· αἱ γὰρ τῶν Ἑβραίων γυναῖκες τοῦτο πάσχουσαι, ἐν ἰδίῳ τόπῳ καθήμεναι ἡσυχάζουσιν, ἕως ἂν ἡμέραι παρέλθωσιν ἑπτὰ, καὶ ἡ τῶν ἐμμήνων παύσηται ῥύσις· ἀλλὰ γὰρ αἱ τοιαῦται τὸ νῦν εἶναι, οὐχ ὅπως τοῦ θυσιαστηρίου, εἰς ὅπερ πάλαι ταύταις ἐφεῖτο εἰσέρχεσθαι, ἀλλὰ καὶ τοῦ νεὼ, καὶ τοῦ πρὸ τοῦ νεὼ τόπου ἐκβάλλονται.

Καὶ ὁ ς'. Τιμοθέου τὰς οὕτως ἐχούσας τῶν γυναικῶν, πρὶν καθαρθῆναι, ἀθέμιτόν, φησι, τῶν θείων κοινωνεῖν μυστηρίων 1).

Νόμοι.

Ἡ δὲ ιζ'. Νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, Ὁρίζομεν, φησὶ, περὶ τῶν τεκουσῶν γυναικῶν, αἳ τῇ φυσικῇ καθαίρεσθαι εἰώθασι ῥύσει, ἑτέρας μὴ ἐπικειμένης αὐταῖς ἐπικινδύνου ἀσθενείας, μέχρι μ'. ἡμερῶν ὑπερτίθεσθαι, τὰς μὲν ἀτελέστους, τὸ φώτισμα, τὰς δὲ μεμυσταγωγημένας, τὴν τῶν θείων μυστηρίων μετάληψιν· νοσήματος δέ τινος αὐταῖς κατασκήψαντος, καὶ τὴν καταστροφὴν ἀπειλοῦντος τοῦ βίου, τὰς μὲν, τοῦ φωτίσματος, τὰς δὲ, τῶν ἁγιασμάτων εὐθὺς ἀξιοῦσθαι.

---

1) καὶ ὁ ς'. Τιμοθέου κτλ. οὐ κεῖται ἐν τοῖς ὑπ' ὄψιν Κώδιξιν, ἀλλὰ παρὰ Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Περὶ ἀφηλίκων.

Νόμος.

Ὁ ἀφήλιξ ἐν τοῖς ἁμαρτήμασιν οὐ βοηθεῖται, οἷον κλοπὴν ἢ ζημίαν ποιήσας, κἂν μηδὲν εἰς αὐτὸν ἐντεῦθεν περιέλθῃ 1). Ζήτει καὶ τὸ δ΄. κεφ. τοῦ παρόντος στοιχ. καὶ τὸ λγ΄. κεφ. τοῦ Ε στοιχείου· ζήτει καὶ ἐν τῷ ή. κεφ. τοῦ Β στοιχείου, καὶ ἐν τῷ δ΄. κεφαλαίῳ τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Περὶ ἀφορισμοῦ.

Ἀλλὰ γὰρ καὶ ταῦτα συντεταχέναι τοῖς φθάσασι, τίς ἂν φήσαιτο μὴ δεῖν, τὸν νοῦν προσέχων τοῖς γιγνομένοις, φημὶ δὴ περὶ τῶν ὅσοις μὲν ὑπῆρξε τῇ χάριτι τῆς ἀληθείας ἀφωρίσθαι Θεῷ, τῇ δέ γε πονηρᾷ σφῶν προαιρέσει πρὸς τὰς φαύλας ἀπερρυηκότας τῶν πράξεων, καρπὸν ἐντεῦθεν ἐσχηκέναι, τὸ ἀφορισθῆναι **Θεοῦ**.

Ἀποστόλων ι΄. ιά, λϐ΄.

Ὁ γοῦν Ἱ. τῶν ἁγίων Ἀποστόλων κανών, Ὁ τῷ ἀφωρισμένῳ τῆς κοινωνίας, φησὶν, εὐχῆς κοινωνήσας, ἐν οἱῳδήποτε τόπῳ, καὶ οὗτος ἀφοριζέσθω· ἢ γὰρ διαϐέϐληται τούτῳ, ἢ καταπεφρόνηται ὁ ἐκεῖνον ἐπιτιμήσας, οἷα μὴ καλῶς ἀφορίσας μηδὲ δικαίως· ἁπλῶς μέντοι τοῖς ἐπιτιμηθεῖσιν ὁμιλεῖν οὐκ ἀπείργει.

Καθαιρεθέντι δὲ κληρικῷ, καὶ μετὰ τοῦτο αὖθις ἱερουργήσαντι, τὸν συνευξάμενον κληρικὸν ὁ ιά. τῶν αὐτῶν κανὼν καθαιρεῖ.

Ὁ δὲ λϐ΄, Ὃν ὁ ἴδιος ἐπίσκοπος τῆς κοινωνίας ἀφώρισεν, ἑτέρῳ δέχεσθαι μὴ ἐξέστω, φησίν· εἰ δὲ ὁ ἀφορίσας οἴχεται θανών, ὁ τὴν ἐκείνου προστασίαν διαδεξάμενος 2), τὰ κατ' αὐτὸν δοκιμάσας, ἢ ἀνεῖναι ἢ ἐπιτεῖναι τὸ ἐπιτίμιον ἐχέτω τὴν ἄδειαν· ἑτέρῳ δὲ οὐκ ἐφίησι τοῦτο δρᾶν, εἰ μὴ τῇ συνοδικῇ ἐξετάσει, καὶ ζῶντος καὶ τετελευτηκότος τοῦ ἀφορίσαντος.

1) ἁρμεν. Α. 12. 20. — 2) ἀναδεξάμενος 1375.

Καρθαγένης θ'.

Τὰ αὐτὰ καὶ ὁ θ'. τῆς ἐν Καρθαγένῃ ψηφίζεται, ὅτι τὸν μὴ ἀσυντηρήτως ἀλλ' ἀξίως τῶν ἀτοπημάτων καθαιρεθέντα κληρικὸν ὁ δεξάμενος εἰς ἱερατικὴν κοινωνίαν, καθαιρεθήσεται· καὶ ὁ τῷ ἀφορισθέντι συνευξάμενος, τὰ ὅμοια τούτῳ πείσεται.

Ἀντιοχείας ς'.

Τούτοις συνᾴδει καὶ ὁ ς'. τῆς ἐν Ἀντιοχείᾳ, κληρικούς τε καὶ λαϊκοὺς ἀφορισμοῦ καθυπαχθέντας δεσμοῖς παρὰ τῶν ἐπισκόπων, μὴ παρ' ἑτέρων λύεσθαι, πρὶν ἢ ἂν ὁ δεδεκὼς ἀνῇ, ἢ Σύνοδος κοινὴ τὰ κατ' αὐτοὺς σκέψηται.

Σαρδικῆς ιγ'. ιδ'.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ιγ', Τὸν ἀκοινώνητον γενόμενον παρὰ τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως τοῦ κλήρου, ἑτέρῳ ἐπισκόπῳ τὰ κατ' αὐτοὺς εἰδότι, εἰς κοινωνίαν μὴ ἐξεῖναι δέχεσθαι· ὕβριν γὰρ τοῦτο φέρει τῷ ἀφορίσαντι.

Ὁ δὲ ιδ', Εἴ τινα τῶν τοῦ κλήρου, θυμοῦ ἡττηθεὶς ὁ ἴδιος ἐπίσκοπος πρὸς ὀργὴν ἀφορίσει, ὅπερ οὐκ ἔδει, οὐ χρή, φησιν, ἀθρόον τὸν τοιοῦτον τῆς κοινωνίας χωρίζεσθαι, ἀλλ' ἀφικνεῖσθαι πρὸς τὸν τῆς ἐπαρχίας μητροπολίτην, ὑφ' ὃν ὁ ἀφορίσας τελεῖ, καὶ τὴν αἰτίαν τοῦ ἀφορισμοῦ πρὸς αὐτοῦ ἐξετάζεσθαι, μὴ δυσχεραίνοντος παρὰ τοῦτο 1) τοῦ ἐπισκόπου· οὕτω γὰρ ἡ βεβαιωθήσεται αὐτοῦ ἡ ἀπόφασις, ἢ, μὴ καλῶς ἔχουσα, διορθωθήσεται· πρὸ μέντοι γε τῆς τελείας διαγνώσεως, οὐ δέον ἀνέδην προσιέναι τὸν ἀφορισθέντα τῇ κοινωνίᾳ, ἀλλὰ καὶ τοὺς λοιποὺς τῶν κληρικῶν τὸ προσῆκον νέμοντας σέβας τῷ ἐπισκόπῳ, ὡς γε δὲ καὶ οὗτος αὐτοῖς τὰ τῆς ἀγάπης δίκαια, ἐπιπλήττειν τῷ ἐπιτιμηθέντι πρὸς τὴν ἐπιτιμίαν ἀφηνιάζοντι, μέχρις ἂν ἡ ἐξέτασις τὸ δέον ἐπ' αὐτῷ ψηφίσηται· ὃ δὲ προστίθησιν ὁ κανὼν, τὸ μὴ, ἐνδημοῦντος τοῦ οἰκείου μητροπολίτου, ἀνατιθέναι τὰ τῆς ὑποθέσεως τῷ πλησιοχώρῳ, τὸ πολιτευόμενον τανῦν ἔθος οὐ προσίσται.

---

1) παρὰ τούτου B.

Καρθαγένης ρλθ΄.

Τούτῳ συνάδει καὶ ὁ τῆς ἐν Καρθαγένῃ ρλθ΄. Εἴ τις γὰρ, φησὶ, τῶν ἐπισκόπων, ὀργίλος ὢν, ὅπερ οὐκ ἔδει, τραχέως κινηθεὶς ἐξέωσέ τινα τῶν ὑπ᾽ αὐτὸν κληρικῶν καὶ τῆς Ἐκκλησίας, καὶ τῆς κοινωνίας, προνοητέον μήπως ἀδίκως ὁ ἐπιτιμηθεὶς ἐκβέβληται· ἄδειαν τοιγαροῦν ἐχέτω τοῖς ὁμόροις προσιέναι τῶν ἐπισκόπων, παρ᾽ ὧν καὶ τὰ τῆς αἰτίας ἀκριβεῖ δοθήτω βασάνῳ· ἀλλὰ καὶ τὸν ἐπίσκοπον πρᾴως δεῖ φέρειν καὶ ἱλαρῶς τὴν ἐξέτασιν, καὶ ταῖς τῶν πλειόνων προσηνῶς τίθεσθαι ψήφοις, ὑφ᾽ ὧν ἡ κυρία ἢ ἄκυρος ἡ αὐτοῦ γνώμη γενήσεται.

Συνόδου πρώτης ε.

Ὁ δὲ ε. τῆς πρώτης Συνόδου, Χρὴ μὲν, φησὶ, κατὰ τῶν γενομένων ἀκοινωνήτων, παρὰ τῶν καθ᾽ ἑκάστην ἐπαρχίαν ἐπισκόπων, εἴτε τοῦ κλήρου εἶεν, εἴτε τοῦ λαοῦ, τὸν διαγορεύοντα κρατεῖν κανόνα, τοὺς παρ᾽ ἑνίων ἀποβληθέντας, ἑτέροις προσιτοὺς μὴ εἶναι· προνενοηκέναι μέντοι γε δεῖ, μὴ ἄρα μικροψυχίᾳ, ἢ φιλονεικίᾳ, ἢ ἀηδίᾳ, ἢ ἑτέρᾳ οἱᾳδήτινι ἐμπαθείᾳ τοῦ ἐπισκόπου, ἀποσυναγώγους συμβεβήκει τοὺς ἀνθρώπους γενέσθαι· ταύτῃ τοι καὶ παρὰ ταῖς ἐτησίως γινομέναις Συνόδοις ἐξετάσει τὰ κατ᾽ αὐτοὺς δίδοσθαι, καὶ ἢ τὸν ἀφορίσαντα παραλόγως εὐλόγως εὐθύνεσθαι, ἢ τὸν παραλόγως δυσχεραίνοντα τῷ ἀφωρίσθαι, εὐγνωμόνως τὴν ἐπιτιμίαν δέχεσθαι.

Συνόδου ἑβδόμης δ΄.

Ἀλλὰ καὶ ὁ δ΄. τῆς ἑβδόμης Συνόδου, Ὁ αἰσχροκερδῶς, φησὶν, εἰσπράττων ἐπίσκοπος τοὺς ὑπ᾽ αὐτὸν ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχοὺς, χρυσὸν, ἢ ἄργυρον, ἢ οἱονδήποτε εἶδος, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, μὴ τοῖς θείοις δηλαδὴ ἐμπεριειλημμένας κανόσι, καὶ τοὺς μὴ ῥᾳδίως πορίζοντας τὸ ἐπιταχθὲν, ἀφορισμῷ ἀμυνόμενος, ἢ δι᾽ ἑτέραν ἐμπάθειαν τῆς λειτουργίας ἀπείργων τινὰ τῶν ὑπ᾽ αὐτὸν κληρικῶν, ἢ σεπτὸν κλείων ναὸν, ὥστε τὰς ἐν ἔθει τοῦ Θεοῦ λειτουργίας ἐν αὐτῷ μὴ τελεῖσθαι, εἰς ἀναίσθητον τὴν ἑαυτοῦ μανίαν ἐκπέμπων, ἀναίσθητος ὄντως ἐστὶ, φησὶ, καὶ ταῖς αὐταῖς ὑποπεσεῖται ποιναῖς,

ὁ μὲν ἐπίσκοπος, παρὰ τοῦ μητροπολίτου ἀφοριζόμενος, ὁ δὲ, παρὰ τοῦ Πατριάρχου εὐλόγως ὑφιστάμενος ὃ παραλόγως ἑτέροις ἐπήνεγκε.

Παῦλος γοῦν ὁ θεῖος Ἀπόστολος, οἱονεὶ κανόνα τιθεὶς, τοῖς Ἐφεσίων εἴρηκε πρεσβυτέροις· Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα 1), καὶ τὰ ἑξῆς· καὶ αὖθις· Οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλὰ οἱ γονεῖς τοῖς τέκνοις 2). Ἀλλὰ καὶ Πέτρος, ἡ κορυφαία τῶν Ἀποστόλων ἀκρότης, « Ποιμαίνετε, φησὶ, τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, κατὰ Θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γενόμενοι τοῦ ποιμνίου· οὐ γὰρ ὡς δούλοις καὶ ὑπηρέταις χρῆσθαι τοῖς κληρικοῖς, ἀλλὰ χωρὶς ἐμπαθείας καὶ ἀνάγκης κελεύει ποιμαίνειν τούτους καὶ διορθοῦσθαι. »

Καρθαγένης κθ'. ρέ. ρλϑ', ρλγ'.

Ὁ δὲ κθ'. τῆς ἐν Καρθαγένῃ, Ὁ διὰ ῥαθυμίαν, φησὶν, ἤτοι πλημμέλειαν, τῆς κοινωνίας ἀφορισθεὶς, εἶτ' οὖν ἐπίσκοπος, εἴτε οἱοσδήποτε κληρικὸς, εἰ καὶ ἀναξιοπαθεῖν οἴοιτο, οὐ χρὴ κατολιγωρεῖν αὐτὸν τῆς ἐπιτιμίας, μέχρις ἂν κρίσει τὰ κατ' αὐτὸν δοθῇ τελειοτέρᾳ· πρὸ δέ γε τῆς ἐξετάσεως, εἰ κοινωνῆσαί τινι φωραθείη, οὐκ ἂν φθάνοι κατ' αὐτοῦ αὐτὸς τὴν ψῆφον ἐπενεγκὼν τῆς τελείας καθαιρέσεως.

(Θεόδωρος Βαλσαμὼν 1). *Ὅτι οὐ δεῖ δίχα εὐλόγου αἰτίας ἀφορίζειν τινά.*

Ἐκ τούτου φασί τινες, ὡς ὁ μὲν δι' αἰτίαν ἀφοριζόμενος, τοῖς θείοις ἀπειρημένην κανόσι, δι' ἀλόγιστον μέντοι τοῦ ἀφορίσαντος θέλημα, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας ὑπόδικος ἔσται κολάσει· εἰ γὰρ εὐκαίρως ἢ ἀκαίρως ἄδεια δοθείη τῷ ἐπισκόπῳ κληρικούς τε καὶ λαϊκοὺς ἀφορίζειν, καὶ πρὸς ἀνάγκην ἔχειν τοὺς ἐπιτιμωμένους τὸν ἄκαιρον ἀφορισμὸν δεδιέναι καὶ φυλάττειν, κἂν τυραννίδος κατατολμήσαιεν οἱ ἐπίσκοποι, καὶ τῆς εὐσεβείας κατορχήσαιντο,

1) Θεόδωρος Βαλσαμὼν, οὐ κεῖται ἐν τοῖς Κώδιξιν ἡμῶν, ἀλλὰ παρὰ Β.

καὶ πολλῶν κακῶν γένοιντο οἱ θεῖοι κανόνες παραίτιοι, ὅπερ ἀτοπίας οὐδεμίαν ὑπερβολὴν καταλείπει· διά τοι τοῦτο, καὶ μετὰ προσδιορισμοῦ, εἰ διὰ ῥᾳθυμίαν ἀφώρισταί τις, φησὶν ὁ κανών, δι' ἁμάρτημα τυχὸν, ὅπερ οἱ θεῖοι κανόνες ἀπαγορεύουσι. Τοῦτο καὶ ὁ θεῖος Διονύσιος ὁ Ἀρειοπαγίτης ἐν ἐπιστολῇ λέγει· Οὐ γὰρ ἕλκεται τὸ θεῖον ταῖς τῶν ἱερέων παραλόγοις ὁρμαῖς 1).

Ὁ δὲ ρέ. αὐτῆς, Τὸν ἐν Ἀφρικῇ τῆς κοινωνίας ἀφορισθέντα κληρικὸν, εἰ εἰς τὴν Ῥώμην περαιωθεὶς ἱερουργῆσαι τολμήσειε πρὸ τελείας τῆς ἐπ' αὐτῷ κρίσεως, τελείᾳ καθυποβάλλει τῇ καθαιρέσει.

Ὁ δὲ ρλϐ'. ἔτι δὲ καὶ ὁ ρλγ', Ὁ λέγων, φησὶν, ἐπίσκοπος, ὡς ἐξομολογηθείη τις αὐτῷ πταῖσμα, οἷον τῆς κοινωνίας αὐτὸν ἐκβαλεῖν, ὁ δὲ διατείνεται μηδέποτε τοιοῦτό τι τούτῳ προσαναθεῖναι, οὐ πιστευθήσεται μόνος, κατὰ τοῦ δῆθεν ἐξομολογησαμένου μαρτυρῶν ὁ ἐπίσκοπος, οὐ μὴν ἀλλὰ καὶ συγκοινωνεῖν ἐκείνῳ ἀναγκασθήσεται· εἰ δὲ δεινοπαθῶν τὴν συνείδησιν, καὶ σκανδαλιζόμενος ἐπ' αὐτῷ, οὐκ οἴεται δεῖν εἰς κοινωνίαν προσίεσθαι, ἐφ' ὅσον χρόνον οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ οἱ ἄλλοι τούτῳ ἐπίσκοποι κοινωνείτωσαν· ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον, μὴ λέγειν κατά τινος ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται. Ζήτει καὶ ἐν τῷ θ'. κεφ. τοῦ παρόντος στοιχείου κανόνας ἀποστολικοὺς ιϐ'. ιγ'. ις'. καὶ ἐν τῷ ιϐ'. κεφ. τοῦ Π στοιχείου κανόνας τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου θ'. καὶ ι'. καὶ Θεοφίλου ή. 2).

Νόμοι.

Ἡ δὲ Ἰουστινιάνειος Νεαρὰ, Πᾶσι, φησὶ, τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν χωρίζειν τῆς ἁγίας κοινωνίας, πρὶν ἂν ἡ αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γίνεσθαι κελεύουσιν· εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινὰ, ἐκεῖνος μὲν, ὃς ἀδίκως τῆς κοινωνίας ἐχωρίσθη, λυόμενος τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς ἁγίας

1) ἐκ τοῦ 1375. ἐν τοῖς λοιποῖς οὐ κεῖται ἡ περίοδος αὕτη. — 2) τὰ ἀπὸ τοῦ καὶ [ἐν τῷ ιϐ'. κεφ. τοῦ Π. στοιχείου κλπ. οὐ κεῖται ἐν τοῖς Κώδιξιν.

ἀξιούσθω κοινωνίας· ὁ δὲ ἀδίκως τινὰς ταύτης χωρίσαι τολμήσας, ὑπὸ τοῦ ἱερέως, ὑφ' ὃν τέτακται, χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον ἂν χρόνον ἐκεῖνος συνίδῃ, ἵνα, ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείνῃ.

Οὐ δεῖ τοὺς ἐπισκόπους ἢ κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν ἢ ἀγγαρίας διδόναι, ἢ τοὺς μὴ οὕτω ποιοῦντας ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν· ἀθέμιτον γάρ.

ΑΡΧΗ ΤΟΥ Β ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ ἁγίου Βαπτίσματος.

Ἀλλὰ γὰρ ἐπὶ τὸ ἑξῆς ἤδη μετιόντες στοιχεῖον, τὰ περὶ τοῦ ἁγίου βαπτίσματος προὔργου οἶμαι διεξιέναι.

Ἀποστόλων μζ'.

Ὁ μζ'. τῶν ἁγίων Ἀποστόλων κανών, Τὸν μὲν τοῦ ἀληθοῦς ἠξιωμένον βαπτίσματος, ὡς τὸ τοῦ Κυρίου ἐπίταγμα, καὶ ἡ τῶν Ἀποστόλων ἔχει παράδοσις, μὴ ἀναβαπτίζειν κελεύει· τὸν δέ γε δυσσεβῶς πρὸς τῶν ἀσεβῶν μολυνθέντα μᾶλλον ἢ βαπτισθέντα, μηδὲν ἐπιδοιάζοντας ἀναβαπτίζειν· εἰ δὲ τὸ μὲν ἀληθινὸν ἤδη βαπτισάμενος ἔτυχε, πρὸς δὲ τῶν ἀσεβῶν μεμόλυνται ὕστερον, μύρῳ χρίεσθαι μόνον· καὶ τοῦτο γὰρ μέρος εἶναι πιστεύεται τοῦ θείου βαπτίσματος· τοῦ δὲ μὴ οὕτω ποιοῦντος, εἴτ' οὖν ἐπισκόπου, εἴτε πρεσβυτέρου, τελείαν καταψηφίζεται τὴν καθαίρεσιν, ὡς ἐγγελῶντος τὸν σταυρὸν τοῦ Κυρίου, καὶ τὸν σωτήριον αὐτοῦ διακωμῳδοῦντος θάνατον. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος· Ἑκουσίως ἁμαρτανόντων ἡμῶν μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, ἤτοι διὰ βαπτίσματος κάθαρσις· εἷς γὰρ ὁ τοῦ Χριστοῦ θάνατος, καὶ ἓν τὸ καθαρτήριον βάπτισμα.

Καρθαγένης ν΄.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου ν΄. διατάττεται.

Ἀποστόλων μθ΄. ν΄.

Ὁ δὲ μθ΄. αὖθις τῶν ἁγίων Ἀποστόλων, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα βαπτίζειν, κατὰ τὸ τοῦ Κυρίου παρεγγυᾶται λόγιον, ἀλλὰ μὴ εἰς τρεῖς ἀνάρχους, ἢ τρεῖς υἱοὺς, ἢ τρεῖς παρακλήτους· εἷς γὰρ ὁ ἄναρχος Πατὴρ, διὰ τὸ ἀναίτιον, καὶ εἷς ὁ Υἱὸς, διὰ τὴν ἄῤῥητον γέννησιν, καὶ εἷς ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὴν ἐκ τοῦ ἀγεννήτου ἐκπόρευσιν· οἱ δὲ μὴ οὕτω ποιοῦντες ἐπίσκοποι ἢ πρεσβύτεροι, ἐπιτιμίαν ὑφίστανται τὴν καθαίρεσιν.

Ὁ δέ γε ν΄, τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελεῖν, τρεῖς δηλαδὴ καταδύσεις ἐν ἑνὶ βαπτίσματι, καὶ ἑκάστῃ τῶν καταδύσεων ἓν ὄνομα τῆς ἁγίας ἐπιλέγειν Τριάδος· ἀλλὰ μὴ ἓν βάπτισμα εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, ἤτοι ἅπαξ καταδύειν τὸν βαπτιζόμενον, καὶ εἰς μίαν κατάδυσιν τὸν τοῦ Κυρίου ἐπιφημίζειν θάνατον, ὡς ἡ παραπληξίας γέμουσα τῶν Εὐνομιανῶν αἵρεσις ὑποτίθεται· ἧς καὶ ὁ ζ΄. τῆς ϛ΄. Συνόδου κανὼν μέμνηται· οὐ γὰρ εἶπεν ὁ Κύριος, εἰς τὸν θάνατόν μου βαπτίσατε, ἀλλὰ, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· τὸν δὲ μὴ οὕτω δρῶντα ἐπίσκοπον, ἢ πρεσβύτερον, τῇ ἀφαιρέσει ζημιοῖ τῆς ἱερωσύνης. Ζήτει καὶ ἐν τῷ ϛ΄. κεφ. τοῦ Α. στοιχείου τὸν ζ΄. κανόνα τῆς Β΄. Συνόδου, ἀφ' οὗ δὴ καὶ εἴσῃ σαφῶς, τίνας δεῖ ἀναβαπτίζειν, καὶ τίνας μόνῳ χρίειν τῷ θείῳ μύρῳ.

Λαοδικείας μή.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ μή. καὶ τῷ ἐπουρανίῳ χρίεσθαι μύρῳ τοὺς φωτιζομένους θεσπίζει· τοῦτο γὰρ ταῖς εὐχαῖς καὶ τῇ ἐπικλήσει τοῦ ἁγίου Πνεύματος ἁγιαζόμενον, τοὺς χριομένους ἁγιάζει, καὶ μετόχους τῆς ἐπουρανίου τοῦ Χριστοῦ βασιλείας καθίστησιν, εἰ μὴ τὸ τοῦ βίου ἠμελημένον, καὶ ἡ τῶν ἔργων φαυλότης ἡμᾶς ταύτης ἀλλοτριώσειεν.

Περὶ τοῦ ἁγίου μύρου.

Τύπον δέ τινες φέρειν φασὶ τὸ ἅγιον μύρον, τοῦ παρὰ τῆς πόρνης ἐπιχεθέντος τῷ Ἰησοῦ μύρου, δήλωσις γὰρ ἦν κἀκεῖνο καὶ τοῦτο ταφῆς καὶ ἀναστάσεως.

Συνόδου ἕκτης λά, καὶ νθ'. Συνόδου ΑΒ, ιβ'.

Ὁ δὲ λά. τῆς ς'. Συνόδου, ἔτι δὲ καὶ ὁ νθ'. ἀλλὰ καὶ ὁ τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου ιβ'. μιᾷ καθαιροῦσι ψήφῳ τὸν παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου βαπτίζοντα ἱερέα ἐν εὐκτηρίῳ ἔνδον οἰκίας τυγχάνοντι.

Συνόδου ἕκτης οή, Λαοδικείας μέ, μς', μζ'.

Ὁ δὲ οή. αὖθις τῆς ς'. Συνόδου, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ μς'. τὸν πρὸς τὸ σωτήριον ἑτοιμαζόμενον βάπτισμα, τὸ τῆς πίστεως πρότερον ἐκμανθάνειν μυστήριον ἐπισκήπτουσι, καὶ τῇ ἑ. ἡμέρᾳ τῆς ἑβδομάδος ἑκάστης, τῷ ἐπισκόπῳ, ἢ τῷ πρὸς αὐτοῦ ἐπιτετραμμένῳ κατηχεῖν αὐτὸν πρεσβυτέρῳ, ἀπαγγέλλειν ἃ μεμαθήκει τῆς ἑβδομάδος, ἵνα μὴ βαπτισάμενος, καὶ τῇ μυήσει τοῦ καθ' ἡμᾶς μυστηρίου ἀσφαλῶς ἱδρυμένος μὴ εὑρεθεὶς, αἱρετικοῖς λόγοις καὶ νόθοις ὑποσυρῇ.

Ὁ δὲ τῆς αὐτῆς ἐν Λαοδικείᾳ μέ, Τὸν μὴ κατὰ πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν διὰ νηστείας καὶ λοιπῆς ἀσκήσεως προκαθαρθέντα, οὐκ ἐφίησι κατὰ τὸ μέγα βαπτίσασθαι σάββατον· νόμος γὰρ ἦν τῇ Ἐκκλησίᾳ ἐν τούτῳ τοὺς πλείους τῶν κατηχουμένων βαπτίζειν· διότι τὸ βάπτισμα τὴν ταφὴν ζωγραφεῖ καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου· κἀκεῖνο τὸ σάββατον μεθόριόν ἐστι τῆς ταφῆς καὶ τῆς ἀναστάσεως· Ὅσοι γὰρ, φησὶν ὁ Ἀπόστολος, ἐβαπτίσθημεν, εἰς τὸν θάνατον τοῦ Κυρίου ἐβαπτίσθημεν· καὶ αἱ τρεῖς γὰρ καταδύσεις τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν ὑπεμφαίνουσιν.

Εἰ δέ τις νοσήσας, ὁ μζ'. φησὶ, καὶ ἐν χρόνῳ κινδύνου γενόμενος 1), τοῦ θείου ἀξιωθείη βαπτίσματος, πρὶν τὰ τῆς εὐσεβείας κατηχηθῆναι, ῥαΐσας τῆς νόσου, μανθανέτω τῆς πίστεως τὸ μυστήριον, καὶ ὅπως χάριτι καὶ δωρεᾷ μηδὲν προεισενεγκά-

1) καὶ ἐν καιρῷ κινδύνου γενόμενος Γ. καὶ ε.

μενος, τῆς τῶν ἁμαρτημάτων ἐνοχῆς ἀφεθείη, ἐπιγνώσεώς τε ἀξιωθείη τοῦ ἀληθινοῦ Θεοῦ διὰ τοῦ βαπτίσματος.

Νεοκαισαρείας ιϐ΄.

Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ ιϐ΄, τὸν διὰ νόσον βαπτισάμενον, καὶ ἐξάντη ταύτης γενόμενον, ἱερᾶσθαι οὐκ ἐπιτρέπει, οἷα μὴ προαιρέσει τὸ ἀγαθὸν ἀλλ' ὑπ' ἀνάγκης ἴσως ἑλόμενον, τὸν φιλήδονον βίον μεταδιώκοντα πρότερον καὶ φιλόσαρκον, εἰ μήπου διὰ τὴν εἰσέπειτα περὶ τὴν πίστιν σπουδὴν, καὶ τὴν τῶν ἀνθρώπων σπάνιν συγκατάβασις γένοιτο.

Καρθαγένης μέ΄.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μέ, βαπτίζειν ἀπείρηκε τὸν νόσοις ἢ ἑτέροις συμπτώμασι τὸ ὑγιὲς ἀφῃρημένον τοῦ νοῦ· εἰ μὴ ῥαΐσας μικρὸν, τὴν ὑπὲρ τῆς πίστεως προαίρεσιν, καὶ τὸν προσήκοντα πόθον σημήνειε τῇ φωνῇ· εἰ δὲ πρὸ τῆς ἀσθενείας μαρτυρηθείη τὸ βάπτισμα ἐπιζητῶν, καὶ δι' αἰτίας τινὰς ὑπερτιθέμενος, ἀναμφιβόλως βαπτισθήσεται. Ζήτει καὶ ἐν τῷ ά. κεφ. τοῦ Α στοιχείου κανόνα ιϐ΄. τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

Νεοκαισαρείας ς΄.

Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου, τῶν γυναικῶν τὰς ἐγκύμονας οὐκ ἀπείργει βουλομένας βαπτίσασθαι· οὐ γὰρ κοινωνεῖ ταύταις τοῦ φωτίσματος καὶ τὸ ἔμβρυον, μήπω παρὰ τῆς φύσεως δεξάμενον τὴν τοῦ ἀγαθοῦ προαίρεσιν καὶ τοῦ χείρονος, οὐδ' οἷόν τε ταῦτα περιεργάσασθαι ὅπως ἔχουσι διαθέσεως· τὰ δέ γε νήπια, διὰ τῶν ἀναδόχων κατατιθέμενα, καὶ ἔργοις αὐτοῖς φωτιζόμενα, τῆς θείας κοινωνοῦσιν ἐλλάμψεως.

Τιμοθέου ς΄. καὶ ά.

Ὁ δὲ ς΄. τοῦ Τιμοθέου Ἀλεξανδρείας, Ἡ κατηχουμένη γυνὴ, φησὶ, εἰ κατὰ τὴν ἡμέραν ἐν ᾗ βαπτισθῆναι προέθετο, τὰ κατ' ἔθος αὐτῇ συμβαίη, εἰς τὴν ἐπιοῦσαν ὑπερτιθέσθω τὸ φώτισμα.

Ὁ δὲ ά. αὐτοῦ, Εἰ παιδίον, φησὶ, κατηχούμενον, ἢ καὶ ἀνὴρ τῆς ἱερᾶς τελουμένης θυσίας, προσελθὼν ἀπονήρως, τῶν θείων μεταλήψεται δώρων, ἀγνοοῦντος τοῦ ἱερέως εἶναι τοῦτον κατηχούμενον, εὐθὺς βαπτιζέσθω, ὑπὸ γὰρ τοῦ Κυρίου προσκέκληται.

Βασιλείου κ'.

Ὁ δὲ κ'. τοῦ μεγάλου Βασιλείου, Τὰς αἱρετικὰς γυναῖκας καὶ μήπω τοῦ θείου ἠξιωμένας βαπτίσματος, ἀλλ' ἐν τῇ τῶν κατηχουμένων τάξει παραμενούσας εἰσέτι, εἰ παρθενίαν ὁμολογήσαιεν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐκδοῖεν, μὴ καταδικάζεσθαι ὡς ψευσαμένας τὴν ὁμολογίαν· ὅσα γὰρ ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· βαπτισάμεναι γὰρ τῶν πρὸ τοῦ βαπτίσματος σφαλμάτων ἁπάντων συγχώρησιν ἔχουσιν, ἐπεὶ καὶ σύμπαντες οἱ πιστεύσαντες καὶ βαπτισάμενοι οὐδ' ἠντιναοῦν ὑπέχουσι δίκην ἀνθ' ὧν πρὸ τοῦ βαπτίσματος ἥμαρτον· ταῦτα γὰρ τὰ πρεσβεῖα καὶ ἐξαίρετα τῆς πνευματικῆς ἀναγεννήσεως.

Θεοφίλου δ'.

Ὁ δὲ δ'. τοῦ Θεοφίλου Ἀλεξανδρείας, περί τινος τῇ ἰδίᾳ συμφθαρέντος ἀδελφιδῇ, εἰ μὲν πρὸ τοῦ βαπτίσματος, φησὶ, ταύτῃ ἐμίγνυτο, καὶ μετὰ τοῦτο ταύτης ἀπέσχετο, μενέτω διάκονος, τὸ γὰρ ἅγιον βάπτισμα τὰ πρώην αὐτοῦ ἐκαθάρισεν ἁμαρτήματα· εἰ δὲ μετὰ τὸ βάπτισμα ἔσχε ταύτην, ἐκβληθήτω τοῦ κλήρου· τῷ δὲ ἐξ ἀγνοίας αὐτὸν χειροτονήσαντι, οὐδὲν βλάβος ἐκ τούτου γενήσεται.

Κυρίλλου δ'.

Ὁ δὲ δ'. τοῦ ἁγίου Κυρίλλου κανών, Κἂν χωρισμὸν, φησὶν, ὑπομείνωσί τινες τῶν κατηχουμένων, πταισμάτων ἕνεκεν ἐπιτιμηθέντες, καὶ μέλλωσι τελευτᾷν, βαπτιζέσθωσαν, καὶ μὴ ἀμέτοχοι τῆς χάριτος τῶν ἀνθρωπίνων ἀποδημείτωσαν.

Πῶς δεῖ βαπτίζειν τοὺς δαιμονῶντας.

Τιμοθέου β'. δ'.

Ὁ δὲ β'. τοῦ Τιμοθέου Ἀλεξανδρείας, Κατηχούμενον δαιμονῶντα, πρὶν ἢ τοῦ ἀκαθάρτου δαίμονος καθαρθῆναι, κωλύει βαπτίζεσθαι· ἀθέμιτον γὰρ τὸν παρασχόντα ἑαυτὸν τῷ πονηρῷ δαίμονι εἰς ἐνοίκησιν τῇ πρὸς τὰ φαῦλα ῥοπῇ, καὶ τὸ φῶς τοῦ ἁγίου Πνεύματος ὑποδέχεσθαι, μὴ τελέως ἀπαλλαγέντα τοῦ σκοτεινοῦ καὶ πονηροῦ πνεύματος· εἰ δὲ καὶ ἡ τελευτὴ τούτῳ

ἐπισταίη, κελεύει βαπτίζεσθαι, ἵνα μὴ κενὸς ἐξέλθοι τοῦ βίου, τὸ ἐφόδιον μὴ τῆς θείας φέρων χάριτος.

Ὁ δὲ δ΄, Εἰ καὶ μὴ ὑπὸ δαίμονος, φησὶν, ὁ κατηχούμενος ἐνοχλεῖται, ἀλλ᾽ ὑπὸ νόσου τῶν φρενῶν ἐξεκρούσθη, ὡς μηδὲ ἀποκρίνεσθαι οἷός τε εἶναι, ἀφῃρημένος καὶ τὴν φθογγὴν, ἀλλ᾽ ἐπεὶ φθάσας ἔδειξεν ἐκ προαιρέσεως τὴν πίστιν ἀσπάζεσθαι, ἐκὼν εἰς τοὺς κατηχουμένους καταλεγείς, ἀναμφιβόλως βαπτισθήσεται.

Καρθαγένης ρθ΄, ρί, ριά, ριβ΄, ριγ΄.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ρθ΄. καὶ ὁ ρί΄. ἀγάθεμα κατεψηφίσαντο τῶν λεγόντων, ὅτι θνητὸς ἐξ ἀρχῆς ὁ Ἀδὰμ ἐπλάσθη, καὶ τεθνήξεσθαι ἔμελλε, κἂν εἰ μὴ παρέβη τὴν ἐντολὴν, καὶ οὐχὶ διὰ τὴν ἁμαρτίαν ὑπεισῆλθεν ὁ θάνατος· ἡ γὰρ Ἐκκλησία οὔτε θνητὸν αὐτὸν δοξάζει πλασθῆναι παρὰ Θεοῦ, οὔτε ἀθάνατον, ἀλλὰ μέσον μεγέθους καὶ ταπεινότητος, δεκτικὸν δηλαδὴ τὸν αὐτὸν ἀμφοτέρων, ὡς ὁ τῆς θεολογίας ἐπώνυμος ἔφη, ἢ ὡς μετέχοντα καὶ τοῦ μεγέθους τῆς νοερᾶς φύσεως, καὶ τῆς ταπεινότητος τῆς αἰσθητῆς φύσεως· ψυχὴ γὰρ ἀνθρώπου διὰ τοῦ θείου ἐμφυσήματος τὸ εἶναι λαβοῦσα, μείζων τοῦ πηλίνου τούτου καθέστηκε σώματος 1)· δῶρον δὲ εἰληφὼς καὶ τὸ αὐτεξούσιον, καὶ τὰ τῆς κακίας ἀντὶ τῆς ἀρετῆς ἑλόμενος, τὸν θάνατον ἠλλάξατο τῆς ζωῆς. Ἐπειδὴ τοίνυν δι᾽ ἑνὸς τοῦ παραβεβηκότος ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, ὡς εἴρηκεν ὁ Ἀπόστολος, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ὥσπερ τις κλῆρος δηλαδὴ πατρῷος διαβὰς ἐπὶ τοὺς ἐγγόνους, ἐφ᾽ ᾧ γὰρ πάντες, φησὶν, ἥμαρτον, οὐδὲ τὰ νήπια τῆς τοῦ Ἀδὰμ ἄρα ἁμαρτίας ἐλεύθερα, ὡς τῆς συλλήψεως αὐτῶν ἐν ἀνομίαις γινομένης· ἐξ ἡδονῆς γὰρ ἡ συνάφεια καὶ ἡ ἑπομένη σύλληψις, καὶ εἰ μὴ ὁ νόμος ἐπεκούρει τῷ γάμῳ, ἁμαρτία ἂν ἐλογίζετο, φιληδονίας σαφῶς καὶ ὀρέξεως σαρκικῆς κινούσης εἰς αὐτὸν, κἂν διὰ παιδοποιΐαν γίνηται. Εἰ οὖν αἰτίαν ἔχει τῆς σαρκὸς τὴν ἐπιθυμίαν τῶν ἀνθρώπων ἡ γένεσις, οὐκ ἐλεύθερα καὶ τὰ νεογνὰ τῆς προγονικῆς ἁμαρτίας, ἣν καθαρ-

1) ἢ ὡς μετέχοντα . . . σώματος, οὐ κεῖται ἐν Κώδικι ἑ.

θῆναι δεῖ τῷ θείῳ τῆς παλιγγενεσίας λουτρῷ· εἰ γὰρ καὶ ἀναισθήτως τῷ ἀτελεῖ τῆς φύσεως ἔχει τὰ νήπια, ἀλλὰ παρὰ τὴν πίστιν τῶν προσαγόντων τὸν φωτισμὸν τοῦ Πνεύματος δέχεται, καὶ τούτου τὰς πίστεις φθάσας ἐναργῶς παρέσχεν ὁ Κύριος, ἡνίκα διὰ τὴν ἑτέραν πίστιν, ἑτέρους τὸ φρονεῖν ὑπὸ νοσημάτων ἀφῃρημένους, οὐ μόνον σωματικῆς, ἀλλ' ἤδη καὶ ψυχικῆς ἀῤῥωστίας μετὰ πολλοῦ τοῦ περιόντος ἀπήλλαττε· χρὴ τοίνυν καὶ ταῦτα εἰς ἄφεσιν βαπτίζειν ἁμαρτιῶν· τὸν δὲ μὴ οὕτω καὶ φρονοῦντα καὶ δρῶντα, ἀλλὰ πλαστὸν οἰόμενον καὶ οὐκ ἀληθῆ τὸν εἰς ἄφεσιν ἁμαρτιῶν ἐπὶ τῶν νηπίων τοῦ βαπτίσματος τύπον, τοῦ ἀναθέματος ἀξιοῦσιν.

Ὁ δὲ ρια', Ἡ διὰ τοῦ βαπτίσματος, φησὶ, χορηγουμένη χάρις ἡμῖν, οὐ μόνον τῶν ἡμαρτημένων ἄφεσιν, ἀλλὰ καὶ δύναμιν ἐνίησιν εἰς τὸ μηκέτι ἁμαρτάνειν ἡμᾶς, εἰ μὴ διὰ ῥᾳθυμίαν ἑκόντες τὰ τῆς ἁμαρτίας ἀσπασαίμεθα· τοὺς δὲ μὴ οὕτω φρονοῦντας 1), τῷ ἀναθέματι παραπέμπει.

Ὁ δὲ ριβ', Ἡ διὰ τοῦ βαπτίσματος χάρις, φησὶ, τὴν γνῶσιν ἡμῖν τῶν ἁμαρτημάτων ἀποκαλύπτουσα, βοήθειαν εἰς τὸ μὴ ἁμαρτάνειν παρέχει, τῷ γνῶναι τίνα δεῖ ἐπιζητεῖν, καὶ τίνα παντὶ σθένει φεύγειν· οὐ μὴν ἀλλὰ καὶ δύναμιν παρέχει κρυπτῶς, ὥστε ἀγαπᾷν καὶ προθυμεῖσθαι πράττειν τὸ ποιητέον· ἑκάτερον γὰρ, ἥ τε γνῶσις καὶ ἡ ἀγάπη, δῶρον Θεοῦ· τὸν δὲ μὴ οὕτω δόξης ἔχοντα, ἀλλὰ τὸ εἰδέναι τί δεῖ ποιεῖν μόνον τὴν χάριν ἡμῖν διδόναι οἰόμενον, οὐ μὴν καὶ τὸ ἀγαπᾷν ὃ δεῖ ποιεῖν, τοῖς κληρονόμοις συντάττει τοῦ ἀναθέματος· διότι ἡ γνῶσις μόνη φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

Ὁ δὲ ριγ', Τοῖς λέγουσι δύνασθαι ἡμᾶς καὶ δίχα τῆς διὰ τοῦ βαπτίσματος χάριτος τὰς ἐντολὰς πράττειν μὲν, δυσχερέστερον δὲ, αὕτη γὰρ εὐχέρειαν μόνην εἰς τὸ ταύτας ἀνύττειν 2) δίδωσι, τοῦ ἀναθέματος τιμᾶται σαφῶς· τὸ πᾶν γάρ ἐστι τῆς θείας χάριτος, κἀκείνης ἄνευ οὐδὲν τῶν δεόντων κατορθῶσαι δυνάμεθα· οὐ γὰρ εἶπε, φησὶν, ὁ Κύριος, χωρὶς ἐμοῦ εὐχερῶς οὐ δύνασθε ποιεῖν, ἀλλὰ χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

---

1) τοὺς δὲ μὴ οὕτω ποιοῦντας μᾶλλον δὲ φρονοῦντας B. — 2) ἀνύειν Γ.

Ὅτι οὐ δεῖ βαπτίζειν τοὺς τελευτήσαντας, ἢ κοινωνίας μεταδιδόναι.

Καρθαγένης ιή.

Ὁ δὲ ταύτης ιή. τοὺς ἤδη τετελευτηκότας, οὔτε βαπτίζειν, οὔτε τῶν θείων κελεύει μεταδιδόναι μυστηρίων· μὴ συνιέντες γάρ τινες τῶν ἀποστολικῶν ῥημάτων τὴν δύναμιν, ἐν τῇ πρὸς Κορινθίους γράφοντος πρώτῃ, Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; οἱ μὲν, τοὺς νεκροὺς αὐτῶν ἐβάπτιζον, οἱ δὲ, ἄλλους ὑπὲρ τῶν νεκρῶν ζῶντας, ἀλλ' ὁ κανὼν τοῦτο κωλύει γίνεσθαι· οὐ γὰρ τοὺς ἤδη τεθνηκότας ὁ Ἀπόστολος κελεύει βαπτίζειν, ἢ ἀντ' ἐκείνων ἄλλους· ἀλλ' ἐπεὶ οἱ βαπτιζόμενοι, μανθάνοντες τοῦ καθ' ἡμᾶς μυστηρίου τὴν δύναμιν, μετὰ τῶν ἄλλων καὶ ἀνάστασιν νεκρῶν ἤτοι σωμάτων ἐλπίζειν διδάσκονται, καὶ τὴν ἐν τῇ κολυμβήθρᾳ κατάδυσιν καὶ ἀνάδυσιν τὸν θάνατον ὑπεμφαίνειν καὶ τὴν ἀνάστασιν, πρὸς τοὺς περὶ ταύτην ἀμφιβόλως ἔχοντας, φησὶν ὁ Ἀπόστολος, ὅτι εἰ μὴ ἀνάστασίς ἐστι, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ἐπ' ἐλπίδι τοῦ ἀναστῆναι τοὺς νεκροὺς, ματαιοπονοῦντες λοιπὸν, εἴ γε περὶ τῆς ἀναστάσεως ἀμφιβάλλουσιν· οἷς μὲν γὰρ πράττουσιν, ὁμολογοῦσι προσδοκᾶν τὴν ἀνάστασιν· οἷς δὲ νῦν λέγουσιν, ἀρνοῦνται αὐτήν· βαπτίζονται γὰρ ὑπὲρ τῶν νεκρῶν τῇ φύσει σωμάτων, εἰς ἀφθαρσίαν καὶ αὐτὰ μετασκευασθῆναι πιστεύοντες· ἐπεί τοι γε ἡ ψυχὴ ἀθάνατος φύσει πέφυκε καὶ ἀτελεύτητος· ταῦτα δὲ φθορᾷ καὶ ἀλλοιώσει ὑπόκειται· διὰ γὰρ τοῦτο ἅπερ τις διὰ ῥημάτων ὁμολογεῖ πιστεύειν, διὰ τῶν πραγμάτων δείκνυσιν ὁ ἱερεὺς, εἰκονίζων ἐν τῷ ὕδατι τὴν ἀλήθειαν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῶν ἀμφιβαλλομένων νηπίων, εἰ ἐβαπτίσθησαν.

Συνόδου ἕκτης πδ΄. Καρθαγένης οϐ΄.

Ὁ πδ΄. τῆς ἕκτης Συνόδου, ἔτι δὲ καὶ ὁ οϐ΄. τῆς ἐν Καρθαγένῃ, τὰ ἀμφιβαλλόμενα νήπια, εἰ τοῦ θείου τετυχήκει βαπτίσ-

ματος, μήτ' ἄλλων ἀσφαλῶς ἐπ Ξαρτυρούντων, χωρὶς ἐπιδοτασμοῦ, βαπτίζειν προστάττουσιν· εἰ γὰρ καὶ ἓν ὁμολογεῖν βάπτισμα ἀπὸ τοῦ θείου συμβόλου δεδιδάγμεθα, ἀλλ' ἐπειδὴ ὁ Κύριος ἔφη, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εὐλαβητέον μὴ τῇ στερήσει τοῦ θείου φωτίσματος, τὸ προσῆκον τῷ πνευματικῷ γάμῳ μὴ περικείμενα ἔνδυμα, τοῦ νυμφῶνος ἅμα καὶ τῆς βασιλείας ἀπορρίφῃ· δέον γὰρ ἐν τοῖς ἀμφιβόλοις νικᾷν φιλανθρώπως 1) τὸ ἀναμφίβολον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν βαπτιζομένων νηπίων τῶν Ἀγαρηνῶν.

Ἰδεῖν ἐστι κἀν τῷ βαθεῖ σκότῳ τῆς τῶν Ἀγαρηνῶν δυσσεβείας, τὸ φῶς ἐνδυναστεῦον τῆς χάριτος, καὶ ὑπὸ ταύτης μὴ καταλαμβανόμενον ἢ σβεννύμενον· ἐπεὶ τῶν σημείων οὐδὲ τοῖς ἀπίστοις ἐφθόνησεν, ἐνάγουσα τούτους πρὸς τὴν θείαν ἐπίγνωσιν· ἔθος γοῦν ἐστι τῶν Ἀγαρηνῶν τοῖς πλείστοις, μὴ πρότερον τὰ σφέτερα περιτέμνειν βρέφη, πρὶν ἂν οἱ ὑποτελεῖς ὄντες αὐτοῖς τῶν Χριστιανῶν ἱερεῖς, καὶ ἄκοντες ἀναγκασθῶσι ταῦτα βαπτίσαι· ἐζητήθη τοίνυν τὰ περὶ τούτου ἐν τῇ κατὰ τὴν βασιλεύουσαν Συνόδῳ, Λουκᾶ τοῦ ἱεροῦ τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, εἰ δεῖ τοὺς τοιούτους, τῇ ἀληθινῇ τῶν Χριστιανῶν πίστει προσερχομένους, ἀναβαπτίζειν, ἢ μόνον χρίειν τῷ μύρῳ, καὶ ἐψηφίσθη, τούτους ἀναντιῤῥήτως αὖθις βαπτίζειν· ὅπερ γὰρ ἐλούσαντο βάπτισμα, οὐ κατὰ σκοπὸν εὐσεβῆ, ἀλλ' ὡς φαρμακείᾳ ἢ ἐπαοιδίᾳ τινὶ τούτῳ ἐχρήσαντο· ἐφ' ᾧ μὴ νοσώδης ἢ δυσώδης ἡ κράσις τῶν σωμάτων τοῖς περιτμηθησομένοις γενήσεται.

Ἔτι περὶ τῶν βαπτιζομένων παρ' ἀιρέρων.

Ἐζητήθη καὶ τοῦτο· Τοῦ Ἡρακλείας ἐρομένου 2) Μανουὴλ, Εἰ χρὴ δέχεσθαι ὡς πιστὸν, ὃν ἀνίερος ἐβάπτισε, τὸ ἱεράσθαι πλασάμενος· τοῦτο γὰρ ἐπὶ τῆς ἐνορίας αὐτοῦ τηνικαῦτα

1) νικᾷν ἀναμφιβόλοις τὸ ἀμφίβολον B. — 2) ἱερομένου. B.

συνέβη, καὶ ἐψηφίσατο ἡ Σύνοδος καὶ τούτους ἀναβαπτίζεσθαι· ἐπεὶ γάρ, φησὶ, κατὰ τοὺς ἱεροὺς τῶν Ἀποστόλων κανόνας, τὸν μς΄. καὶ μζ΄. μόνοις ἐπισκόποις ἐδόθη καὶ ἱερεῦσιν ἡ τοῦ ἁγίου βαπτίσματος τελετή· δείκνυται δὲ τοῦτο καὶ ἐκ τοῦ κς΄. καὶ μς΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου, τοῦ μὲν μὴ ἐφορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων κελεύοντος, τῷ δὲ, τοὺς φωτιζομένους τὴν πίστιν ἀπαγγέλλειν τοῖς ἐπισκόποις ἢ πρεσβυτέροις· οὐ μὴν ἀλλὰ καὶ οἱ ῥηθέντες τῆς ς΄. Συνόδου καὶ τῆς ἐν Καρθαγένῃ, τοὺς ἀμφιβόλως ἔχοντας εἰ ἐβαπτίσαντο, ἀμελητὶ βαπτίζειν προστάττουσιν· οὐ μὴν ἦν ὅσιον οὐδὲ ἀσφαλὲς, τὸν βαπτισθέντα παρὰ τοῦ μὴ λαβόντος ἐξουσίαν βαπτίζειν, καὶ διὰ τοῦ βαπτίσματος ἄφεσιν διδόναι ἁμαρτημάτων (ῥυπτικὸν γὰρ τούτων τὸ βάπτισμα), τῷ θείῳ τῶν πιστῶν καταλέγειν 1) χορῷ· οὐ μικρὸς γὰρ ὁ κίνδυνος, μήποτε παρὰ τὸν τοιοῦτον διασταγμὸν, αὐτὸς μὲν τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος καθάρσεως στερηθῇ, ἡμεῖς δὲ ἀβαπτίστῳ λάθωμεν κοινωνοῦντες· εἰ δέ τις ἐνίσταιτο λέγων, διὰ τὰς γινομένας παρὰ τοῦ λαϊκοῦ εὐχὰς, καὶ τὴν χρίσιν τοῦ ἁγίου μύρου, ἀληθὲς χρῆναι τὸ πρὸς τοῦ ἀνιέρου διδόμενον λογίζεσθαι βάπτισμα, οὕτως ἂν φήσαι καὶ τοὺς χειροτονηθέντας πρός τινος ἀνιέρου καὶ τὸν ἐπίσκοπον ὑποκρινομένου, δεῖν εἶναι κληρικοὺς καὶ μετὰ τὸ φωραθῆναι· ὅπερ ἄτοπον, ἀλλὰ καὶ ὑπεναντίον τῷ δ΄. κανόνι τῆς Β΄. Συνόδου, τῷ περὶ Μαξίμου τοῦ κυνικοῦ διατατομένῳ, μήτε αὐτὸν γενέσθαι ἢ εἶναι ἐπίσκοπον, καὶ τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας μηδὲν πλέον ἐντεῦθεν ἀπόνασθαι, πάντων ἀκυρωθέντων ὧν ἀθέσμως ἐκεῖνος ἔδρασεν· ἔτι μὴν καὶ τῷ ιή. τῆς ἐν Σαρδικῇ, τοὺς παρὰ Μουσαίου καὶ Εὐτυχιανοῦ ἀνιέρων ὄντων χειροτονηθέντας, τοῦ κλήρου τελέως ἐκβάλλοντι, καὶ εἰς τὴν τῶν λαϊκῶν κατάγοντι χώραν. Ὥσπερ οὖν ἐκεῖνοι ἀχειροτόνητοι, οὕτω καὶ οὗτοι ἀβάπτιστοι λογισθήσονται· καὶ ὥσπερ οἱ τῶν Ἀγαρηνῶν βαπτιζόμενοι παῖδες τῷ μὴ δυσωδίας ἀπόζειν, Χριστιανοὶ οὐ λογίζονται, οὕτως οὐδὲ οἱ μύρῳ χριόμενοι πρὸς τῶν ἀνιέρων, ὅτι μηδὲ δέδοται τοῖς τοιούτοις ἁγιασμοῦ τινος ὅλως μεταδιδόναι· εἰ δέ τις ἀν-

1) ἀντιλέγειν Β.

θυποφέρει τὸ παρὰ τοῦ μεγάλου Ἀθανασίου, ἔτι παιδὸς ὄντος, γεγονὸς, ἐνθυμηθήτω τὸν θεσπίζοντα πολιτικὸν νόμον, ὅτι τὸ παρὰ κανόνας οὐχ ἕλκεται εἰς ὑπόδειγμα, καὶ οὐ νόμος Ἐκκλησίας τὸ σπάνιον.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τῶν βαπτιζομένων ἐξ Ἰουδαίων.

Συνόδου ἑβδόμης ἡ.

Περὶ δέ γε τοῦ σκληροτραχήλου καὶ ἀπεριτμήτου τῇ καρδίᾳ γένους τῶν Ἰουδαίων, οὕτως ὁ τῆς Ζ΄. Συνόδου ἡ. γινώσκει κανών. Εἰ γάρ τις αὐτῶν, φησὶ, ἐξ εἰλικρινοῦς καρδίας τὰ Χριστιανῶν ἕλοιτο, καὶ ἡμῖν ἐξ ὅλης καρδίας ὁμολογήσειε, θριαμβεύων ὅσα πράττειν τῷ τῶν Ἑβραίων εἴθισται γένει, ἐφ' ᾧ καὶ ἑτέρους ἐλεγχθῆναι καὶ διορθωθῆναι, οὗτος καὶ προσδεχθήτω, καὶ τοῦ θείου ἀξιωθήτω βαπτίσματος, πρὸς δὲ καὶ οἱ αὐτοῦ παῖδες· καὶ ἀσφαλιζέσθω τῶν Ἰουδαϊκῶν ἐπιτηδευμάτων ἀποδιΐστασθαι· εἰ δὲ μὴ οὕτω φρονοίη, μηδὲ δι' αὐτὸ τὸ καλὸν τὸν χριστιανισμὸν αἱροῖτο, ἀλλ' ἤ τινας βουλόμενος ἐκφυγεῖν ἐπηρείας, ἢ δόξης ἐπικαίρου καὶ ἀνθρωπίνης εὐδαιμονίας ἀλοὺς ἔρωτι, τῇ πίστει σκήπτοιτο προσιέναι, τόν γε δὴ τοιοῦτον βαπτίζειν οὐκ ἐπιτρέπει· εἰ δὲ καὶ οὕτω γνώμης ἔχοντες ἔλαθόν τινες βαπτισάμενοι, καὶ ὑποκρίνονται μὲν τὰ Χριστιανῶν, κρύφα δὲ τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ παρατηρήσεων φωραθεῖεν ἐχόμενοι, μήτε εἰς Ἐκκλησίαν εἰσίτωσαν, φησὶ, μήτε οἱασδήτινος ἀξιούσθωσαν κοινωνίας, μηδὲ οἱ παῖδες αὐτῶν τῷ θείῳ βαπτίσματι σημειούσθωσαν, μήτε δοῦλον παραχωρείσθωσαν κτᾶσθαι Χριστιανὸν, ἀλλὰ φανερῶς κατὰ τὴν τῶν Ἑβραίων θρησκείαν ἐπιτρεπέσθωσαν πολιτεύεσθαι.

Νόμοι.

Ὁ δὲ νόμος φησίν· Ἰουδαῖος τὸ θέλειν εἶναι Χριστιανὸς προσποιούμενος, ὡς ἂν τὴν κατ' αὐτοῦ κατηγορίαν, ἢ τὴν ἀπὸ χρέους ἀγωγὴν παραμένων, τῇ Ἐκκλησίᾳ φύγῃ, εἰ μὴ ἀποδοίη τὰ

χρέα, ἡ ἐλευθερωθείη τοῦ ἐγκλήματος, μὴ δεχέσθω 1).

Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω, μήτε ἄλλος αἱρετικὸς τοῦτο ποιείτω 2).

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ Βασιλέως.

Νόμοι.

Βασιλεύς ἐστιν ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις· μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, μήτε κατ' ἀντιπάθειαν τιμωρῶν, ἀλλ' ἀναλόγως ταῖς τῶν ἀρχομένων ἀρεταῖς, ὥσπερ τις ἀγωνοθέτης, τὰ βραβεῖα ἐξ ἴσου παρεχόμενος, μηδὲ κενὰς εὐεργεσίας εἰς βλάβην ἄλλων τισὶ χαριζόμενος 3).

Σκοπὸς τῷ βασιλεῖ τῶν τε μενόντων καὶ ὑπαρχόντων 4) δι' ἀγαθότητος ἡ φυλακὴ καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τρόπων καὶ ἐπιτηδεύσεων ἡ ἐπίκτησις 5).

Τέλος τῷ βασιλεῖ, τὸ εὐεργετεῖν· διὸ καὶ εὐεργέτης λέγεται· καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ, δοκεῖ κιβδηλεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα 6).

Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεὺς, καὶ ἐν θέῳ ζήλῳ περιβόητος 7).

ΚΕΦΑΛΑΙΟΝ ς'.

Πότε ὁ βασιλεὺς εἰς τὸ ἅγιον εἴσεισι θυσιαστήριον.

Συνόδου ἕκτης ξθ'.

Ὁ ξθ'. τῆς ἕκτης Συνόδου κανὼν, Μόνοις μὲν τοῖς ἱερεῦσι, φησὶν, ὁ τῆς Ἐκκλησίας θεσμὸς, τὸ ἅγιον ἀνῆκε θυσιαστήριον· ἡ δὲ ἀρχαία τῶν θείων Πατέρων παράδοσις, καὶ τοὺς βασιλέας

1) μή. Βασ. Α. ά. — 2) νά. Βασ. αὐτόθι. τὰ τελευταῖα οὐ κεῖται παρὰ Β. — 3) Ἐπαναγ. Τ. Β. κ. ά. — 4) ὑπαρχόντων δυνάμεων Β. Γ. καὶ 1340. ἄνευ δὲ τοῦ, δυνάμεων 1375. καὶ ε. — 5) αὐτόθι κ. 6'. — 6) αὐτόθι κ. γ'. — 7) αὐτόθι κ. έ.

εὐσεβείας ἀμειβομένη τε καὶ τιμῶσα, οὐκ ἀποκλείει τῆς εἰς τοῦτο παρόδου (ἅτε χριστοὺς 1) ὄντας Κυρίου, καὶ πατριάρχας προβάλλεσθαι εἰωθότας τῇ τῆς θείας ἐπικλήσει Τριάδος,) ἡνίκα μέντοι τὰ νενομισμένα καὶ μόνον δῶρα τῇ θείᾳ τραπέζῃ προσοίσειν μέλλουσι· λαϊκοῖς δὲ, τὰ ἔνδον τοῦ θυσιαστηρίου εἰσιτητὰ εἶναι παντάπασί γε ἀπείρηκεν. Οἵ γε μὴν Λατῖνοι, κατὰ πάσης ἐκκλησιαστικῆς θεσμοθεσίας ὁμόσε χωρεῖν προθέμενοι, οὐχ ὅπως τῇ τῶν λαϊκῶν ἀνδρῶν εἰσόδῳ, ἀλλὰ καὶ τῇ τῶν γυναικῶν τὸ θεῖον βεβηλοῦσι θυσιαστήριον. Εἰς τοσοῦτον δ' ἦκον παραπληξίας, ὥσθ' οἱ μὲν ἄνδρες, καὶ ἐν αὐτῷ καθῆσθαι οὐ φρίττουσιν, ἱσταμένων αὐτοῖς τῶν ἱερουργούντων· αἱ γυναῖκες δὲ, καὶ τὴν ἱερὰν περιΐσανται τράπεζαν ἀνερυθριάστῳ πρωσώπῳ, ἱερουργοῦντος τοῦ ἱερέως.

Συνόδου ἕκτης ξ'.

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι, ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου, μηδαμῶς ἐπὶ τούτῳ τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντίας. Ἡνίκα δ' ἂν βουληθεὶς προσάξαι δῶρα τῷ πλάσαντι κατὰ τὴν ἀρχαίαν παράδοσιν 2).

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι βασιλέα ὑβρίζειν οὐ δεῖ.

Ὁ πδ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ὅστις ὑβρίζει βασιλέα, φησὶν, ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω. Καὶ ὁ Μωσαϊκὸς γὰρ νόμος· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς, ὑποτίθεται. Καὶ Πέτρος, ἡ κορυφὴ τῶν Ἀποστόλων· Τὸν βασιλέα τιμᾶτε· καὶ Παῦλος ὁ μέγας, ὑπερεύχεσθαι κελεύει τῶν βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ πάντων, καὶ ταῦτα ἀπίστων· παρὰ τὸ δίκαιον δὲ προσθεὶς, (καὶ γὰρ αὐτὸν ἀμεταβλήτως τὸν ἱερὸν ἐξεθέμην κανόνα), τὴν

1) Χριστιανοὺς Β. — 2) Ὁ § οὗτος ἐκ τοῦ 1375. οὐ κεῖται δὲ παρὰ τοῖς λοιποῖς.

μὲν ἀπειοκυΐαν ὕβριν ἀνεῖλεν, οὐ μέντοι καὶ τὸν ὑπὲρ τοῦ δικαίου ἔλεγχον, ὅτε τούτων καθάπτοιτό τις, ἔστιν ἃ παρὰ τὸ προσῆκον δρώντων, κἂν εἰς ὕβριν αὐτοῖς οἱ ἔλεγχοι λόγοι λογίζωνται.

Νόμοι.

Ὁ τὸν βασιλέα ὑβρίζων οὐκ εὐθὺς τιμωρεῖται, οὔτε τι ἄλλο σκληρὸν ἢ τραχὺ ὑπομένει· ἢ γὰρ ἀπὸ κουφότητος εἶπε, καὶ περιφρονεῖται, ἢ ἐξ ἀνοίας, καὶ ἐλεεῖται, ἢ ὡς ἀδικούμενος, καὶ συγχωρεῖται· ἀναφέρεται δὲ τὰ περὶ τούτου τῷ βασιλεῖ, καὶ αὐτὸς ἐκ τῆς ποιότητος τοῦ προσώπου κρίνει, εἰ ὀφείλει συγχωρηθῆναι ἢ τιμωρηθῆναι 1).

Ὁ καθοσίωσιν πλημμελῶν, ἤτοι φατριάζων κατὰ βασιλέως, ξίφει τιμωρείσθω 2).

Πᾶς ὁ εὑρίσκων φλυαρίαν κατὰ βασιλέως ἐν χάρτῃ ἐσφραγισμένην ἢ ἀσφράγιστον, καὶ μὴ παραχρῆμα καίων, ἀλλὰ ἀναγινώσκων, ὑποκείσθω τιμωρίᾳ, ἧ τινι ὑπέκειτο καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν 3).

ΚΕΦΑΛΑΙΟΝ Ἡ.

Περὶ τῶν τοῦ γάμου βαθμῶν.

Ἀλλὰ γὰρ οὐκ ἄν τις οἶμαι τῶν εὖ φρονούντων, ἀωρίας ἡμᾶς γράψαιτο, κατά γε τὸ νῦν διεξιόντας καὶ τὰ τῶν λεγομένων τοῦ γάμου βαθμῶν, καὶ τῆς αὐτῶν συγγενείας τήν τε ἐγγύτητα καὶ ἀπόστασιν· ὅθεν δὴ τῶν συγκεχωρημένων οἱ τὴν κώλυσιν ἔχοντες σαφῶς διακρίνονται καὶ ἐλέγχονται. Τοὺς μὲν οὖν βαθμοὺς ἀπὸ μεταφορᾶς εἰρῆσθαι φασί τινες τῶν τῆς κλίμακος ἀναβαθμῶν· ὡς γὰρ δι' ἐκείνων ἡ ἄνοδος, καὶ ἡ κάθοδος γίνεται, οὕτω διὰ τῶν τῆς συγγενείας βαθμῶν, οἵ τε ἀνιόντες καὶ οἱ κατιόντες εὑρίσκονται· οἱ δὲ μὴ οὕτως ἔχοντες, ἐκ πλαγίου γνωρίζονται. Προβαίνειν μέντοι πεφύκασι κατὰ τὴν τῶν γεννήσεων τάξιν· ἑκάστην γὰρ γέννησιν βαθμὸν ἀποτελεῖν ἕνα νενόμισται.

1) κ. ιγ΄. Βασ. Ξ΄. λς΄.—2) σχολ. ἐπὶ ιθ΄. Βασ. Ξ΄. λς΄. Προχ. Νόμ. Π. Αθ΄. κ. 10 — 3) κ. ά. Βασ. Ξ΄. ξγ΄.

Τούτων οἱ μὲν εἰς πλάτος, οἱ δὲ εἰς βάθος ἐκτείνονται· καὶ οἱ μὲν τοῦ πλάτους, τὴν αὐτὴν πρὸς ἀλλήλους ἀποσώζουσι τάξιν· υἱοὶ μὲν γὰρ ὄντες, τὸν πρῶτον ἅπαντες πληροῦσι βαθμόν· ἀδελφοὶ δὲ, πρὸς ἀλλήλους τὸν δεύτερον, κἂν ἐπέκεινα ὦσι τῶν δέκα· διότι τοὺς γαμικῶς συναπτομένους ἐκ τοῦ αὐτοῦ αἵματος, ἀνάγκη πᾶσα μὴ πλείους εἶναι τῶν δύο· ταύτῃ τοι καὶ τούσδε μόνους ἐκ τῶν ἀδελφῶν θεωροῦντες, δευτέρου φαμὲν εἶναι βαθμοῦ, κατὰ τὴν διπλῆν αὐτῶν πάντως γέννησιν· ὡσαύτως οἱ ἀνεψιοὶ τὸν τρίτον ἐπέχουσι, καὶ οἱ πρωτεξάδελφοι τὸν τέταρτον, καὶ τὸν ἕκτον οἱ δισεξάδελφοι, καὶ ἐφεξῆς ἀναλόγως. Οἱ δὲ κατὰ βάθος, οὐ πάντες τὸν αὐτὸν βαθμὸν ἔχουσιν, ἀλλ' οἱ μὲν υἱοὶ τὸν πρῶτον, οἱ ἔγγονοι τὸν δεύτερον, καὶ οἱ δισέγγονοι τὸν τρίτον, καὶ ἐφεξῆς ὁμοίως· παρ' ὃ καὶ οὐ κατὰ τὰς γενέσεις, ὥς γε ἔδοξε τοῖς ἀρχαιοτέροις, ἀλλὰ κατὰ τὴν οἰκειότητα καὶ τὴν τοῦ γένους ἐγγύτητα, καὶ τὴν ἀπόστασιν αὖθις πρὸς τὴν πρώτην τοῦ γένους ἀρχὴν, κάλλιον τοὺς βαθμοὺς ὀνομάζεσθαι· μεταξὺ γὰρ πατρὸς καὶ υἱοῦ, μικρά τις διάστασις· πάππου δὲ καὶ ἐγγόνου, μείζων· δισεγγόνου δὲ πρὸς τὸν αὐτὸν, ἔτι μείζων· οὕτω σχέσεως ἔχουσι καὶ οἱ ἐκ πλαγίου.

Διαίρεσις τῆς συγγενείας.

Γενικὸν δὲ ὄνομα οὖσα ἡ συγγένεια, εἰς δύο κατὰ πρώτην διαίρεσιν τέμνεται, εἴς τε τὸ φύσει, καὶ τὸ θέσει· καὶ φύσει μὲν συγγενής ἐστι, πατὴρ τυχὸν, υἱὸς, μήτηρ, θυγάτηρ, ἀδελφὸς, ἀνεψιὸς, ἐξανεψιὸς, ὁ ἐκ τοῦ ἀνεψιοῦ γεννηθεὶς, καὶ ὅσα τοιαῦτα· θέσει δὲ, πενθερὸς, γαμβρὸς, γυναικάδελφος, θετὸς υἱός· τὸ φύσει δὲ πάλιν ὑποδιαιρεῖται εἰς δύο, εἴς τε τὸ μετὰ γάμου νόμιμον, καὶ τὸ ἐκ πορνείας γεγονός· τὸ δὲ θέσει ὑποδιαιρεῖται καὶ αὐτὸ εἴς τε ἀγχιστείαν, καὶ θέσιν· καὶ ἔστιν ἀγχιστεία μὲν, ἡ ἐξ ἐπιγαμβρίας συγγένεια· ἀγχιστεία δ' ἐστὶν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημένων συγγενείας ἐκτός 1)· θέσις δὲ, ἡ χωρὶς σαρκικῆς συναφείας υἱοθεσία.

Περὶ ἀδελφοποιΐας.

Ἡ μέντοι ἀδελφοποιΐα οὐ νόμιμόν ἐστιν· ἄπαιδες μὲν γὰρ

1) ἀγχιστεία δ' ἐστὶν . . . ἐκτός. ἐκ τοῦ 1375.

ὄντες, ἐσοφισάμεθα τὴν υἱοθεσίαν εἰς διαδοχὴν τῶν πραγμάτων· τὴν δὲ ἀδελφοποιΐαν οὐδεμία εἰσάγει εὔλογος πρόφασις· τὰ μὲν οὖν τὸ εὔλογον ἔχοντα, καὶ ὁ νόμος ἐδέξατο· τὰ δὲ μὴ τοιαῦτα, οὐ παρεδέξατο.

Πάλιν καθ' ὑποδιαίρεσιν, τὰ ἐξ ἀγχιστείας ἢ ἐκ δύο γενῶν συνίσταται, ὡς θεῖος καὶ ἀνεψιὸς συναφθέντες θείᾳ καὶ ἀνεψιᾷ, ἢ δύο πρωτεξάδελφοι, δυσὶ πρωτεξαδέλφαις, καὶ καλεῖται ἀγχιστεία· ἢ παρεμβέβληται καὶ ἕτερον πρόσωπον μεταξὺ τῶν δύο τούτων γενῶν, καὶ καλεῖται ἐξ ἀγχιστείας τριγένεια· εἰσὶ δὲ ταῦτα καὶ κωλυτὰ καὶ ἀκώλυτα, ὡς ἐν τοῖς ἑπομένοις δειχθήσεται.

Ἡ δὲ θέσις ἢ κατὰ υἱοθεσίαν γίνεται διαδοχῆς χάριν, ἢ κατὰ ἀναδοχὴν τὴν ἀπὸ τοῦ θείου βαπτίσματος στηριγμοῦ καὶ διδασκαλίας, ἔτι δὲ καὶ μαρτυρίας ἕνεκα· ἀλλ' ἡ μὲν υἱοθεσία καὶ εἰς κληρονομίαν εἰσέρχεται· διὰ τοῦτο γὰρ καὶ ἐγεγόνει· ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος εἰς τοὺς γαμικοὺς μόνους ζητεῖται βαθμούς· καὶ αὕτη μὲν ἡ καθολικωτέρα τῆς συγγενείας διαίρεσις· ἐφεξῆς δὲ περὶ τῶν κατὰ μέρος ἐροῦμεν, καὶ πρῶτόν γε τῶν ἐξ αἵματος.

Περὶ τῆς ἐξ αἵματος συγγενείας.

Διαιρεῖται τοίνυν τὸ ὁμογενὲς καὶ ἐξ αἵματος, εἴς τε ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. Καὶ ἀνιόντες μέν εἰσιν, οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, καὶ οἱ τούτων ἀνωτέρω· κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννηθέντες, οἷον υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, δισέγγονος, δισεγγόνη, καὶ οἱ τούτων ἐφεξῆς· ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννηθέντες, ὑπὸ δὲ τὴν αὐτὴν καὶ μίαν ἀρχὴν καὶ γονὴν ἡμῖν ἀναγόμενοι, οἷον, ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεῖα, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ τούτων ἐπέκεινα, οἱ ἀπὸ λοξότητος δηλαδὴ συγγενεῖς.

Περὶ ἀνιόντων καὶ κατιόντων.

Ἀλλ' οἱ μὲν ἀνιόντες πρὸς τοὺς κατιόντας, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων, ἐπ' ἄπειρον κωλύονται· οὐ γὰρ οἷόν τε τὸν πάππον

τῇ αὐτοῦ ἐγγόνῃ συναφθῆναι· ἄπειρον δὲ φαμὲν κατὰ τὸ δυνατὸν, οὐ τὸ φύσει ἄπειρον· οὐ γὰρ ἀθάνατα τὰ γένη.

Περὶ τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

Τοῖς δὲ ἐκ πλαγίου, ὁ ὄγδοος ἐφίησι τὸν γάμον βαθμός. τοῦ ζ'. τοῦτον παντάπασιν εἴργοντος· οὐ γὰρ δυναταί τις τὴν τοῦ δισεξαδέλφου θυγατέρα γυναῖκα λαβεῖν· ἀλλὰ πρότερον μὲν τὸ τοῦ ζ'. βαθμοῦ ἐξ αἵματος, ἐρωτώμενον μὲν ἐκωλύετο, ὁπωσδήποτε δὲ προβαῖνον οὐκ ἐκωλύετο μὲν, ἐπετιμᾶτο δὲ, διὰ τὸ σιωπηθῆναι τῷ νόμῳ, μέχρι τοῦ ς'. κωλύοντι μόνον.

Νόμος.

Φησὶ γάρ· Τὴν τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν εἰς γάμον οὐ θέμις, οὐδὲ τὴν τούτων ἐγγόνην, τετάρτου οὖσαν βαθμοῦ· οὐδὲ τὴν θυγατέρα τοῦ θείου, ἤγουν ἐξαδέλφην· οὐδὲ ὁ υἱός μου τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι 1).

Ἐπεὶ δέ τινες τῷ βάρει τῶν ἐπιτιμίων κρύφα τοὺς τοιούτους ἐπετέλουν γάμους, ἀνηνέχθη τὰ περὶ τούτου τῇ Συνόδῳ, Λουκᾶ τοῦ θείου τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, καὶ ἐξ ἐκείνου ὥρισε καὶ ἔστησεν ἡ ἁγία Σύνοδος, μηδόλως τὸν τοιοῦτον προβαίνειν ἢ ἵστασθαι γάμον, ἀλλ' ἐρωτώμενον μὲν κωλύεσθαι, προβαίνοντα δὲ, διασπᾶσθαι, καὶ τοὺς πράξαντας ἀφορίζεσθαι, καὶ τὸν ἱερολογήσαντα ἱερέα, εἰ μὴ ἀγνοίᾳ ἐκλάπη, καθαιρεῖσθαι· ἐπεκύρωσε δὲ τὴν Συνοδικὴν ταύτην πρᾶξιν καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουὴλ τοῦ Πορφυρογεννήτου· ταύτῃ τοι καὶ οὐκ ἐφεῖταί τινι τὴν τοῦ δισεξαδέλφου αὐτοῦ θυγατέρα λαβεῖν, ἀνεψιὰν τούτου τυγχάνουσαν· τὸ γὰρ φύσει δίκαιον, καὶ εὐπρεπὲς, καὶ σεμνὸν, ὥσπερ τινὰ χαλινὸν, ὁ νόμος τοῖς γάμοις ἐπέθηκεν.

Περὶ τοῦ ἡ. βαθμοῦ ἐξ αἵματος.

Εἴς γε μὴν τὸν ἡ. βαθμὸν προβαίνων ὁ ἐξ αἵματος γάμος, συγκεχώρηται· τὴν γὰρ τρισεξαδέλφην, ἢ τὴν ἐγγόνην τοῦ δισ-

1) ά. Βασ. κή, έ.

ἐξαδέλφου λαμβάνειν, οὐδ' ἠντιναοῦν ἔχει κώλυσιν. Πλατῦναι γὰρ οἱ πολιτικοὶ νόμοι τὴν τῶν ὑπηκόων βουλόμενοι γνησιότητα, καὶ μὴ περὶ μόνην περικλείεσθαι τὴν συγγένειαν, τοὺς μεταξὺ τῶν ἐκ πλαγίου διεκώλυσαν γάμους, ὡς ἂν τοῖς ἔξωθεν τῆς ἑαυτῶν συγγενείας ἐξ ἀνάγκης συναπτόμενοι, τὴν πρὸς αὐτοὺς σχοῖεν γνησιότητα καὶ εὔνοιαν 1).

Περὶ τῶν ἐκ πορνείας γεννωμένων.

Τὸ δὲ ἐκ πορνείας οὐκ ἔχει ἅπαν ὄνομα ἓν, ἀλλ' ὑποδιαιρεῖται καὶ τοῦτο· εἰ μὲν γὰρ ἐκ γυναικὸς συνοικούσης τινὶ φανερῶς καὶ διόλου γέγονε παῖς, φυσικὸς οὗτος ὀνομάζεται, καὶ ἔχει δευτέραν τάξιν ὡς πρὸς τὸ φύσει νόμιμον, καὶ προτιμᾶται εἰς κληρονομίαν καὶ τῶν ἀνιόντων, οὐχ ὅπως τῶν ἐκ πλαγίου· εἰ δὲ φανερὸς μέν ἐστιν, οὐ μέντοι ἐκ συνοικούσης τῷ ἀνδρὶ γυναικὸς, ὀνομάζεται νόθος· εἰ δὲ παντελῶς ἀφανὴς, λέγεται σκότιος, ὥς φησιν Ὅμηρος,

Σκότιον δ' ἐγείνατο μήτηρ,

περὶ οὗ λόγος ἡμῖν οὐδείς· οὔτε γὰρ εἰς γαμικὰ συναλλάγματα, οὔτε μὴν εἰς κληρονομίαν ἐν τοῖς τοιούτοις ἐστὶν ἀμφισβήτησις.

Νόμος.

Φησὶ δὲ καὶ ὁ νόμος· Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει 2)· καί· Ὁ πορνεύσας μετά τινος γυναικὸς, εἴπερ ἐστὶ φανερὰ ἡ πορνεία, τὴν μὲν μητρυιὰν αὐτῆς κωλύεται λαβεῖν, λαμβάνει δὲ τὴν δισεξαδέλφην αὐτῆς.

Περὶ τῶν ἐξ ἀγχιστείας.

Καὶ αὕτη μὲν ἡ τῶν ἐξ αἵματος· τῶν δὲ ἐξ ἀγχιστείας, ποικιλοτέρα ἡ εὕρεσις· ἐν τούτοις γὰρ βαθμῶν ποσότητα ζητεῖν οὐδόλως τοῖς παλαιοῖς ἔδοξε, ἀλλὰ τὰ συγκεχυμένα κατὰ τὴν τοῦ γένους κλῆσιν καὶ ἀπρεπῆ ῥητῶς κωλύσαντες, τὰ λοιπὰ ἀνέγκλητα εἴασαν· οἱ δὲ νεώτεροι καὶ βαθμοὺς αὐτοῖς ἐπενόη-

1) τὰ ἀπὸ τοῦ πλατῦναι . . . καὶ εὔνοιαν, οὐ κεῖται ἐν τοῖς ὑπ' ὄψιν ἡμῶν Κώδιξιν· εἴληπται δὲ ἐκ τοῦ Β. — 2) ζ΄, Βασ. ΚΗ΄, ε.

σαν, καὶ τὰ ὑπὲρ τὸν ἕκτον βαθμὸν προβαίνειν δεδώκασι, καί τοι ῥητῶς εὑρίσκομεν καὶ ἕκτον συγκεχωρημένον, καὶ ἕβδομον κεκωλυμένον, τὸν μὲν, ὡς ἀσύγχυτον, τὸν δὲ, ὡς συγκεχυμένον· ὥστε οὐ χρὴ βαθμοὺς παρεισάγειν εἰς ταῦτα· ἀλλ' ὃ μὲν ὁ νόμος ῥητῶς ἐκώλυσε, φεύγειν· ὃ δὲ μὴ ἐκώλυσε, παραδέχεσθαι· ἐκώλυσε δὲ ὁ μὲν παλαιότερος νόμος τὰ προσεχέστερα καὶ ἐγγύτερα.

Νόμος.

Φησὶ γάρ· Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη, καὶ ἡ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω· καὶ νύμφη λέγεται ἡ τοῦ υἱοῦ καὶ τοῦ ἐγγόνου, καὶ ἡ τοῦ προεγγόνου γαμετή· καὶ προγονὴ λέγεται ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐγγόνη, καὶ προεγγόνη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω 1)· οὐδὲ τὴν μητρυιάν μου, εἰ καὶ πολλὰς ἔσχεν ὁ πατήρ μου, ἐπειδὴ μητέρων ἔχουσι τάξιν 2)· οὔτε μητρυιὰ τὸν γενόμενον ἄνδρα τῆς προγονῆς μου, οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός 3). Ὁ δὲ τοῦ Σισιννίου τόμος, δύο ἀδελφοὺς ἐκώλυσε λαμβάνειν θείαν καὶ ἀνεψιὰν, καὶ ἀνάπαλιν· ἔτι δὲ δύο ἀδελφοὺς λαμβάνειν δύο πρωτεξαδέλφας· ἐνθεωρεῖται δὲ τῷ μὲν πρώτῳ ὁ πέμπτος βαθμὸς, τῷ δὲ δευτέρῳ, ὁ ἕκτος. Μέχρι μὲν οὖν τοῦ πέμπτου βαθμοῦ, πάντῃ τὸ ἐξ ἀγχιστείας κεκώλυται, εἰ δεῖ κἀν τούτοις βαθμοὺς ἀριθμεῖν· τὰ δὲ τοῦ ἕκτου βαθμοῦ, εἰ μὲν αὐτὰ οὐκ ἔχει σύγχυσιν περὶ τὰ τοῦ γένους ὀνόματα, οὐ κωλύεται· εἰ δέ τις ὁρᾶται σύγχυσις, εἴργεται.

Βαθμὸς ἕκτος ἀκώλυτος.

Καὶ δὴ, τὸν μὲν ἐξ ἑνὸς καὶ πέντε βαθμῶν γινόμενον γάμον, οἱ μὲν ἄλλοι πάντες κωλύουσιν· ὁ δέ γε Θεσσαλονίκης Μιχαὴλ ὁ Χοῦμνος, ἐν ἰδίῳ ψηφίσματι, ἀκώλυτον ἀποφαίνει, οἷον, εἰ πατὴρ καὶ υἱὸς, πρώτου ὄντες βαθμοῦ, συναφθεῖεν μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, πέμπτου οὔσαις βαθμοῦ.

Ἕκτος κεκωλυμένος.

Εἰ δὲ ὁ ζητούμενος ἕκτος ἐξ ἀγχιστείας βαθμὸς, ἐκ δύο σύγ-

1) 5'. Βασ. ΚΗ', ε. — 2) ά, Βασ. αὐτόθι. — 3) ά, Βασ. αὐτόθι.

κειται καὶ τεσσάρων, εἰ μὲν γίνεται σύγχυσις, ὁ δεύτερος κεκώλυται· οὐ γὰρ δυνατὸν δύο αὐταδέλφους, δυσὶ συναφθῆναι πρωτεξαδέλφαις, ἢ τὸ ἀνάπαλιν· γίνονται γὰρ ἀντὶ αὐταδέλφων σύγγαμβροι, καὶ συγχέονται ἐντεῦθεν τὰ τῆς συγγενείας ὀνόματα· φησὶ δὲ ὁ ἱερὸς καὶ μέγας Βασίλειος· Ἐν οἷς τὰ τοῦ γένους ὀνόματα συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος.

Ἕκτος ἀκώλυτος.

Εἰ δὲ οὐ γίνεται σύγχυσις, καὶ ὁ ἕκτος ἀκώλυτός ἐστιν· πάππον γὰρ καὶ ἔγγονον ἀκώλυτόν ἐστι συναφθῆναι μεγάλῃ θείᾳ καὶ ἀνεψιᾷ· ἕκτου γὰρ καὶ τοῦτο βαθμοῦ, ἀλλ' ἔστιν ἀσύγχυτον· πάλιν γὰρ μετὰ τοὺς γάμους πάππου καὶ ἐγγόνου ἀποσώζουσι τόπους· τὴν γὰρ μεγάλην θείαν, καὶ τὸν μέγαν θεῖον, ἤτοι τοῦ πάππου τὴν ἀδελφὴν, καὶ τὸν ἀδελφὸν, μάμμην καὶ πάππον οἱ πολλοὶ ὀνομάζουσι· διὰ τοῦτο οὔτε ἀπὸ τοῦ νόμου τὸ παρὸν κεκώλυται ζήτημα, καὶ τῷ τόμῳ παρεῖται τοῦ Σισιννίου, ὡς ἀκώλυτον· ἐκεῖνο δὲ, ὡς σύγχυσιν ἔχον, κεκώλυται.

Ἕκτος ἀκώλυτος.

Εἰ δὲ ἐκ τριῶν ἐστι καὶ τριῶν, εἰ μὲν οὐκ ἔχει σύγχυσιν, ἀκώλυτόν ἐστιν· οἷον, ὅταν μὲν θεῖος καὶ ἀνεψιὸς, θείαν λάβῃ καὶ ἀνεψιὰν, οὐδεμία γίνεται σύγχυσις· πάλιν γὰρ θείου καὶ ἀνεψιοῦ σώζουσι τόπον· διὰ τοῦτο καὶ ἀκώλυτον εἶναι πανταπασιν, ἥ τε τοῦ ῥηθέντος τόμου σιωπὴ, οὐ μὴν ἀλλὰ καὶ θεσπίσματα βασιλικὰ, καὶ πράξεις συνοδικαὶ πᾶσιν ἐγνώρισαν.

Ἕκτος κεκωλυμένος.

Ὅταν δὲ ὁ μὲν θεῖος προλαβὼν ἔσχε τὴν ἀνεψιὰν, ὁ δὲ ἀνεψιὸς βούλεται συνοικῆσαι τῇ θείᾳ, τὸ ἐπιγινόμενον διὰ τὴν σύγχυσιν κεκώλυται· γίνονται γὰρ ὡς ἀπὸ τῶν γάμων, ὁ μὲν θεῖος ἀνεψιὸς, ὁ δὲ ἀνεψιὸς θεῖος· καὶ ἔστι τοῦτο σαφὴς τῶν ὀνομάτων τοῦ γένους σύγχυσις.

Ἕβδομος κεκωλυμένος.

Ἀλλὰ καὶ ὁ μέχρις ἑβδόμου βαθμοῦ θεωρούμενος ἐξ ἀγχιστείας γάμος, εἰ μὲν ἐξ ἑνὸς εἴη καὶ ἕξ, κεκώλυται· οὐ γὰρ οἷόν

τε πατέρα καὶ υἱὸν δισεξαδέλφαις συναφθῆναι δυσί· γίνονται γὰρ, ἀντὶ πατρὸς καὶ υἱοῦ, σύγγαμβροι.

Ἕβδομος ἀκώλυτος.

Εἰ δὲ ἐκ δύο καὶ πέντε, οὐδαμῶς· εἴτε γὰρ πάππος καὶ ἔγγονος, εἴτε δύο αὐτάδελφοι συναφθεῖεν μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, ὁ δεύτερος γάμος ἀνέγκλητός ἐστιν.

Ἕβδομος ἀκώλυτος.

Εἰ δὲ ἐκ τριῶν καὶ τεσσάρων, πάλιν, εἰ μέν ἐστιν ἀσύγχυτον, συγκεχώρηται· θεῖος γὰρ καὶ ἀνεψιὸς δύο πρωτεξαδέλφας ἀκωλύτως λαμβάνουσιν.

Ἕβδομος κεκωλυμένος.

Εἰ δὲ σύγχυσιν ὁρᾶται ἔχον, οὐ δῆτα· πάππος γὰρ καὶ δισέγγονος, δύο πρωτεξαδέλφας λαβεῖν εἴργονται, ἵνα μὴ καὶ οὗτοι σύγγαμβροι λογισθεῖεν· ἀλλ' ὁ μὲν προλαβὼν μένει ἀκίνητος, κωλύεται δὲ ὁ ἐπιγινόμενος, ἢ προβὰς διασπᾶται· τὰ δὲ ὑπὲρ τὸν ἕβδομον ἐξ ἀγχιστείας ἀπολυπραγμόνητά εἰσι καὶ ἀκώλυτα, ὥσπερ ἐν τοῖς ἐξ αἵματος τὰ ὑπὲρ τὸν ὄγδοον. Οὐ καλῶς δέ τισιν εἴρηται, ὅτι τὰ εὑρισκόμενα ἐξ ἀγχιστείας ἕκτου βαθμοῦ, ὅτε μὲν ἐξ ἴσης εἰσὶν, ὡς ἐξ ἑκατέρου μέρους τρεῖς εἶναι βαθμοὺς, ἀκώλυτά εἰσι· κεκωλυμένα δὲ, ὅτε εἰσὶν ἄνισα· ἐκ γὰρ τῶν εἰρημένων ἀνωτέρω δέδεικται, μὴ τὸ ἴσον καὶ τὸ ἄνισον, ἀλλὰ τὸ συγκεχυμένον καὶ ἀσύγχυτον, ἢ ἐφιέναι, ἢ ἀπείργειν τὸ συνάλλαγμα.

Ὅτι οὐ δεῖ τὸν αὐτὸν δύο δευτέρας ἐξαδέλφας λαβεῖν.

Κεκώλυκεν ἡ Ἐκκλησία τὸν αὐτὸν καὶ ἕνα δύο δευτέρας ἐξαδέλφας λαμβάνειν· οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας, ὡς οἴονταί τινες, συνάγεται βαθμὸς, ἀλλὰ ἕκτος, διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικός· τοῦτο γὰρ ζητηθὲν ἐπὶ τῶν ἡμερῶν τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς Ἐκκλησίας· προῦβη δὲ καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουὴλ, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον 1). Διὰ τί δὲ τὰ ἐξ ἀγχιστείας, εἴτουν διγενείας, εἰς τὸν ἕβδομον λύεται βαθμόν;

1) Νομικὰν. τόμ. Α'. σελ. 284.

τὸ ἓν, ἢ φύσει ἐστὶν, ἢ θέσει· καὶ φύσει μὲν, ὡς εἷς ἄνθρωπος· θέσει δὲ, ὡς ὁ ἀνὴρ μετὰ τῆς νομίμου γυναικὸς, οὗς σχέσις ἥνωσε καὶ συνάφεια σαρκικὴ, ὡς εἴρηται· Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν 1)· ὅταν μὲν οὖν ἐξ αἵματος ᾖ ἡ οἰκείωσις καὶ γένους ἑνὸς, τὸ οἰκεῖόν τε καὶ τὸ ἓν, φύσει ἐστίν· ὅταν δὲ ἐξ ἀγχιστείας καὶ δύο γενῶν, θέσει τὸ ἓν, καὶ ἡ οἰκειότης αὐτοῖς οὐ κατὰ τὴν ἐξ αἵματος οἰκειότητα· διὸ καὶ τῷ ὑποβεβηκότι βαθμῷ, καὶ πρὸ τοῦ ὀγδόου, εὐθὺς ἡ τοιαύτη οἰκειότης τε καὶ ἕνωσις λύεται· τὰ γὰρ μᾶλλον τὴν ἕνωσιν ἔχοντα, πλείονος καὶ τῆς ἀποστάσεως πρὸς τὴν διάλυσιν δέονται, ὥσπερ τὰ ἧττον ἡνωμένα, ἐλάττονος.

Περὶ τῶν ἐκ τριγενείας.

Τὰ δὲ ἐκ τριγενείας γαμικὰ ζητήματα, εἰσὶ μὲν καὶ ταῦτα ἐξ ἀγχιστείας, ἀλλὰ τῇ τοῦ τρίτου γένους ἐπιπλοκῇ ῥᾷον ἢ τὰ ἐκ δύο συμπεπλεγμένα γενῶν λύονται· ὥσπερ γὰρ ταῦτα δυσὶ βαθμοῖς ὑποβέβηκε τῶν ἐξ αἵματος, (τὰ μὲν γὰρ εἰς τὸν ὄγδοον, τὰ δὲ ἐξ ἀγχιστείας ἐκ δυοῖν γενοῖν ἔσθ' ὅτε καὶ εἰς τὸν ἕκτον λύονται), οὕτω πάλιν τὰ ἐκ τριγενείας, δυσὶν ὑποβιβασθέντα βαθμοῖς τῶν ἐκ δύο γενῶν, τὴν ἀρχὴν τῆς λύσεως κατὰ τὸν τέταρτον εὐθὺς λαμβάνει βαθμὸν, εἰ καὶ πολλῷ μᾶλλον εἰς ταῦτα βαθμοὺς λαμβάνειν οὐ δεῖ, ἀλλὰ ζητεῖν, εἰ οὐκ ἐκωλύθη παρὰ τοῦ νόμου ῥητῶς. Τοῖς δὲ μάλιστα ἀκωλύτοις ὁ τέταρτος ἐπακολουθεῖ βαθμός.

Τέταρτος βαθμὸς ἀκώλυτος.

Οἷον τὸ ἐπὶ τοῦ πατριάρχου Στυπῆ ἀπορηθέν τε ὁμοῦ καὶ λυθέν· Κωνσταντῖνός γάρ τις ἔλαβεν εἰς γυναῖκα Θεοδώρου τινὸς αὐταδέλφην Ἄνναν· θανούσης ἐκείνης, ἔλαβεν εἰς δεύτερον συνοικέσιον τὴν τοῦ Θεοδώρου γυναικαδέλφην Εἰρήνην, ὡς γενέσθαι τὸν Κωνσταντῖνον καὶ γαμβρὸν τοῦ Θεοδώρου καὶ σύγγαμβρον· εἰσὶ δὲ ἐν τούτῳ βαθμοὶ τέσσαρες· ὁ Θεόδωρος γὰρ καὶ ἡ Ἄννα, βαθμοῦ δευτέρου· ἡ γυνὴ τοῦ Θεοδώρου καὶ ἡ Εἰρήνη, βαθμοῦ δευτέρου, ὁμοῦ τέσσαρες· ὁ μὲν γὰρ νόμος δύο

1) Γεν. Β΄. 24.

μόνα ἐκ τριγενείας ἐκώλυσεν, ἃ καὶ ἑνὸς μόνου βαθμοῦ τυγχάνουσι, καὶ οὐ πλείονος.

Νόμος.

Οἷον, ὅτι οὐ δύναμαι λαβεῖν τὴν ποτὲ γυναῖκα τοῦ προγόνου μου, οὐδ' ἡ μητρυιὰ λαβεῖν τὸν ποτὲ ἄνδρα τῆς προγόνης αὐτῆς 1), κἂν τούτοις γὰρ τριγένεια ἐστίν· ἀλλ' ἐπεὶ ὁ πρόγονος καὶ ἡ προγόνη υἱοῦ ἢ θυγατρὸς λόγον ἐπέχουσι πρὸς τὸν πατρῷον, ἢ τὴν μητρυιὰν, καὶ ἡ γυνὴ ἢ ὁ ἀνὴρ αὐτῆς, νύμφης ἢ γαμβροῦ, ἀθέμιτα τὰ τοιαῦτα τυγχάνουσι συνοικέσια· τὰ γὰρ ἄκρα δύο γένη ὁ ἀνὴρ καὶ ἡ γυνὴ, βαθμὸν οὐκ ἔχουσιν οὔτε πρὸς ἄλληλα, οὔτε πρὸς τὸ μέσον γένος· τὴν γὰρ ἀνδρὸς μετὰ γυναικὸς συνάφειαν εἰς βαθμὸν οὐκ εἰσάγομεν, ἀλλ' ἓν μὲν εἶναι ταύτην λογιζόμεθα, ὅτε καθ' ἑαυτὴν ὁρᾶται· καὶ γὰρ ἡ τοῦ ἀδελφοῦ μου γυνὴ, διὰ τὴν πρὸς αὐτὸν ἄκραν ἕνωσιν, δευτέρου μοι ἐστὶ βαθμοῦ, ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν ἐνουμένη 2)· ὅτε δὲ πρὸς ἕτερον συγγενικὸν αὐτῆς πρόσωπον ὁ βαθμὸς ζητεῖται, οὐχ οὕτως· ἡ γὰρ ἀδελφὴ τῆς νύμφης, πρὸς μὲν αὐτὴν, δευτέρου ἐστὶ βαθμοῦ, πρὸς ἐμὲ δὲ τετάρτου· καὶ ἡ αὐτῆς θεία, πρὸς ἐκείνην μὲν τρίτου, πρὸς ἐμὲ δὲ πέμπτου· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τῶν οὐκ ἐνδεχομένων γάρ ἐστιν, ὥσπερ τὸν ἄνδρα, οὕτω δὴ καὶ τὸν τούτου ἀδελφὸν, σάρκα λογίσασθαι μίαν μετὰ τῆς νύμφης, καὶ δι' ἐπινοίας ἐπίνοιαν συνάψαι παρὰ τὴν τοῦ νόμου δύναμιν· οἱ γὰρ ἐκ πλαγίου πρῶτον βαθμὸν οὐκ ἔχουσιν, ἀλλ' ἐκ τοῦ δευτέρου ἄρχονται· ὁ μὲν οὖν νόμος τὰ ἐκ τριγενείας πρώτου βαθμοῦ μόνα κεκώλυκεν, ὥσπερ εἴρηται· ἡ δὲ κρατοῦσα συνήθεια καὶ τὰ παρὰ ταῦτα, καὶ ὑπὲρ τὸν πρῶτον βαθμὸν ἐκ τριγενείας ὄντα, ἀκώλυτα οὐκ ἔχει.

Τρίτος ἀκώλυτος.

Οἷον, ἔσχε τις γυναῖκα· χρόνῳ δ' ὕστερον, ἐκείνης θανούσης, τὴν γυναῖκα τοῦ θείου αὐτῆς εἰς δεύτερον ἔλαβε συνοικέσιον· ἄλλος τὴν προγόνην τοῦ γυναικαδέλφου αὐτοῦ ἔλαβεν· ἐν τούτοις γὰρ βαθμοὶ μὲν ἀναφαίνονται τρεῖς, λύονται δὲ ὅμως κατὰ

1) γ'. Βασ. ΚΗ', ί. — 2) συνημμένη Β.

τὴν συνήθειαν· ἡ μέντοι ἀκρίβεια, ὥσπερ εἴπομεν, τὸν τέταρτον ἐν τούτοις βαθμὸν ἀπαιτεῖ· δεῖ γὰρ τὴν οἰκειότητα τῆς ἀγχιστείας πλαγιασθῆναι μικρὸν, καὶ τηνικαῦτα ἔσται θεμιτὸς ὁ γάμος.

Τέταρτος.

Οἷον, ὅτι τοῦ γυναικαδέλφου μου ἡ γυνὴ προσεχῶς ᾠκείωται πρὸς τὸ μέσον γένος, ὥσπερ κἀγὼ πρὸς αὐτόν· ὁ οὖν ἡμέτερος ἀδελφὸς δύναται ταύτην ἀμέμπτως λαβεῖν, θανόντος τοῦ γυναικαδέλφου μου, ἢ ἐγὼ τὴν ἐκείνης ἀδελφήν, αὐτὴν δὲ οὐ θέμις λαβεῖν.

Τέταρτος.

Πάλιν ἔλαβον εἰς τὴν ἀδελφήν μου γαμβρὸν, οὗ τὴν ἐπ᾽ ἀδελφῷ ποτὲ νύμφην αὐτὸς ἔλαβον εἰς γυναῖκα, καὶ ἔστιν ἀκώλυτον, ἐπεὶ καὶ τετάρτου βαθμοῦ εὑρίσκεται, καὶ μακρύνεται μικρὸν καὶ τῆς οἰκειότητος τοῦ μέσου γένους· τὸ γὰρ πρὸς αὐτὸ προσεχῶς συναπτόμενον πρόσωπον, ἡ ἀδελφή μου ἐστὶν, ἐγὼ δὲ ἐκ πλαγίου, καὶ μικρὸν ἀπωτέρω τοῦ μέσου.

Τέταρτος.

Πάλιν ἐπὶ τῇ θυγατρὶ ἐγένετό μοι γαμβρός· τούτου τὴν ποτὲ μὲν νύμφην ἐπ᾽ ἀδελφῷ λαβεῖν με εἰς γυναῖκα οὐ θέμις, ὡς προσεχῶς συναπτομένην πρὸς τὸ μέσον γένος· τὴν δὲ αὐτῆς ἀδελφὴν, οὐκ ἀθέμιτον.

Ἀλλὰ καὶ γαμβρὸς, καὶ γυναικάδελφος χηρεύσαντες, θείαν καὶ ἀνεψιὰν οὐδαμῶς λαμβάνουσιν· οὗ δὲ τετελεύτηκεν ἡ γυνὴ, λαμβάνειν τούτῳ ἐφεῖται τὴν τοῦ συγγάμβρου αὐτοῦ ἀδελφήν.

Ἀλλὰ δὴ καὶ τὴν θυγατέρα τῆς δισεξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικὸς, ἔτι δὲ καὶ τὴν μικρὰν θείαν τῆς προτέρας αὐτοῦ γυναικὸς, ἤτοι τὴν πρωτεξαδέλφην τῆς πενθερᾶς αὐτοῦ 1).

Κεκώλυται δὲ λαβεῖν τὴν θυγατέρα τῆς πρωτεξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικός.

---

1) μικρὰν θείαν τῆς προτέρας αὐτοῦ γυναικὸς οὐ κεῖται ἐν 1373 καὶ Γ. ἀλλ᾽ ἐν 1340 Β. καὶ Ε.

Δύο δὲ ἀδελφῶν γυναικάδελφον καὶ γυναικαδέλφην συνάπτεσθαι θεμιτόν.

Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Λέοντος τοῦ Στυπῆ ἐφίησι λαβεῖν γαμβρὸν καὶ γυναικάδελφον δύο ἀδελφὰς, οἷα πέμπτου γινομένου βαθμοῦ.

Τὸ δὲ αὐτὸ ψήφισμα, ἔτι δὲ καὶ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσιν.

Ὁ θεῖος καὶ γαμβρὸς ἐπ᾽ ἀνεψιᾷ πρώτῃ, δύο λαβεῖν ἀδελφὰς οὐ κωλύονται, εἰ καὶ ς΄. γίνεται βαθμός.

Ἀλλὰ καὶ γαμβρὸς καὶ γυναικάδελφος, δύο πρώτας ἐξαδέλφας λαβεῖν οὐ κωλύονται, εἰ καὶ ζ΄. γίνεται βαθμός.

Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι.

Ἀθέμιτα μέντοι τῶν εἰρημένων ἔνια τινὲς ἐψηφίσαντο, τό, τε λαβεῖν τὸν σύγγαμβρον τὴν ἀδελφὴν ὕστερον τοῦ συγγάμβρου αὐτοῦ 1).

Ἔτι δὲ καὶ τὸν γυναικάδελφον τὴν ἐπ᾽ ἀδελφῷ νύμφην τοῦ ἰδίου αὐτοῦ γαμβροῦ· ὥσπερ δὴ καὶ ἐκεῖνο, ὅπερ τὸν Χοῦμνον Θεσσαλονίκης ἰδίῳ ἔφημεν λῦσαι ψηφίσματι, τὸ, πατέρα καὶ υἱὸν λαβεῖν μικρὰν θείαν καὶ ἀνεψιάν.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος· Ἐν ταῖς γάμοις, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν 2).

Περὶ υἱοθεσίας.

Καὶ οὕτω μὲν τὰ ἐκ τριγενείας· τήν γε μὴν διαδοχῆς ἕνεκα γινομένην υἱοθεσίαν παραφυλάττειν, καθὰ δὴ καὶ τὴν ἐξ αἵματος, πρὸς τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν δεδιδάγμεθα νόμων· κατά τε τοὺς γαμικοὺς δηλαδὴ βαθμοὺς, καὶ τὴν τῶν γονέων κληρονομίαν.

---

1) ἤγ᾽ ἐξ ἑτέρας ἔσχε γυναικὸς δηλονότι ε. — 2) ς΄. Βασ. ΚΗ΄, ε.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος· Οὐ δύναμαι τὴν πρὸς πατρὸς ἢ μητρὸς θείαν λαβεῖν εἰς γυναῖκα, εἰ καὶ εἰσὶ θεταὶ, ἐπειδὴ μήτερων τάξιν ἔχουσιν, ἥτις τυχὸν τῷ πάππῳ μὲν υἱοθετήθη, ἀδελφῆς δὲ τόπον ἐπεῖχε πρὸς τὸν πατέρα, πρὸς ἐμὲ δὲ θείας· οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα, ἢ τὴν ἐγγόνην· οὔτε ὁ θετὸς υἱὸς, τὴν τοῦ θετοῦ πατρὸς γαμετὴν, ἢ τὴν μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην 1).

Ἐὰν δὲ ὁ ἐπίτροπος, ἢ ὁ γενόμενος κουράτωρ υἱοθετῆσαι βουληθῇ τὸν ἄνδρα τῆς ἐπιτροπευομένης ἢ κουρατωρευομένης, ἢ τὸν πατέρα αὐτῆς, ἡ θέσις ἄκυρος ἐστίν· οὐ μὴν ὁ γάμος λύεται· λύεται δὲ, ἡνίκα τις τὸν ἴδιον γαμβρὸν εἰσποιήσαιτο 2).

Νεαρά.

Ἡ δὲ κδ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, κωλύουσα τοὺς εἰσποιουμένους πρὸς γαμικὴν ὁμιλίαν συνάπτεσθαι τοῖς τοῦ εἰσποιησαμένου παισὶν, ἐπάγει· Ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον, νῦν δὲ κατὰ τὸν πρέποντα θεσμὸν καὶ δίκαιον τῆς υἱοθεσίας γινομένης, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν εἰς γονέων τάξιν καθισταμένων, τῶν δὲ εἰς τὴν τῶν παίδων, οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ εἰσποιησαμένου παισὶ τοὺς εἰσποιητοὺς παῖδας, μηδὲ τὸ τῶν ἀδελφῶν ὄνομα πρὸς τὸ τῆς συζυγίας μεθαρμόζεσθαι, ὥστε γαμβροὺς ἀντὶ ἀδελφῶν καλεῖσθαι.

Ὅτι υἱοθετοῦσι καὶ εὐνοῦχοι.

Τοῦ δὲ νόμου λέγοντος, ὅτι ἡ θέσις μιμεῖται τὴν φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους εἰσποιεῖν τινα, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κς΄. νεαρὰ τοῦ αὐτοῦ βασιλέως ἐθέσπισε καὶ τοῦτο γίνεσθαι ἀκωλύτως.

Ὅτι υἱοθετοῦσι καὶ παρθένοι.

Ἡ δὲ κζ΄. καὶ ταῖς παρθένοις εἰσποιεῖν δίδωσι, καὶ τοὺς εἰσποιηθέντας ὑπεξουσίους ἢ αὐτεξουσίους, δίκαια κληρονομίας

1) ἑ. Βασ. ΚΗ΄, ἑ. — 2) κδ΄ Βασ. ΚΗ΄, δ΄.

ἔχειν ἐπ' αὐταῖς· καὶ μὴ δεῖσθαι βασιλικοῦ ἐπιτάγματος, ἢ πράξεως δικαστῶν.

Περὶ τῆς ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδοχῆς.

Συνόδου ἕκτης γ'.

Ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος κατὰ ἀναδοχὴν γινομένη υἱοθεσία, οὐκ εἰς κληρονομίαν εἰσέρχεται, ἀλλ' εἰς τοὺς γαμικοὺς μόνους, ὡς εἴρηται, ζητεῖται βαθμούς. Φησὶ γὰρ ὁ νγ'. κανὼν τῆς ἕκτης Συνόδου· Ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, τοὺς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικῶς συναπτομένους, ὁρίζομεν, ἀφίστασθαι μὲν τοῦ τοιούτου συνοικεσίου, ἔπειτα καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι· ὁ γὰρ μὴ ἑτοίμως τοῦ κακοῦ ἀφιστάμενος, καὶ ἐξομολογούμενος, ὡς αἱμομίκτης κρίνεται.

Νόμος.

Ὁ δὲ Νόμος φησίν· Ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματος τινὰ δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς ἤδη γενομένην αὐτοῦ θυγατέρα, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπεὶ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμός, δι' οὗ, Θεοῦ μεσιτεύοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται 1).

Ἰσχυρίζονται τοίνυν τινὲς, ὡς, ἐπεὶ ἀπὸ τοῦ κανόνος καὶ τοῦ νόμου, μείζων ἡ πνευματικὴ τῆς κατὰ σάρκα συγγενείας ὁρίζεται, χρῆναι τοὺς ταύτῃ συνδεδεμένους παρατηρεῖν τοὺς κεκωλυμένους βαθμοὺς ἄχρι τοῦ ἑβδόμου, ὅσους δηλαδὴ καὶ εἰς τὴν καθ' αἷμα συγγένειαν· τοῖς δὲ πλείοσι τοῦτο οὐκ ἔδοξεν, ἀλλὰ μόνα τὰ τῷ ῥηθέντι νόμῳ περιεχόμενα κωλύεσθαι πρόσωπα.

Οἱ μέντοι βαθμοὶ τῶν ἐξ υἱοθεσίας ἀμφοτέρας ἐνηλλαγμένως ἀριθμοῦνται πρὸς τοὺς βαθμοὺς τῶν ἐξ αἵματος· ἐκεῖ μὲν γὰρ

1) ιδ'. Βασ. ΚΒ', ί.

ὁ πατὴρ πρὸς πάντας τοὺς αὐταδέλφους, πρώτου πάντως ὑπάρχει βαθμοῦ· ἐνταῦθα δὲ ὁ πνευματικὸς οὗτος πατὴρ, πρὸς μὲν τὸν παῖδα, ὃν εἰσεποιήσατο, πρώτου ἐστὶ βαθμοῦ, πρὸς δὲ τὸν σαρκικὸν τοῦ παιδὸς πατέρα, δευτέρου· ἀδελφὸς γὰρ αὐτοῦ λογίζεται· πρὸς δὲ τοὺς αὐταδέλφους τοῦ πνευματικοῦ υἱοῦ αὐτοῦ, τρίτου· οὐ γὰρ κἀκείνους ἔσχεν υἱούς· ὁ υἱὸς δὲ, πρὸς τοὺς σαρκικοὺς ἀδελφοὺς αὐτοῦ, δευτέρου, καὶ πρὸς τὸν σαρκικὸν αὐτοῦ πατέρα, πρώτου, ὥσπερ καὶ πρὸς τὸν πνευματικόν.

Διὰ τοῦτο ἔξεστι τῷ βουλομένῳ λαβεῖν εἰς γυναῖκα τὴν τοῦ συντέκνου αὐτοῦ ἀδελφήν.

Ὁ δὲ τὸν υἱὸν αὐτοῦ ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδεχόμενος, τῆς γυναικὸς αὐτοῦ διαζεύγνυται.

Περὶ τῶν κεκωλυμένων γάμων καὶ χωρὶς συγγενείας.

Ἔστι δ' ὅτε καὶ χωρὶς συγγενείας ὁποιασοῦν τῶν εἰρημένων πέντε συγγενειῶν κωλύεται τὸ συνάλλαγμα· οἷον, ὁ κατηγορηθεὶς μοιχὸς, εἰ καὶ μὴ προφανῶς ἀπηλέγχθη, οὐ δύναται ταύτην εἰς γυναῖκα λαβεῖν· οὐδὲ ὁ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρωνος αὐτοῦ, μετὰ τὸν ἐκείνου θάνατον· δίδωσι γὰρ ὑποψίαν ὅτι καὶ ζῶντος ἐκείνου ταύτην μοιχεύων ἦν.

Περὶ ἐπιτρόπου καὶ ἀφηλίκων.

Οὐδὲ ὁ ἐπίτροπος τὴν ὀρφανὴν, ἢ ὁ υἱὸς αὐτοῦ, πρὸ τοῦ λυθῆναι τὴν ἐπιτροπήν· λύεται δὲ ἡ ἐπιτροπὴ τὸν τριακοστὸν χρόνον· πέντε γὰρ καὶ εἴκοσι χρόνοι εἰσὶ τῆς ἐνηλικιώσεως, καὶ τέσσαρες τῆς ἀποκαταστάσεως, καὶ τῇ ἀρχῇ τοῦ τριακοστοῦ χρόνου αὐτίκα ἡ ἐνοχὴ τοῦ ἐπιτρόπου λύεται· καὶ ἔχει ἄδειαν ἐξ ἐκείνου συζυγῆναι τῇ ἐπιτροπευομένῃ, πρὸ τούτου δὲ οὐδαμῶς.

Ἡ δὲ μήτηρ τῆς ἐπιτροπευθείσης δύναται καὶ πρὸ τούτου τῷ ἐπιτρόπῳ τῆς μητρὸς αὐτῆς γαμηθῆναι.

Ἐπεὶ δὲ καὶ οἱ ἁπλῶς οἰκειακοὶ ὑποχείριοι, εἰ καὶ μή εἰσι δοῦλοι, ἢ ἐγένοντό ποτε, τάξιν ἀπελευθέρου ἔχουσιν, οὐδὲ οὗτοι μετὰ θάνατον τῶν ἰδίων δεσποτῶν τὰς ἐκείνων λαμβάνειν δύνανται γαμετὰς, ἵνα μὴ δοῖεν προλαβούσης μοιχείας ὑπόνοιαν.

Οὐδὲ ὁ σκηνικὸς, ἤτοι ὁ δημόσιος παιγνιώτης, ἢ ὁ τούτου υἱὸς, συγκλητικοῦ θυγατέρα δύναται λαβεῖν.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, ὅτι ἐν τοῖς γάμοις, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ ζητεῖν 1).

Ἐπὶ μὲν γὰρ τῶν ἐξ αἵματος, καὶ τῶν τοῦ ἁγίου βαπτίσματος, καὶ τῶν ἐξ υἱοθεσίας, βαθμοὺς δεῖ ζητεῖν, καὶ τὰ ὑπὲρ τὸν ζ'. τούτοις ἀκώλυτα· ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας, καὶ τῶν ἐκ τριγενείας, τὰ ῥητῶς κωλυθέντα ἢ σύγχυσιν ἔχοντα φυλάττεσθαι χρή· ἐπὶ δὲ τῶν ἔξω συγγενείας, τὸ εὐπρεπές.

Νόμοι.

Ἡ οὖν παρανόμως γαμηθεῖσα δύναται διαλύειν τὸν γάμον, καὶ γαμεῖσθαι ἄλλῳ ὕστερον.

Οἱ δὲ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι παῖδες, οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας, οὐδὲ διαδέχονται κατά τινα τὸν ἴδιον πατέρα 2).

Ὁ πρὸς ἐλευθέραν, μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος, ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ 3).

Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατωρευομένῳ ὑπ' αὐτοῦ· τὸν δὲ υἱὸν αὐτοῦ τῇ κουρατωρευομένῃ οὐ δύναται χωρὶς βασιλικῆς κελεύσεως, ἐπεὶ ἀτιμοῦται 4).

Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν 5).

Αἱ τῶν πενθουμένων γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖσθαι, εἰ μὴ κατὰ κέλευσιν βασιλέως 6)· αἱ δὲ τῶν μὴ πενθουμένων, ἤτοι τῶν ἐπὶ καθοσιώσει καταδικασθέντων, οὐ κωλύονται.

Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα, ἔτι κωλύεται γάμῳ προσελθεῖν· ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα, οὐ κωλύεται· κατὰ δύο γὰρ αἰτίας ὁ πένθιμος ἐτυπώθη καιρὸς, διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην τοῖς ἀνδράσι τιμήν· ὧν ἡ μὲν μία λύεται διὰ τοῦ τόκου· ἡ δὲ ἑτέρα, οὐκ ἔτι, διὰ τὴν ὀφειλομένην αἰδὼ καὶ τιμὴν τῷ ἀνδρί· αἱ οὖν γυναῖκες τῶν μὴ ἀξίων πενθεῖσθαι, διὰ τὸ εἰς δημόσια τυχὸν περιπεσεῖν ἐγκλήματα, μετὰ τὸν τόκον οὐ κωλύονται λοιπὸν καὶ ἐν τῷ πενθίμῳ γαμεῖσθαι 7).

---

1) ς'. Βασ. ΚΗ', ί. — 2) Ἀρμ. Α'. ζ'. 8. — 3) ιγ'. Βασ. ΚΗ', δ'. — 4) Ἀρμ. Α'. ζ'. 25.—5) ά. Βασ. ΚΗ'. ί.—6) ιβ'. Βασ. ΚΗ'. ί.—7) λδ'. Ἀρμ. Α'. ζ'.

Ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμοῦσα γυνὴ ἀτιμοῦται, μηδὲν ἐκ τοῦ πρώτου γάμου κερδαίνουσα, καὶ μηδὲν πλέον τοῦ τρίτου μέρους τῆς ἰδίας οὐσίας δοῦναι δυναμένη τῷ δευτέρῳ ἀνδρὶ, ὅτε παῖδας δηλαδὴ οὐκ ἔχει 1).

Ἐὰν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν, περὶ τὸν ἐνδέκατον μῆνα τέκῃ ἡ γυνὴ, πορνεία ἐστὶ τὸ γεγονὸς, καὶ τοῖς αὐτοῖς ἐπιτιμίοις ἐνέχεται, οἷς ἡ περὶ τὸν πένθιμον γάμον δευτερογαμοῦσα· ἐκπίπτουσα δηλονότι τῆς τε προικῴας καὶ πάσης ἀνδρῴας ὑποστάσεως 2).

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ τῶν βδελυσσομένων τοὺς ἐννόμους γάμους, τὸν οἶνον, τὰ κρέα, καὶ ἕτερα.

Ἀποστόλων κά.

Ὁ τῶν ἁγίων Ἀποστόλων κά. κανὼν, Ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, ἢ ἄλλος τοῦ κλήρου, ὁ μὴ δι' ἄσκησιν καὶ ἐγκράτειαν, ἀλλ' ὡς βδελυκτῶν ἀπεχόμενος γάμου τε, καὶ κρεῶν, καὶ οἴνου, ἐπιλελησμένος, ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ὅτι πάντα καλὰ λίαν, καὶ βλασφημῶν διαβάλλει τοῦ Θεοῦ τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς Ἐκκλησίας ὡς πορρωτάτω γινέσθω 3), ὡς ἀπεναντίας τοῖς ὀρθοῖς τούτοις ἱστάμενος δόγμασιν· εἰ δὲ καὶ λαϊκὸς ταύτῃ φρονῶν εἴη, τῆς Ἐκκλησίας ἀφοριζέσθω· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γενομένων κακὸν, ἀλλ' ἡ τούτων παράχρησις βλαβερόν· εἰ δὲ κακίας ταῦτα αἴτια ἦν, οὐκ ἂν παρήχθησαν παρὰ τοῦ Θεοῦ· ὥστε ὁ τὰ τοῦ Θεοῦ διαβάλλων ποιήματα, εἰς τὸν ποιήσαντα τὴν βλασφημίαν ἐκτείνει.

Γάγγρας ά, δ΄, ιδ΄, θ΄, κγ΄.

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ ά, τῷ ἀναθέματι παραπέμπει, ὃς ἀκάθαρτον εἶναι τὸν νόμιμον γάμον ἡγεῖται, καὶ τὴν ἀνδρὶ συνεζευγμένην κοσμίαν γυναῖκα καὶ σώφρονα βδελυσσόμενος, διὰ

1) ά. Βασ. ΚΗ΄. ιδ΄. — 2) Ἀρμ. Δ΄. θ΄. 31. — 3) καὶ τῆς Ἐκκλησίας . . . γενέσθω, οὐ κεῖται ἐν 1375.

τὴν πρὸς τὸν σύνευνον ὁμιλίαν, ἅτε μὴ δυναμένην ἐντεῦθεν τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν. Φησὶ γὰρ ὁ Ἀπόστολος· Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· καὶ πάλιν· Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων καὶ κεκαυτηριασμένων τὴν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν.

Ταύτην καὶ ὁ τέταρτος τὴν δίκην ἐπανατείνεται τῷ 1) διακρινομένῳ καὶ μὴ μεταλαβεῖν ἀνεχομένῳ παρὰ πρεσβυτέρου γεγαμηκότος, τὴν ἱερὰν τελέσαντος λειτουργίαν, οἷα τὸν τίμιον γάμον βδελυσσομένῳ.

Τούτῳ καὶ ὁ νϐ΄. ὑπάγεσθαι κελεύει τῷ ἀναθέματι τὴν τοῦ ἰδίου ἀνδρὸς ἀναχωροῦσαν γυναῖκα, οἷα βδελυκτὸν τὸν γάμον νομίζουσαν· ὁ γάρ τοι Ἀπόστολος, Μὴ ἀποστερεῖτε, φησὶν, ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου γένηται· καὶ αὖθις· Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ὁ ἀνήρ· εἰ δέ που δι᾽ ἔφεσιν τοῦ μονήρους βίου τὴν ἀναχώρησιν ἕλοιτο, ἀνεπίκλητος.

Ταύτῃ καὶ ὁ θ΄. τῇ δίκῃ δίδωσι τὸν παρθενίαν μετιόντα καὶ τοῦ βίου ἀναχωρήσαντα, ἅτε τὸν γάμον βδελυσσόμενον, καὶ μὴ δι᾽ αὐτὸ τὸ τῆς παρθενίας καλὸν καὶ σεβάσμιον.

Ἀποστόλων νγ΄.

Ὁ δὲ νγ΄. τῶν ἁγίων Ἀποστόλων, Οὐ δεῖ, φησὶν, ἐν ταῖς τῶν ἑορτῶν ἡμέραις, σαββάτου τυχὸν καὶ κυριακῆς, ἢ οἱασδηποτοῦν ἑτέρας, οἴνου καὶ κρεῶν, ὡς ἐβδελυγμένων, ἀπέχεσθαι· ὁ δὲ οὕτω καὶ φρονῶν καὶ ποιῶν, ὡς τὴν ἰδίαν κεκαυτηριασμένος συνείδησιν, καὶ σκανδάλου τοῖς πολλοῖς γινόμενος αἴτιος, εἰ μὲν τοῦ κλήρου εἴη, καθαιρείσθω, εἰ δὲ τοῦ λαοῦ, ἀφοριζέσθω· εἰ μήπου τις ἐν ἀφωρισμέναις ἡμερῶν περιόδοις ἀσκῶν, ἐξ ἴσης ταῖς ἄλλαις, κἂν τῷ σαββάτῳ καὶ τῇ κυριακῇ τηρήσειε τὴν ἐγκράτειαν.

Ἀγκύρας ιδ΄.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιδ΄. τοῖς τῶν κρεῶν ἀπεχομένοις δι᾽ ἄσκησιν, γεύεσθαι 1) μόνον ἐπὶ τῶν συνάξεων παρεγγυᾶται·

1) τῷ μὴ ἐ. — 2) γενέσθαι B. 1375.

καὶ οὕτως, εἰ βούλοιντο, τὴν τούτων ἐδωδὴν μὴ προσίεσθαι, ἀλλά γε τῶν συνεψομένων τούτοις λαχάνων μὴ ἀπαναίνεσθαι τὴν μετάληψιν, ὡς ἂν ἐντεῦθεν πᾶσαν πρόφασιν σκανδάλου περιέλωσι τῶν οἰομένων τούτους διὰ βδελυρίαν τῶν τοιούτων ἀπέχεσθαι· καὶ οὐχ ἥκιστα τούτοις ἑστιᾶσθαι προσῆκε κατ᾽ ἐκείνας τῶν ἡμερῶν, ἡνίκα τῶν αἱρετικῶν ἔνιοι νηστεύειν ἀπὸ τούτων εἰώθασιν, ὡς ἂν μὴ συμβαίνειν δόξαιεν τῷ ἐκείνων φρονήματι, καὶ μάλιστα εἰ τύχοιεν ἐπιχωριάζοντες πόλει, τῷ πλείστῳ γε μέρει ταῦτα νοσούσῃ· εἰ δὲ μὴ ὑπείκοιεν τῷ κανόνι, κληρικοὺς μὲν ὄντας, τῆς ἱερωσύνης ἀπογυμνοῖ, λαϊκοὺς δὲ, ἀφορίζει.

Τῶν δὲ Λατίνων οἱ μοναχοὶ, τῶν μὲν κρεῶν ἀπεχόμενοι, τὸ δὲ στέαρ τούτων μετὰ λαχάνων ἀδιαφόρως ἐσθίοντες, οὔ μοι δοκοῦσι τοῦ παρόντος μέλειν αὐτοῖς κανόνος· οὐ γὰρ ἵνα σκάνδαλον περιέλωσιν, ἀλλ᾽ ἵνα τὴν γαστέρα ἐμπλήσωσι τοῦτο δρῶσι σαφῶς.

Βασιλείου κή.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ κή. κανόνι, γελοῖον ἡγεῖται τὸ εὔξασθαί τινὰ ὑείων κρεῶν ἀπέχεσθαι· ὅθεν καὶ τὴν ἐπαγγελίαν ἀθετεῖσθαι κελεύει, καὶ τὴν χρῆσιν τῶν κρεῶν ἀδιάφορον ἔχειν, (οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ᾽ εὐχαριστίας λαμβανομένον), καὶ τοῦ λοιποῦ τῶν ἀπαιδεύτων ἐπαγγελιῶν ὡς καταγελάστων ἀπέχεσθαι.

Ἐκ τῶν αὐτοῦ ἐπιστολῶν.

Ἐν δὲ μιᾷ τῶν πρὸς τὸν ἅγιον Ἀμφιλόχιον ἐπιστολῶν, φησί· Τοῖς δὲ κομψοῖς ἐγκρατευταῖς, πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διά τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνο λεγέσθω· ὅτι οὐδὲν θαυμαστὸν εἴ τινων ἀπεχόμεθα, ἐπειδὴ καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα· κατὰ μέν γε τὴν ἀξίαν οὐδὲν διενήνοχε λαχάνου χόρτου τὰ κρέα· κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν τοῖς λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι, τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν· ἐπεὶ λάχανόν ἐστι τὸ κώνειον, ὥσπερ κρέας τὸ γύπειον· ἀλλ᾽ ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν

1) γενέσθαι Β΄. 1375.

ἔχων, οὔτε γυπὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὥστε ὁ φαγὼν οὐκ ἠνόμησεν.

Γάγγρας β'. ι'. ε'. κ'.

Ὁ δὲ τῆς ἐν Γαγγρᾷ Συνόδου β'. ἀνάθεμα καταψηφίζεται τοῦ κατακρίνοντος τὸν μεταλαμβάνοντα κρεῶν μετ' εὐλαβείας καὶ πίστεως, χωρὶς αἵματος, καὶ πνικτοῦ, καὶ εἰδωλοθύτου, ὡς ἂν διὰ τὴν τούτων μετάληψιν ἐλπίδα σωτηρίας μὴ ἔχοντα.

Ἀλλὰ καὶ ὁ ι', τὸν ἀδρὰ περιβεβλημένον ἱμάτια, καὶ βδελυττόμενον τοὺς τῇ συνήθει κεχρημένους ἐσθῆτι, ἢ σηρικὰ ἐνημμένους μετ' εὐλαβείας καὶ μὴ διὰ βλακείαν ἢ ἔπαρσιν, τῷ ἀναθέματι δίδωσι.

Ταύτην καὶ ὁ ε. κανὼν ἐπάγει τὴν δίκην, τῷ ἐν καταφρονήσει τὸν οἶκον τοῦ Θεοῦ τιθεμένῳ, καὶ τὰς ἐν αὐτῷ βδελυττομένῳ συνάξεις· ἐν παντὶ μέν γε τόπῳ εὔχεσθαι ὁ μακάριος κελεύει Παῦλος, ἀλλ' οὐχ ὥστε καταφρονεῖν τῶν συνάξεων, καὶ τοῖς ἱεροῖς μὴ προσιέναι.

Ὁ δὲ κ'. καὶ τοὺς ὑπερηφάνῳ φρονήματι βδελυσσομένους τὰς τελουμένας συνάξεις καὶ λειτουργίας, ἔνθα μαρτύρων τεθησαύρισται λείψανα, τῷ ἀναθέματι καταδικάζει. Ζήτει καὶ τὸν ις'. ταύτης ἐν γ'. κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ βίας καὶ δυναστείας.

Ζήτει τὸ ιβ'. κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ βιβλίων τῆς θείας Γραφῆς γνησίων καὶ νόθων.

Ἀποστόλων πέ.

Ὁ πέ. τῶν ἁγίων Ἀποστόλων κανών, Ταῦτα, φησὶ, τὰ βιβλία διαφερόντως πρεσβεύειν χρὴ σύμπαντας κληρικούς τε καὶ λαϊκούς, τῆς μὲν Παλαιᾶς Διαθήκης τὰ πέντε Μωσαϊκὰ, ὧν αἱ κλήσεις τῶν ἐπιγραφῶν· Γένεσις· Ἔξοδος· Λευϊτικόν· Ἀριθμοί·

Δευτερονόμιον· Ἰησοῦ υἱοῦ Ναυῆ, ἓν· Κριτῶν, ἓν· Ῥοὺθ, ἓν· Βασιλειῶν, δ'. Παραλειπομένων τῆς βίβλου τῶν ἡμερῶν, δύο· Ἔσδρα, δύο· Ἐσθὴρ, ἓν· Μακκαβαίων, τρία· Ἰὼβ, ἓν· Ψαλτήριον, ἓν· Σολομῶντος, τρία· Παροιμίας, Ἐκκλησιαστὴν, Ἆσμα Ἀσμάτων· Προφητῶν, ιϛ'. Ἡσαΐου, ἓν· Ἱερεμίου, ἓν· Ἰεζεκιὴλ, ἓν· Δανιὴλ, ἓν· ἔξωθεν δὲ προσιστορείσθω τοῖς νέοις καὶ ἡ τοῦ πολυμαθοῦς σοφία Σιράχ. Τῆς Καινῆς δὲ Διαθήκης, Εὐαγγέλια τέσσαρα· Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου· Παύλου ἐπιστολὰς ιδ'. ἤτοι πρὸς Ῥωμαίους ά. πρὸς Κορινθίους, β'. πρὸς Γαλάτας, ά. πρὸς Ἐφεσίους, ά. πρὸς Φιλιππησίους, ά. πρὸς Κολασσαεῖς, ά. πρὸς Θεσσαλονικεῖς, β'. πρὸς Ἑβραίους, μίαν· πρὸς Τιμόθεον, β'. πρὸς Τίτον, ά. πρὸς Φιλήμονα, ά. Ἐπιστολὰς καθολικὰς ἑπτὰ, ἤγουν, Πέτρου, β'. Ἰακώβου, μίαν· Ἰωάννου, γ'. Ἰούδα, ά. Ἃς δὲ προστίθησι διὰ τοῦ Κλήμεντος δύο ἐπιστολὰς, καὶ τὰς πονηθείσας τούτῳ Διατάξεις τῶν Ἀποστόλων ὕστερον ὁ τῆς ς'. Συνόδου β'. κανὼν διέγραψεν, ὡς πολὺ τὸ νόθον πρὸς τῶν αἱρετικῶν καὶ παρέγγραπτον δεξαμένας.

Λαοδικείας ξ'.

Τοιαύτην ἀπαραλλάκτως τῶν βιβλίων ποιεῖται τὴν ἀπαρίθμησιν καὶ ὁ ξ'. τῆς ἐν Λαοδικείᾳ κανὼν, ἄνευ τῶν διὰ τοῦ Κλήμεντος ἐπιστολῶν τε καὶ Διατάξεων.

Καρθαγένης κδ'. μς'.

Ἀριθμεῖ δὲ ταῦτα καὶ ὁ κδ'. τῆς ἐν Καρθαγένῃ· Καὶ τῶν κανονικῶν, φησὶν, ἐκτὸς τούτων Γραφῶν, μηδὲν ἐπ' Ἐκκλησίας ἀναγινωσκέσθω· προστίθησι δὲ οὗτος καὶ τὴν Ἰουδὴθ, τὸν Τωβίαν, καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου.

Ὁ δὲ μς', καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων, ἐν ταῖς ἐτησίαις αὐτῶν ἀναγινώσκεσθαι μνήμαις διορίζεται· ταύτῃ τοι καὶ τὰ παρὰ τῶν ἁγίων Πατέρων καὶ ὁμολογητῶν συγγραφέντα, καὶ ἀναγινώσκειν δέον, καὶ κατασπάζεσθαι, ἅτε πρὸς τὴν ἀληθινὴν καὶ ὀρθόδοξον πίστιν ἡμᾶς ἀνάγοντα.

Τοῦ μεγάλου Ἀθανασίου.

Ὁ δὲ μέγας Ἀθανάσιος, τῶν μὲν τοῖς αἱρετικοῖς πονηθέντων

καὶ ὀνομαζομένων πρὸς αὐτῶν ἀποκρύφων, ἀπείρηκε τὴν ἀνάγνωσιν· τῶν δὲ τέως ῥηθέντων ἱερῶν βιβλίων, ὁμοίαν καὶ οὗτος ποιεῖται τὴν ἀπαρίθμησιν· ταῦτα γὰρ ἐπινοίᾳ, φησὶ, θειοτέρᾳ γεγράφθαι πιστεύομεν· καὶ τῆς μὲν Παλαιᾶς Διαθήκης κβ'. εἶναι βίβλους τῶν παρ' Ἑβραίοις ἰσαρίθμους γραμμάτων· τὰς γὰρ τέσσαρας τῶν Βασιλειῶν, δύο βίβλους εἶναι λέγει, καὶ τὰς δύο τῶν Παραλειπομένων, μίαν, τὰς τῶν ιϐ'. προφητῶν, μίαν, καὶ τῶν τεσσάρων, τέσσαρας· τῷ δὲ Ἱερεμίᾳ προστίθησι τοὺς τοῦ Βαρούχ θρήνους, καὶ τὴν ἐπιστολήν· ἀριθμήσας δὲ καὶ τὰς τῆς Καινῆς, προστίθησι ταῖς ῥηθείσαις καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου· καὶ ταύταις προστιθέναι ἢ ἀφαιρεῖν, ἀνόσιον εἶναι κρίνει. Ἔξωθεν δὲ τῶν κανονιζομένων εἶναι φησὶ τὴν σοφίαν Σολομῶντος, τὸν Σιρὰχ, τὴν Ἐσθὴρ, τὴν Ἰουδὴθ καὶ τὸν Τωβὶτ, τὸν Ποιμένα 1), καὶ τὴν διδαχὴν τῶν ἁγίων Ἀποστόλων· ταύτην δὲ καὶ ἡ ς'. Σύνοδος ἠθέτησεν, ὡς δεδήλωται.

Γρηγορίου τοῦ Θεολόγου.

Τοιαύτην τῶν ἱερῶν βίβλων ποιεῖται τὴν ἀπαρίθμησιν δι' ἐμμέτρων ἡρωϊκῶν στίχων καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος, ἰσαρίθμους τὰς τῆς Παλαιᾶς εἶναι λέγων τῶν παρ' Ἑβραίοις εἴκοσι δύο γραμμάτων· στιχηρὰς δὲ λέγει τὰς πέντε· Ἰὼβ, Δαβὶδ τοὺς ρν'. ψαλμοὺς, καὶ τοὺς τρεῖς Σολομοντείους, καὶ τῶν δώδεκα προφητῶν μίαν, ὧν αἱ κλήσεις· Ὡσηὲ, Ἀμμὼς, Μιχαίας, Ἰωὴλ, Ἰωνᾶς, Ἀβδιοὺ, Ναοὺμ, Ἀββακοὺμ, Σοφονίας, Ἀγγαῖος, Ζαχαρίας, Μαλαχίας· τῶν δὲ τῷ μεγάλῳ ῥηθέντων Ἀθανασίῳ ἀκανονίστων οὗτος οὐ μέμνηται.

Ἀμφιλοχίου.

Τούτοις καὶ ὁ ἅγιος ἕπεται Ἀμφιλόχιος, δι' ἰάμβων τὴν ἐκμέτρησιν ἐκποιησάμενος.

Ἀποστόλων ξ'.

Ὁ δὲ ξ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία τὸν ἀναγινώσκοντα δημόσιᾳ, πνευματικὸν, φημὶ,

1) τὴν Ἐσθὴρ, τὴν Ἰουδὴθ, τὸν Τωβὶτ, τὸν Ποιμένα, οὐ κεῖται ἐν 1375.

ἢ κληρικὸν 1), ἐπὶ λύμῃ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρέσεως ἀξιοῖ· οὐ μόνον γὰρ οἱ περὶ πλείστου τὸ ψεῦδος ποιούμενοι λόγοις οἰκείοις τὸ δυσσεβὲς αὐτῶν φρόνημα κρατύνειν πειρῶνται, ἀλλὰ καὶ τοῖς τῶν εὐσεβῶν συγγράμμασι τὰ σφέτερα παρενείρουσιν, ὡς ἐν ταῖς ῥηθείσαις ἐπιστολαῖς τοῦ ἱεροῦ Κλήμεντος καὶ ταῖς Διατάξεσιν ἐσκαιώρηται· εἰσὶ δ' οἳ καὶ τοῖς ἑαυτῶν ἐπιγραφὰς ἁγίων τεθείκασι πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἢ εὐηθεστέρων, οἱονεὶ μέλιτι τοῦ δηλητηρίου τὴν κύλικα περιχρίσαντες.

Συνόδου ἕκτης ξγ΄.

Ὁ δὲ ξγ΄. τῆς ἕκτης Συνόδου, καὶ τὰ ψευδῶς συντεθέντα μαρτυρολόγια πρὸς τὸν μηδὲν ὑγιὲς φρονούντων, ὕβριν μὲν τοῖς ἁγίοις μάρτυσιν οἰομένων προστρίψασθαι, τοὺς δ' ἐντυγχάνοντας τῆς πρὸς αὐτοὺς ἀφιστάναι τιμῆς, πυρὶ κελεύει δίδοσθαι· τοὺς δὲ τούτοις ὡς ἀληθέσι προσέχοντας, ἀναθεματίζεσθαι· τοῖς γὰρ ἁγίοις μάρτυσι τῶν ἄθλων καὶ τῆς εὐδοξίας βασκήναντες, ψευδῆ καὶ ἀλλόκοτα συντεταχέναι βιβλία προήχθησαν, τῶν δῆθεν ὑπὸ τῶν ἁγίων μαρτύρων πραχθέντων ἢ λαληθέντων, ἐφ' ᾧ τοὺς ἐντυγχάνοντας εἰς ἀπιστίαν ἢ γέλωτα ἀνάγεσθαι.

Περὶ τοῦ Μεταφραστοῦ.

Πόσου τοίνυν ἄξιος ἂν εἴη μακαρισμοῦ ὁ θαυμάσιος Συμεών, ὁ τὸ καλεῖσθαι Μεταφραστὴς διαφερόντως τῶν ἄλλων ἀπενεγκάμενος, ὁ τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου Πνεύματος τὰ τῶν ἁγίων μαρτύρων ὑπὲρ ἀληθείας σκάμματα πολλοῖς ἱδρῶσι καὶ πόνοις συγγραψάμενος, καὶ δυνάμει λόγου καὶ σοφίᾳ καλλύνας εἰς ὕμνον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ δόξαν διαιωνίζουσαν τῶν ὑπὲρ αὐτοῦ ἠγωνισμένων ἁγίων μαρτύρων· καὶ πᾶν δυσσεβὲς ἀποῤῥάψας στόμα, καὶ μηδ' ἠντιναοῦν πρόφασιν ἀμφιβολίας τοῖς εὐσεβέσι καταλιπών.

Συνόδου ἑβδόμης θ΄.

Ὁ δὲ θ΄. τῆς ἑβδόμης Συνόδου κανών, Τὰ συγγεγραμμένα, φησὶ, τοῖς κατὰ τῶν ἁγίων εἰκόνων λυττήσασι, τὰς ἀσυλλογίστους αὐτῶν ὑπολήψεις συλλογιζόμενα, ὁ κατέχων καὶ κρύ-

1) τὸν ἀναγινώσκοντα κληρικὸν, ἐπὶ λύμῃ 1373, Κ. καὶ ε.

πτων, κληρικὸς ὢν, τῆς ἱερωσύνης ἀποδυέσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω· ἀθυρμάτων γὰρ, φησὶ, παιδικῶν, οὐδὲν ταυτὶ διενήνοχε, μανίας ὄντα καὶ ἀκολασίας βακχεύματα· εἴδωλα, φεῦ τῆς παραπληξίας, τὰς σεπτὰς εἰκόνας ἀποκαλοῦντα· ἀλλ' ἢ πρὸς τὸ τῆς μεγάλης Ἐκκλησίας ὁ εὑρὼν ἐπισκοπεῖον παραπεμπέτω, ἐφ' ᾧ παντελεῖ τῇ ἀφανείᾳ δοθῆναι, ἢ, ὡς ὁ πολιτικὸς κελεύει νόμος, εὐθὺς κατακαιέτω.

Λαοδικείας ιέ, νθ'.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ιέ. καὶ ὁ νθ'. οὐκ ἐπιτρέπουσι πλέον τῶν κεκανονισμένων βιβλίων τῆς τε Παλαιᾶς καὶ Καινῆς, ἐπ' Ἐκκλησίας ἀναγινώσκεσθαι, ἅπερ τῷ πέ. δηλαδὴ ἀποστολικῷ κανόνι διείληπται· οὐδέ γε πλὴν τῶν ρν'. ψαλμῶν τοῦ Δαβὶδ ἰδιωτικοὺς ἑτέρους ᾄδειν ἐφίησιν, ὡς οἱ τοῦ Σολομῶντος λεγόμενοι, καί τινων ἑτέρων.

Συνόδου ἕκτης ιθ'.

Ὁ δὲ τῆς ἕκτης Συνόδου ιθ', ἐν ταῖς κυριωνύμοις τῶν ἡμερῶν, ἐν αἷς εἰώθασιν ὁ λαὸς, τῶν ἔργων ἀφέμενοι, προσεδρεύειν ταῖς Ἐκκλησίαις, τοὺς ἐπισκόπους κελεύει τῷ τῆς διδασκαλίας νάματι τούτους κατάρδειν, ἐρανιζομένους ἐκ τῶν ἄνω ῥηθέντων τῆς θείας Γραφῆς βιβλίων τὰ τῷ καιρῷ προσήκοντα ῥητὰ, καὶ τοῖς πράγμασι καὶ ταῦτα ἑρμηνεύειν, κατὰ τὴν τῶν θείων Πατέρων ἐξήγησιν, ἀλλὰ μὴ ἐξ οἰκείων νοημάτων καὶ λογισμῶν· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμεῖν, ἢ τοῖς οἴκοθεν ἐξευρημένοις, ἵνα μὴ ἀπορίᾳ ἔσθ' ὅπου συνεσχημένοι, δόξωσι τοῦ σκοποῦ τῆς Γραφῆς μὴ ἐπιβατεύειν. Ἐκ δὲ τῆς τῶν θείων Πατέρων διδασκαλίας εἴσονται οἱ λαοὶ τίνα δεῖ αἱρεῖσθαι, καὶ τίνων ἀποδιίστασθαι, καὶ τὴν οἰκείαν ζωὴν πρὸς ἀρετὴν ῥυθμίσουσι, δέει τῶν ἐπηρτημένων κολάσεων, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλώσονται πάθει· τὸν δὲ μὴ οὕτω δρῶντα ἐπίσκοπον, ὁ μὲν παρὼν οὐκ ἐπιπλήττει κανών.

Ἀποστόλων νή.

Ὁ δέ γε ἀποστολικὸς νή, Τὸν ἀμελοῦντα τοῦ οἰκείου κλήρου, καὶ μὴ ἐκπαιδεύοντα τὴν εὐσέβειαν, ἐπίσκοπον ἢ κληρικὸν, ἀφορίζει· ἐπιμένοντα δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρεῖ.

Ὅτι οὐ χρὴ τὰς ἱερὰς κατατέμνειν βίβλους.

Συνόδου ἕκτης ξή.

Ὁ δὲ ξή, Τὰ βιβλία τῆς θεοπνεύστου Γραφῆς, τῆς Παλαιᾶς τε καὶ Καινῆς, καὶ τῶν ἐγκριθέντων καὶ δεδοκιμασμένων Πατέρων καὶ διδασκάλων, ἐπισκήπτει φυλάττειν, καὶ μὴ κατατέμνειν ἢ διαφθείρειν, μηδὲ τοῖς βιβλιοκαπήλοις ἢ μυρεψοῖς ἀποδιδόναι πρὸς ἀφανισμὸν, εἰ μή τι ἄρα τέλεον ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθείη· τὸν δὲ τοιοῦτόν τι ποιεῖν ἁλισκόμενον, ἐπ' ἐνιαυτὸν ἀφορίζεσθαι.

Νόμοι.

Τὰ κατὰ Χριστιανῶν συγγράμματα Πορφυρίου, καὶ ἄλλων αἱρετικῶν, καιέσθωσαν, καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ συμφωνεῖ ταῖς ἐν Νικαίᾳ καὶ Ἐφέσῳ Συνόδοις, καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρείας, ὧν οὐκ ἔστι παρεξιέναι τὴν πίστιν. Οἱ δὲ τὰ λεχθέντα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες, ἐσχάτως τιμωρείσθωσαν 1).

Οἱ μαθηματικοὶ, μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, καὶ τῇ εὐσεβείᾳ προσιόντες, πάσης ἀπωθοῦνται πόλεως· εὑρισκόμενοι δὲ ἐν ταῖς πόλεσι, δεπορτατεύονται, ἤτοι ἐξορίζονται 2).

Ὁ ἔχων βιβλία Μανιχαϊκὰ, καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τῷ καυθῆναι, τιμωρεῖται 3).

Οἱ ἔχοντες τὰ Σεβήρου συγγράμματα καὶ μὴ καίοντες αὐτὰ, χειροκοποῦνται 4).

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν βιοθανῶν, ἤτοι τῶν ἑαυτοὺς ἀναιρούντων.

Τιμοθέου ιδ'.

Τοὺς βιοθανεῖς, ὁ Ἀλεξανδρείας Τιμόθεος, ἐν ιδ'. κανόνι, τῆς εἰωθυίας ὑπὲρ τῶν εὐσεβῶν προσφορᾶς, καὶ εὐχῆς, καὶ ψαλμῳδίας, καὶ τῆς νομιζομένης ὁσίας, στέρεσθαι ἀξιοῖ· ὅσοι δηλαδὴ

1) γ'. Βασ. Α. ά. — 2) κά. Βασ. αὐτόθι. — 3) λϛ'. Βασ. αὐτόθι. — 4) Νεαρὰ Ἰουστ. 42 §. 1.

τὸν λογισμὸν ὑγιᾶ κεκτημένοι, καὶ μὴ τὰς φρένας ὑπὸ νόσου παρατραπέντες, διὰ λύπην ἢ μικροψυχίαν, ἐκ φόβου, ἢ ἐπηρείας ἡστινοσοῦν, ἑαυτοὺς διεχειρίσαντο.

Νόμος.

Ὁ ἑαυτὸν ἀνελὼν, ἢ ἀνελεῖν ἐπιχειρήσας, διὰ φόβον ἐγκλήματος καὶ μὴ διὰ νόσον, τιμωρεῖται ὡς ἀνελὼν ἕτερον, καὶ ἡ οὐσία αὐτοῦ δημεύεται 1).

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ βισέκτου.

Τὸ τοῦ βισέκτου, ὄνομα Ῥωμαϊκόν ἐστι, δηλοῦν τὸ δὶς ἕξ· αἱ γὰρ Ῥωμαϊκαὶ λέξεις ἀντὶ τοῦ δ τὸ β προσλαμβάνουσι. Λέγεται δὲ οὕτω, διὰ τὸ δὶς ἓξ εἶναι τὰς ὥρας τῆς προστιθεμένης ἡμέρας τῷ Φεβρουαρίῳ, καὶ δὶς ἓξ τῆς νυκτὸς, ἥτις κατὰ τετραετίαν εἴωθεν ἀπαρτίζεσθαι, τοῦ περιττεύοντος τεταρτημορίου τῆς ἡμέρας καθ' ἕκαστον ἐνιαυτὸν εἰς μίαν ἡμέραν τηνικαῦτα συντιθεμένου, ἥτις καὶ προστίθεται τῷ Φεβρουαρίῳ, ὡς εἶναι τὰς τούτου ἡμέρας κθ΄. τὰς δὲ τοῦ ἐνιαυτοῦ ἡμέρας τξς΄.

Συνέβη δὲ τούτῳ καὶ ἀλλαχόθεν τὴν προσηγορίαν ταύτην λαβεῖν. Εἰς τρία διήρουν οἱ Ῥωμαῖοι τῶν μηνῶν τὰς ἡμέρας· καὶ τὰς μὲν, ὠνόμαζον καλάνδας· τὰς δὲ, νόννας· τὰς δὲ, εἰδοὺς, ἀπό τινων τριῶν Ῥωμαίων εὐπατριδῶν οὕτω κληθείσας, ἐν καιροῖς λοιμοῦ θρεψάντων τοὺς ἐν τῇ Ῥώμῃ· καὶ καλάνδαι μὲν ἐλέγοντο παρ' αὐτοῖς αἱ παρ' Ἕλλησι νουμηνίαι· ἐπὶ μὲν Μαρτίου καὶ Μαΐου, Ἰουλίου τε, καὶ Ὀκτωβρίου, ἀπὸ τῆς πρώτης μέχρι τῆς ζ΄. αἱ δὲ μετ' αὐτὰς εὐθὺς λέγονται νόνναι, μέχρι τῆς ιέ. αἱ δὲ λοιπαὶ, εἰδοί· ἐπὶ δὲ τῶν ἄλλων πάντων μηνῶν, τὰς μὲν νόννας ἀπὸ τῆς έ. ἔλεγον τοῦ μηνὸς, τὰς δὲ εἰδοὺς ἀπὸ τῆς ιγ΄. διὰ δὴ τὴν τοιαύτην ἀνισότητα, καθ' ἑκάστην νουμηνίαν, ὁ ἱερεὺς ἐκάλει τὸν λαὸν καὶ ὑπεδείκνυ τούτοις τὴν τῶν νοννῶν ἡμέραν καὶ τῶν εἰδῶν· παρὸ καὶ μᾶλλον καλάνδας οἴονταί τινες τὴν πρώτην λέγεσθαι τοῦ μηνὸς, διὰ τὸ καὶ καλεῖσθαι παρὰ

1) γ΄. Βασ. Ξ. νγ΄.

τοῦ ἱερέως τὸν λαόν. Ὠνόμαζον τοίνυν, ὡς καὶ ἐπὶ τῶν ἄλλων μηνῶν, τὴν ά. Φεβρουαρίου καλάνδας Φεβρουαρίου· τὴν β΄. πρὸ τεσσάρων νοννῶν Φεβρουαρίων· τὴν δὲ γ΄. πρὸ τριῶν· τὴν δὲ τετάρτην, πρὸ μιᾶς νοννῶν· τὴν δυάδα γὰρ, ὡς ἀποφράδα, οὐκ ἠξίουν ὅλως καλεῖν· καὶ διὰ τοῦτο τὸν μονάδι μείζονα ἢ ἐλάττονα προκατελάμβανον ἀεὶ ἀριθμόν· τὴν δὲ πέμπτην, νόννας Φεβρουαρίας· τὴν δὲ ιγ΄. εἰδούς· τὴν δὲ ιδ΄. πρὸ δεκαὲξ καλανδῶν Μαρτίων· ἡνίκα τοίνυν εἶχεν ὁ Φεβρουάριος κθ΄. ἔλεγον καὶ τὴν κέ. πάλιν πρὸ ἓξ καλανδῶν Μαρτίων, ὥσπερ καὶ τὴν κδ΄. τὴν δὲ κς΄. πρὸ πέντε· τὴν δὲ κζ΄. πρὸ τεσσάρων· τὴν δὲ κη΄. πρὸ τριῶν· τὴν δὲ κθ΄. πρὸ μιᾶς, εἶτα καλάνδας Μαρτίου· ἐκαλεῖτο οὖν καὶ διὰ τοῦτο βίσεκτος, ἡνίκα εἶχεν ὁ Φεβρουάριος κθ΄. διὰ τὸ λέγεσθαι δὶς τὸ πρὸ ἓξ καλανδῶν Μαρτίων.

ΑΡΧΗ ΤΟΥ Γ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν τοῦ γάμου βαθμῶν.

Ζήτει τὸ ὄγδοον Κεφ. τοῦ Β στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ γάμων ἐπιτετραμμένων καὶ κεκωλυμένων.

Ἀποστόλων κς΄. Συνόδου ἕκτης ς΄. Καρθαγένης ις΄.

Ὁ τῶν ἁγίων Ἀποστόλων κς΄. κανὼν, καὶ ὁ ς΄. τῆς ς΄. Συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ ις΄. τοῖς τῷ κλήρῳ κατειλεγμένοις εἰς ἀναγνώστας ἔτι καὶ ψάλτας τελοῦσι, νομίμως συγχωροῦσι γαμεῖν· μετὰ δέ γε τὸ εἰς βαθμὸν προαχθῆναι ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου, οὐκέτι· τῶν γὰρ ἱερωμένων τοὺς πρὸς γάμον ἐκκλίνοντας, καθαιροῦσιν εὐθύς.

Νεοκαισαρείας ά.

Καὶ ὁ ά. γὰρ τῆς ἐν Νεοκαισαρείᾳ, τὸν δῆθεν νομίμως γυναικὶ συναφθέντα πρεσβύτερον, τῆς ἱερωσύνης ἀπογυμνοῖ.

Συνόδου ἕκτης ιγ'.

Οἱ δὲ τῆς ς'. Συνόδου θεῖοι Πατέρες, ἐν ιγ'. κανόνι ἀνατρέποντες τὸ ἐν τῇ τῶν Λατίνων Ἐκκλησίᾳ κρατῆσαν ἔθος, τὸ τοὺς χειροτονουμένους ἱερέας τε καὶ διακόνους πίστεις πρότερον διδόναι, ἢ μὴν τελέως μετὰ τὴν χειροτονίαν ἀφέξεσθαι τῶν πρὸ ταύτης νομίμως συζευχθεισῶν αὐτοῖς γυναικῶν, ἡμεῖς, φασὶ, καὶ μετὰ τὴν χειροτονίαν, ἐρρῶσθαι τὰ συνοικέσια βουλόμεθα, τῶν ἀξίως τῆς ἱερωσύνης ἠξιωμένων, ἵνα μὴ τὸν εὐλογηθέντα τῇ τοῦ Κυρίου παρουσίᾳ γάμον λάθωμεν ὑβρίζοντες, καὶ προσέτι ἀποφηναμένου, ἃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ μὴν καὶ ὁ Ἀπόστολος, Τίμιον εἶναι λέγει τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον· καὶ πάλιν· Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν.

Ὁ τοίνυν ἀποστερῶν διάκονον, ἢ ὑποδιάκονον, ἢ πρεσβύτερον τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας, καθαιρείσθω, ἐκτὸς ὡρισμένου δή τινος καιροῦ, ὅτε μεταχειρίζειν τὰ ἅγια μέλλοιεν, ἵνα καθαροὶ τῷ καθαρῷ προσιόντες, τῶν αἰτημάτων μὴ διαμάρτοιεν.

Ἀλλὰ καί τισι τῶν περὶ τὴν Νίκαιαν τὴν πρώτην συστησαμένων Σύνοδον ἐδόκει νόμον ἐπεισάγειν, ἐπισκόπους, καὶ πρεσβυτέρους, διακόνους τε, καὶ ὑποδιακόνους, μὴ συγκαθεύδειν ὅλως ταῖς γαμεταῖς, ἃς, πρὶν ἢ ἱερᾶσθαι, νομίμως ἠγάγοντο. Ὁ μέν τοι Παφνούτιος, μιᾶς τῶν κατὰ τὰς Θήβας πόλεων ἐπίσκοπος ὤν, ἀνὴρ ἐκ παιδὸς ἐν ἀσκητηρίῳ τεθραμμένος, καὶ πᾶσαν κατωρθωκὼς ἀρετὴν, ἐπὶ σωφροσύνῃ δὲ καὶ μάλιστα γεγονὼς περιβόητος, οὐ μὴν ἀλλὰ καὶ τῷ τῆς ὁμολογίας στεφάνῳ κεκοσμημένος (ἄτερος γὰρ αὐτῷ τῶν ὀφθαλμῶν δι' εὐσέβειαν ἐξορώρυκτο), ἀντεῖπε τοῖς οὕτως ἔχουσι γνώμης, τίμιόν τε τὸν γάμον ἀποκαλῶν, καὶ σωφροσύνην τὴν πρὸς τὰς ἰδίας γαμετὰς ὁμιλίαν· συνεβούλευσε τε τῇ Συνόδῳ, μὴ τοιοῦτον θέσθαι νόμον, δυσχερὲς εἶναι τοῖς ἐν κόσμῳ διάγουσι τὸ πρᾶγμα φέρειν ἀποφαινόμενος· ἴσως γὰρ τοῦτό γε καὶ αὐτοῖς, καὶ ταῖς τούτων γαμεταῖς, τοῦ μὴ σωφρονεῖν αἰτία γενήσεται· κατὰ δὲ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, τοὺς μὲν ἀγάμους τοῦ ἱερατικοῦ τάγματος κοινωνήσαντας, μηκέτι γαμεῖν· τοὺς δὲ μετὰ τὸν

γάμον εἰς ἱερωσύνην προβιβασθέντας, ὧν ἔχουσι γαμετῶν οὐ χωρίζεσθαι. Ταῦτα μὲν ὁ Παφνούτιος, καὶ ταῦτα γάμου ἄπειρος ὤν· ἐπήνεσε δὲ τὴν τοῦ θεσπεσίου ἀνδρὸς εἰσήγησιν καὶ ἡ Σύνοδος, καὶ οὐδὲν περὶ τούτου νενομοθέτηκεν, ἀλλὰ τῇ ἑκάστου γνώμῃ τὸ πρᾶγμα, καὶ οὐκ ἀνάγκῃ θέσθαι νενόμικεν· οὕτω θεοφιλὴς ὁ Παφνούτιος οὗτος ἦν, ὡς καὶ σημεῖα θαυμαστὰ γίνεσθαι ὑπ' αὐτοῦ· σφόδρα δὲ ὁ βασιλεὺς Κωνσταντῖνος ἐτίμα τὸν ἄνδρα, καὶ συνεχῶς ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει.

Ἀγκύρας.

Τῷ δὲ ι'. τῆς ἐν Ἀγκύρᾳ μηδόλως πρόσχῃς τὸν νοῦν, δύνασθαι λέγοντι γαμεῖν τὸν διάκονον καὶ μετὰ τὴν χειροτονίαν τῇ τοῦ οἰκείου ἐπισκόπου ἐπιτροπῇ.

Νόμος.

Φησὶ γὰρ ἡ νεαρὰ τοῦ Βασιλέως Λέοντος τοῦ σοφοῦ, ὡς εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου ἐξῆν τοῖς ἱερωμένοις ἐντὸς δεκαετίας μετὰ τὴν χειροτονίαν ψηφιζομένης λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ τοῦτο, ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, οὐκ ὀφείλει κρατεῖν 1).

Ὁ χειροτονῶν ἄγαμον ἐρωτάτω αὐτὸν, εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν, καὶ εἰ κατάθοιτο, τοῦτον χειροτονείτω· ὁ δὲ ἐπιτρέπων διακόνῳ γυναῖκα μετὰ τὴν χειροτονίαν λαβεῖν, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω· πρεσβύτερος δὲ, ἢ διάκονος, ἢ ὑποδιάκονος, μετὰ τὴν χειροτονίαν γαμῶν, ἐκβάλλεται τοῦ κλήρου.

Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους ἔχειν γαμετάς.

Οἱ ψάλται καὶ οἱ ἀναγνῶσται δύνανται νομίμως γαμεῖν· οἱ δὲ ὑποδιάκονοι, καὶ διάκονοι, καὶ πρεσβύτεροι, καθάπαξ κεκώλυνται· ὅθεν τούτων οἱ γάμῳ κοινωνήσαντες, ἐκπίπτουσι τῆς ἱερωσύνης.

Ὅρος γάμου.

Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία 2), εἴτε

1) Νεαρὰ Γ'. — 2) ά. Βασ. ΚΗ'. δ'.

δι' εὐλογίας, εἴτε διὰ στεφανώματος, ἢ διὰ συμβολαίου· τὰ δὲ παρὰ ταῦτα γενόμενα ὡς μὴ γεγονότα λογίζονται.

Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι Ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωσι. Δεῖ δὲ τοὺς μὲν ἄῤῥενας, ἐφήβους εἶναι, τὰς δὲ θηλείας, ἀνδρὸς δεκτικὰς, τουτέστι, τοὺς μὲν, ὑπερβεβηκέναι τὸν τεσσαρεσκαιδέκατον χρόνον, τὰς δὲ, μείζονας εἶναι τῶν δώδεκα ἐνιαυτῶν. Ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι, εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες 1).

Οὐ γίνεται γάμος εἰμὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους 2).

Τὸν γάμον, οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν, ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις 3).

Ὁ αὐτεξούσιος, τελείαν ἄγων τὴν ἡλικίαν, καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ 4).

Τὰ πένθη τῶν ἀνιόντων οὐκ ἐμποδίζει τοὺς γάμους τῶν πενθούντων προσώπων 5).

Ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιος ᾖ 6).

Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων· ὁ δὲ τοῦτο κατατολμήσας, τιμωρίᾳ σωφρονείσθω, δηλονότι καὶ τοῦ ἱερέως, ὡς ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν 7).

Κωφὸς, καὶ ἄλαλος, καὶ τυφλὸς, καὶ γαμεῖν δύνανται, καὶ περὶ προικὸς ἐνέχονται 8).

ΚΕΦΑΛΑΙΟΝ Γ

Περὶ τῶν τοὺς ἐννόμους γάμους βδελυττομένων.

Ζήτει τὸ θ'. Κεφ. τοῦ Β στοιχείου.

---

1) Πρ. Νόμ. Τ. 4 Κ. 2 καὶ 3. — 2) 6'. Βασ. ΚΗ'. δ'.—3) Πρ. Ν. 4. 17. — 4) Πρ. Ν. Τ. 4. Κ. 12. — 5) αὐτόθι Κ. 13. — 6) αὐτόθι Κ. 22. — 7) Π. Ν. 4. 27. — 8) ξθ'. Βασ. ΚΘ'. α.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ διγάμων, τριγάμων, καὶ πολυγάμων ἀνδρῶν τε καὶ γυναικῶν, καὶ περὶ διγάμων ἱερωμένων.

Ἀποστόλων ιζ'.

Ὁ ιζ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ὁ δυσὶ γάμοις, φησὶ, μετὰ τὸ βάπτισμα ὁμιλήσας, ἢ πορνείᾳ περιπεσὼν, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου· ἡ γὰρ χάρις τοῦ παναγίου Πνεύματος, τῷ τοῦ θείου βαπτίσματος μυστηρίῳ, τῷ μήτε λόγῳ ῥητῷ, μήτε νῷ καταληπτῷ, παντὸς ῥύπου τὸν βαπτισάμενον ἀποπλύνασα, καὶ φωτὸς δεκτικὸν ἀποφήνασα, οὐ κωλύει λοιπὸν καὶ τῷ καθαρῷ φωτὶ τῆς ἱερωσύνης τοῦτον καταφαιδρύνεσθαι· μετὰ δέ γε τὸ θεῖον λουτρὸν, οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, οἷα καὶ ἱερωσύνην χαρίσασθαι·

Περὶ ἀναγνωστῶν.

Ὥστε παρὰ κανόνας δρῶσι τῶν ἀναγνωστῶν οἱ διγαμήσαντες, καὶ τὴν οἰκείαν τάξιν ἔτι διατηροῦντες.

Βασιλείου ιϐ'.

Τοῦ κανόνος τούτου καὶ ὁ μέγας μέμνηται Βασίλειος ἐν τῷ δωδεκάτῳ αὐτοῦ κανόνι, τοὺς διγάμους, λέγων, παντελῶς ὁ κανὼν τῆς κατὰ τὸν κλῆρον ὑπηρεσίας ἀπέκλεισε, τοῦτον δὴ λέγων.

Ἀποστόλων ιή.

Ὁ δὲ ἀποστολικὸς ιή· Οὐδὲ ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην πρὸς τοῦ οἰκείου ἀνδρὸς, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, αἳ τῷ ἀσέμνως βιῶναι οὐ πιστεύονται σωφρονεῖν, δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κλήρου.

Συνόδου ἕκτης γ'.

Τοῖς δυσὶ τούτοις ἀποστολικοῖς κανόσι καὶ ὁ γ'. τῆς ς'. Συνόδου συνάδει κανών.

Νόμοι.

Μηδεὶς δευτερογαμήσας χειροτονείσθω πρεσβύτερος ἢ διάκονος, μήτε μὴν εἰ γυναικὶ συνοικεῖ τὸν οἰκεῖον ἄνδρα καταλιπούσῃ,

μήτε εἰ παλλακὴν ἔχει· ἀλλ' ἢ μιᾶς ἀνὴρ γενόμενος σώφρονος, καὶ ἐκ παρθενίας. Εἰ δέ τις τούτων γαμετὴν ἢ παλλακὴν εἰσαγάγοιτο φανερῶς ἢ λαθραίως, εὐθέως τῆς ἱερᾶς ἐκπιπτέτω τάξεως, καὶ ἰδιώτης ἔστω.

Νεαρά.

Ἡ δὲ οθ'. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, Τοὺς διγαμοῦντας τῶν κληρικῶν, μήτε τοῦ σχήματος ἀλλοτριοῦσθαι κελεύει, μήτε τῆς ἐκτὸς τοῦ βήματος ὑπηρεσίας· φησὶ γάρ· Οὐκ ἀποδεχόμεθα τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται, πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον, μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικὶ, παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀλλ' ἀκυροῦμεν τὸ δόγμα. Θεσπίζομεν δὲ, μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς Ἐκκλησίαις ὑπηρεσίας ἐφάπτεσθαι οὐκ ἀθέμιτον 1).

Περὶ διγάμων λαϊκῶν.

Ἀλλ' ὁ μὲν θεῖος Ἀπόστολος Παῦλος, τὰς νεωτέρας χήρας γάμοις αὖθις προσομιλεῖν, εἰ βούλοιντο, συνεχώρησε, τὸ εὐόλισθον τῆς φύσεως ὑπειδόμενος· οἱ δὲ θεῖοι Πατέρες, καὶ τῶν ἀνδρῶν τοὺς διγαμεῖν αἱρουμένους ᾤοντο δεῖν μὴ κωλύειν, τοῦ σαρκικοῦ φρονήματος μὴ ἀγνοοῦντες τὴν ἐπανάστασιν· οὐ μὴν ἀνεπιτιμήτως εἴασαν ἔχειν.

Λαοδικείας ά.

Φησὶ γὰρ ὁ ά. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανών· Οἱ νομίμως δευτέροις ὁμιλήσαντες γάμοις, ὀλίγου διϊππεύσαντος χρόνου, καὶ ταῖς εὐχαῖς καὶ ταῖς νηστείαις σχολάσαντες, τῆς κοινωνίας κατὰ συγγνώμην ἀπολαυέσθωσαν. Εἰ δὲ, πρὶν τὰ τοῦ νομίμου γάμου τελέσασθαι, λαθραίᾳ μίξει συνῆλθον, καὶ ὡς πεπορνευκότες ἐπιτιμάσθωσαν.

---

1) τῶν τε εἰς κλῆρον προεληλυθότων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. 1375.

Βασιλείου δ'.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ δ'. κανόνι, Οἱ μὲν, φησὶν, ἐπὶ ἐνιαυτὸν ἕνα, οἱ δὲ, ἐπὶ δύο, τῆς ἱερᾶς εἴργουσι κοινωνίας τὸν διγαμοῦντα.

Περὶ γυναικῶν εἰς δεύτερον ἐρχομένων γάμον.

Ἐν δὲ τῷ μά. κανόνι, Ἡ χήρα γυνὴ, φησὶν, εἰ καὶ τῶν προσεχῶν γονέων ἀφήρηται, καὶ εἰς δεύτερον ἐλθεῖν αὐθαιρέτως οὐ κεκώλυται συνοικέσιον· φησὶ γὰρ ὁ Ἀπόστολος· Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ, τουτέστιν ἀνδρὶ πιστῷ συναφθῆναι· ζώντες δὲ οἱ γονεῖς, ὧν ὑπεξούσιος οὖσα τυγχάνει, καὶ μὴ συναινέσαντες, διασπᾶσαι δύνανται τὴν τοῦ γάμου συνάφειαν.

Νόμοι.

Φησὶ γὰρ ὁ νόμος· Ἡ ἐλάττων τῶν κέ. ἐνιαυτῶν αὐτεξουσία, μέλλουσα δευτερογαμεῖν, γνώμῃ τοῦ πατρὸς γαμείσθω 1).

Ἡ χήρα γυνὴ ἀναγκάζεται μεῖναι τὸν πένθιμον ἐνιαυτὸν, διὰ τὴν σύγχυσιν τῆς γονῆς, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστι. Γαμηθεῖσα δὲ πρὶν ἢ πληρωθῆναι τὸν μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς ἐνιαυτὸν, ἀτιμοῦται, καὶ οὐ δύναται πλέον τοῦ τρίτου τῆς οὐσίας διδόναι τῷ δευτέρῳ ἀνδρὶ, ἢ ἐν διαθήκῃ καταλιπεῖν, ὅτε παῖδας δηλαδὴ οὐκ ἔχει· καὶ αὐτὴ δὲ οὐδὲν ἕξει ἀπὸ κληρονομίας, ἢ ληγάτου, ἢ μόρτις καύσα, ἤγουν ἐπιτελευτίου δωρεᾶς, ἀλλὰ ταῦτα λαμβάνουσιν οἱ κληρονόμοι τοῦ καταλιπόντος· καὶ εἴ τι κατέλιπεναὐτῇ ὁ πρῶτος ἀνὴρ, λαμβάνουσι κατὰ βαθμὸν τὰ δέκα πρόσωπα, τουτέστιν ἀνιόντες καὶ κατιόντες, καὶ ἐκ πλαγίου, μέχρι δευτέρου βαθμοῦ· ἐξ ἀδιαθέτου δὲ κληρονόμος τῶν συγγενῶν αὐτῆς μέχρι τρίτου βαθμοῦ· ἀλλὰ καὶ πάσης ἀξίας στερεῖται, καὶ τῶν ἀπὸ τοῦ πρώτου ἀνδρὸς εἰς αὐτὴν ἐλθόντων προφάσει μνήστρων, ἢ κατὰ βούλησιν τοῦ τελευτήσαντος 2).

Νόμος.

Κατὰ κέλευσιν δὲ βασιλέως δύναται γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ δεύτερον νυμφίον ἑαυτῇ ἐπεισαγαγεῖν· ἡ δὲ τεκοῦσα ἐν τῷ

1) λδ'. Βασ. ΚΗ'. δ'. — 2) ά. Βασ. ΚΗ'. ιδ'.

πενθίμῳ χρόνῳ παραχρῆμα δύναται γαμηθῆναι. Ζήτει τὰ περὶ τούτου καὶ ἐν τῷ ἡ. Κεφ. τοῦ Β στοιχείου.

Οὐδεὶς δύναται ὑπὸ τὴν πολιτείαν ὧν τῶν Ῥωμαίων, δύο γαμετὰς ἐνταυτῷ ἔχειν 1).

Ὁ δύο γαμετὰς ἐνταυτῷ ἔχων τυπτέσθω, ἐκδιωκομένης τῆς ἐπεισάκτου γυναικὸς μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς παίδων 2).

Περὶ τριγάμων.

Βασιλείου δ', ν'.

Ὁ μέγας Βασίλειος, ἐν τῷ δ'. κανόνι, Ἐπὶ τῶν τριγάμων, συνήθειαν, φησὶ, κατελάβομεν, πενταετίας ἀφορισμὸν, τοῦ γάμου δηλαδὴ μὴ διασπωμένου· καλοῦσι δὲ τὸν τοιοῦτον οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην, τουτέστι μὴ διακεχυμένην, ἀλλὰ συνεσταλμένην, καὶ ἐν μιᾷ περιγραφομένην γυναικί· διὸ καὶ ὁ Κύριος τῇ Σαμαρείτιδι, πέντε ἄνδρας διαμειψάσῃ, Ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔστι σου ἀνήρ· ὡς οὐκ ἔτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι· δεῖ δὲ, φησὶ, μὴ πάντη τούτους ἀπείργειν τῆς Ἐκκλησίας, ἀλλ' ἐν τοῖς τόποις μόνοις τῶν ἀκροωμένων καὶ συνισταμένων μετρεῖσθαι τούτοις τὴν καταδίκην, οὐ μὴν καὶ τῶν προσκλαιόντων.

Ἀλλὰ καὶ αὖθις ἐν τῷ ν', Τριγαμίας νόμος, φησὶν, οὐκ ἔστιν, ἐκκλησιαστικὸς δηλαδή· τὰ μέντοι τοιαῦτα, οἷα ῥύπη τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα· οὐ γὰρ καταδικάζομεν τὴν πρᾶξιν ὥστε καὶ διασπᾶν· κατὰ δὲ τὸν αὐτίκα ῥηθησόμενον τῆς ἑνώσεως τόμον, καὶ τὴν διαστολὴν καὶ ψῆφον αὐτοῦ, τούτους δεχόμεθα.

Γρηγορίου τοῦ Θεολόγου.

Ὁ δὲ τῆς θεολογίας ἐπώνυμος καὶ μέγας Γρηγόριος, Τὸ πρῶτον, φησὶ, συνοικέσιον, νόμος· τὸ δεύτερον, συγχώρησις· τὸ τρίτον, παρανομία· τὸ δ' ὑπὲρ τοῦτο χοιρώδης βίος, οὐδὲ πολλὰ ἔχων τῆς κακίας τὰ παραδείγματα.

---

1) λέ. Βασ. ΚΗ'. ἑ. — 2) Πρ. Ν. 39. Τ. Τ3.

Περὶ τοῦ τόμου τῆς ἑνώσεως.

Ἤδη μὲν οὖν τοῖς παλαιοῖς νόμοις τρεῖς ἐπεγινώσκοντο γάμοι· ὁ δὲ βασιλεὺς Λέων ὁ σοφὸς, καὶ εἰς τέταρτον ἐλθὼν συνοικέσιον, ἀφορισμῷ παρὰ τοῦ πατριάρχου Νικολάου καθυπεβλήθη· οὗ καὶ ἐδεῖτο ὁ βασιλεὺς λυθῆναι τοῦ δεσμοῦ· ὡς δ' ἐκεῖνος τὸ παράπαν ἀδυσώπητος ἦν, τῆς Ἐκκλησίας τοῦτον ἐκβάλλει, καὶ τὸν Εὐθύμιον σύγκελλον, ἄνδρα ἱερὸν, προχειρίζεται πατριάρχην, ὃς καὶ τὸν βασιλέα θεσπίσαι βουλόμενον καὶ μέχρι τοῦ τετάρτου βαθμοῦ παρατείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια, πάσῃ σπουδῇ διεκώλυσεν, οὐχ ὅπως τὴν τετραγαμίαν, ἀλλὰ καὶ τὴν τριγαμίαν ἀθέμιτον εἶναι μετὰ τῶν πλειόνων ἀρχιερέων διατεινόμενος· διὰ δὲ τοῦτο καὶ σχίσμα περὶ τὴν Ἐκκλησίαν ἐγεγόνει, καὶ τὰ τῆς στάσεώς μέχρι τῆς βασιλείας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Ῥωμανοῦ τοῦ πενθεροῦ τούτου διήρκεσε· καὶ τηνικαῦτα ἐξηνέχθη τόμος ὁ λεγόμενος τῆς ἑνώσεως, τῷ ϛυκή ἔτει, διαλαμβάνων πότε, καὶ τίσι τὸν τρίτον δεῖν γάμον παραχωρεῖν, ταῖς ἀνειμέναις τῶν ἐρώτων ἐπιθυμίαις ἐκ πολλοῦ τοῦ περιόντος ἐπιτιθεὶς χαλινὸν, ὃς καὶ κατὰ τὸν Ἰούλιον μῆνα ἐτησίως ἐπ' ἄμβωνος ἀναγινώσκεται· πρὸς γοῦν τῷ τέλει ταῦτα φησί· Τοὺς εἰς ἔτος ἀναβεβηκότας τεσσαρακοστὸν, καὶ πρὸς τρίτον ἑαυτοὺς ἐπιῤῥίπτοντας γάμον, οἷα ῥύπῃ τῆς Ἐκκλησίας τυγχάνοντας, μέχρι πενταετίας ἀκοινωνήτους εἶναι θεσπίζομεν, καὶ τοῦ τοσούτου χρόνου ἐξήκοντος, ἅπαξ τοῦ ἔτους τῇ κοινωνίᾳ προσιέναι, κατὰ τὴν σεβάσμιον τοῦ σωτηρίου Πάσχα ἡμέραν, ἐν τῇ πρὸ ταύτης νηστείᾳ καθ' ὅσον οἷόν τε ἀποκαθαίροντας ἑαυτοὺς, ὁ δὲ τολμῶν ἱερεὺς, παρὰ τὸν διατεταγμένον ὅρον, μεταλήψεως θείας τινὰς τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα τούτοις ἐκ τῶν προτέρων γάμων παρῇ· εἰ δ' οὖν, ἀσυγχώρητος αὐτοῖς ἔσται ἡ τριγαμία· εἰ δέ τις τριακοντούτης ὢν, καὶ τοῦ γένους ἔχων ἐκ τῶν φθασάντων γάμων διαδοχὴν, ὅμως γε μὴν διὰ τὸ τῆς σαρκικῆς ἐπιθυμίας ἀκόλαστον τρίτῃ συναφθείη γυναικὶ, ἐπὶ τετραετίαν 1) ἀκοινώνητος ἔστω· εἶθ' οὕτω,

1) οὐ κεῖται παρὰ Β.

τρὶς τοῦ ἐνιαυτοῦ μεταλαμβανέτω, ἐν τῇ ἀναστασίμῳ τοῦ Πάσχα ἡμέρᾳ, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Θεοτόκου, καὶ ἐν τῇ τῶν γενεθλίων τοῦ Κυρίου ἑορτῇ, τῶν πρὸ τούτων νηστειῶν τὸ πλεῖστον τῆς ἐντακείσης αὐτῷ κηλίδος ἀποσμήχειν πιστευομένων· εἰ δὲ ἅπαις ὢν τυγχάνει, συγγνώμης ἀξιοῦται, δι' ἔφεσιν παιδοποιΐας τὸν τρίτον γάμον αἱρούμενος, καὶ τῷ συνήθει ἐπιτιμίῳ θεραπευθήσεται, ἐπὶ τρισὶ χρόνοις τῆς κοινωνίας εἰργόμενος.

Περὶ πολυγάμων.

Νεοκαισαρείας γ'.

Ὁ τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου τρίτος κανών, Περὶ τῶν πλείστοις, φησὶ, γάμοις περιπεσόντων, ὡς καὶ τῆς τριγαμίας προελθεῖν περαιτέρω, ὁ μὲν ὡρισμένος χρόνος σαφής· εἰ καὶ ἀτεχνῶς ἀσαφὴς, μή τινος τῶν παλαιοτέρων δηλώσαντος· ἡ δὲ πίστις καὶ ἡ ἀναστροφὴ τῶν μετανοούντων συντέμνειν οἶδε τὸν χρόνον, φησί.

Βασιλείου π'.

Ὁ δὲ τὰ πάντα σοφὸς Βασίλειος, ἐν τῷ π'. κανόνι, Τὴν πολυγαμίαν οἱ Πατέρες, φησὶ, τῷ τῆς ἀφασίας συνεκάλυψαν σκότει, οἷα κτηνώδη, καὶ τῆς ἀνθρωπίνης ἀπειοικεῖαν διαγωγῆς· ἡμῖν δὲ παρίσταται, ἤτοι δοκεῖ καὶ κρίνεται, πλέον ἢ τὴν πορνείαν ταύτην κολάζεσθαι· πολυγαμία δέ ἐστι οὐ τὸ πολλαῖς ἀδιαφόρως μίγνυσθαι, ἀλλὰ τὸ πολλὰς ἀγαγέσθαι τὸν αὐτὸν, εἰ καὶ μὴ ἀθρόον· γάμος γὰρ οὐ τὸ γυναικὶ συμφθαρῆναι μόνον ἐστὶ κατὰ χυδαιοτέραν διάλεκτον, ἀλλ' ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις τοῦ βίου παντὸς θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, ὡς οἱ νόμοι διαγορεύουσιν 1)· οὐ γὰρ ἀπὸ μόνης τῆς συναφείας γινώσκεται, ἀλλὰ καὶ ἀπὸ τῆς διαθέσεως τῶν συναλλαξάντων· ἀποσεσιωπῆσθαι δέ φασι τοῖς Πατράσιν, ὅτι ἡ μὲν τριγαμία τῷ νόμῳ ἐπιγινώσκεται, ἡ δὲ πολυγαμία καὶ τοῖς νόμοις καὶ τοῖς κανόσιν ἀπείρηται· πᾶν γὰρ συνάλλαγμα, τοὺς ὅρους ὑπερβαῖνον τῆς τριγαμίας, πολυγαμία σαφῶς

1) ἐ. Βασ. ΚΗ'. δ'.

ὀνομάζεται· καὶ τῆς πορνείας δὲ εἴρηκε χείρονα, καὶ μάλα εἰκότως· ὁ μὲν γὰρ πορνεύων, εἰς ἑαυτὸν μόνον τὴν ἀδικίαν προΐστησιν, ἑκοντὶ τῷ βαράθρῳ τῆς ἀκολασίας ἑαυτὸν ἐπιῤῥίπτων· ὁ δὲ δ'. ἢ έ. γάμον δῆθεν ἑαυτῷ συναλλάξας, κατορχεῖται μὲν τῶν κωλυόντων τοῦτον θείων κανόνων, ἀδικεῖ δὲ τοὺς γνησίους αὐτοῦ παῖδας, παρασπείρων τούτοις καὶ νόθους· διὸ καὶ μετὰ τὴν τῆς παρανομίας ἀπαλλαγὴν, καὶ τὴν γνησίαν ἐξομολόγησιν, καὶ πλέον τῶν πορνευσάντων εὐθύνεσθαι ἀξιοῖ· τοὺς μὲν γὰρ, εἰς ἑπταετίαν, τοὺς δὲ, καὶ εἰς ὀκτὼ παρατείνει χρόνους, εἰ ἀκριβῶς τὸν νοῦν ἐπιστήσεις τοῖς τοῦ ἁγίου θεσπίσμασιν· εἰ γὰρ τῶν δύο τόπων τῆς μετανοίας μόνον μνησθεὶς, τέσσαρας ἐν αὐτοῖς διελθεῖν ὥρισε χρόνους, ἥπου καὶ ἐν τοῖς δυσὶν ἑτέροις, οὓς παρῆκε διὰ συντομίαν ὡς δήλοις, ἑτέρους δεῖ τέσσαρας διαγαγεῖν, πρὸ τῆς τῶν ἁγιασμάτων μεθέξεως.

Νόμος.

Ὁ δὲ νόμος φησίν· Ἔστω οὖν τοῦτο πᾶσι κατάδηλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον, τὸν οὐ γάμον, ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, ἀλλ' οὐδὲ οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες γνήσιοι λογισθήσονται, καὶ ταῖς ποιναῖς δὲ τῶν μεμολυσμένων τῇ πορνείᾳ ὑποβληθήσονται οἱ τοιοῦτοι, ἀπ' ἀλλήλων πρότερον διαιρεθέντες 1).

ΚΕΦΑΛΑΙΟΝ Έ.

Περὶ τῆς εἰς δεύτερον γάμον ἐλθεῖν βουλομένης γυναικὸς, ἐν ἀποδημίᾳ ἢ στρατείᾳ τοῦ ἀνδρὸς αὐτῆς ἀφανισθέντος.

Βασιλείου λά.

Ὁ λά. τοῦ μεγάλου Βασιλείου κανών, Ἡ ἀναχωρήσαντος, φησὶ, τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἀφανοῦς ὄντος, μὴ ἀναμείνασα τὴν ἐπάνοδον, μήτ' αὖ πρὸς τῶν ἀκριβῶς τὰ κατ' αὐτὸν ἐγνωκότων μαθοῦσα, εἰ ἀληθῶς ἐτεθνήκει, καὶ γαμουμένη ἑτέρῳ, τῷ τῆς μοιχείας ἐνέχεται κρίματι.

1) Πρ. Νόμ. Τ. 4. Κ. 25.

Ὁ δὲ λς΄, Καὶ αἱ τῶν ἐπὶ μακρὸν ἀποδημούντων στρατιωτῶν σύνευνοι, τῷ αὐτῷ, φησὶ, τῆς μοιχείας ἐγκλήματι περιπίπτουσιν· ἔχουσι δέ τινα συγγνώμην τῷ ἐν χρόνῳ θανάτου ἀεὶ τοὺς στρατιώτας ὑποπτεύεσθαι, ἅτε περὶ πολέμους, καὶ κινδύνους, καὶ σφαγὰς ἀναστρεφομένους.

Συνόδου ἕκτης κγ΄.

Τοῖς δυσὶ τούτοις τοῦ Βασιλείου κανόσι καὶ ἡ ἕκτη Σύνοδος ἀρεσθεῖσα, ἐννενηκοστὸν τρίτον κανόνα ἑαυτῆς ἐποιήσατο, αὐτοῖς τοῖς αὐτοῦ ῥήμασι χρησαμένη, καὶ προστίθησιν, ὡς ἐπανήκων ὁ στρατιώτης ἐκ τῆς χρονίας ἀποδημίας, εἰ βουληθείη, λήψεται τὴν ἰδίαν γυναῖκα· συγγνώμη δὲ καὶ ταύτῃ καὶ τῷ νομίμως συναφθέντι δίδοται ἀνδρί· οὐ γὰρ ἐπιτιμῶνται διὰ τὴν ἄγνοιαν· ἡ δὲ τοῦ μὴ ὄντος στρατιώτου, ἀσύγγνωστος, μὴ ἀναμείνασα τὴν ἐπάνοδον· εἰ δὲ οὐχ αἱρεῖται ἡ γυνὴ τὴν μετὰ τοῦ ἐπανελθόντος στρατιώτου συμβίωσιν, οὐδὲ μετὰ τοῦ δευτέρου ἀνδρὸς καὶ βουλομένη συνοικεῖν ἐαθήσεται· εἰ γὰρ βουληθείη ὅλως, μετὰ τὴν ἐκείνου ἐπάνοδον, εἰ καὶ μὴ προσίεται ταύτην, ἔτι συνοικεῖν τῷ δευτέρῳ, ὡς μοιχαλὶς τιμωρηθήσεται, καὶ ὁ γάμος αὐτίκα διασπασθήσεται· ἐκείνας γὰρ συγγνώμης ἀξιοῦσθαί φασιν οἱ Πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ τῷ ἐξ ἀγνοίας μὴ συντιθεμένας ἁμαρτήματι, οὐ μὴν τὰς ἀνθισταμένας, καὶ τὴν μοιχείαν προαιρουμένας.

Νόμοι.

Ἐὰν στρατιώτης ἐν ἐξπεδίτῳ διάγῃ, ἤγουν ἐν δημωφελεῖ κατασκευάσματι, ὁσουσδήποτε ἐνιαυτοὺς, περιμενέτω τοῦτον ἡ αὐτοῦ γαμετὴ, κἂν εἰ μὴ γράμματα ἐδέξατο παρ' αὐτοῦ· εἰ δὲ καὶ τελευτήσαντα πύθοιτο, μηδ' οὕτως εὐθέως γαμείσθω, ἂν μὴ πρότερον τοὺς χαρτουλαρίους ἔρηται, εἰ τῇ ἀληθείᾳ ἐτελεύτησε, κἀκεῖνοι, τῶν ἁγίων Εὐαγγελίων προκειμένων, ὅρκῳ πιστώσωνται τὴν αὐτοῦ τελευτήν· ἀλλὰ καὶ οὕτω μενέτω αὖθις ἐνιαυτὸν, καὶ τότε νομίμως γαμείσθω· εἰ δὲ παρὰ τὸν προσδιορισμὸν γαμηθείη τοῦτον, καὶ αὐτὴ, καὶ ὁ λαβὼν αὐτὴν, ὡς μοιχοὶ τιμωροῦνται· εἰ δὲ οἱ καταθέμενοι ἀποδειχθεῖεν ψευ-

σάμενοι, ἀποστρατεύονται· καὶ ἔχει ἄδειαν ὁ ἐπανελθὼν στρατιώτης τὴν ἰδίαν λαβεῖν, εἰ βούλοιτο, γαμετήν 1).

Περὶ δὲ αἰχμαλώτων, ἡ νεαρὰ Λέοντος τοῦ σοφοῦ, μὴ λύεσθαι διορίζεται προφάσει τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἀπιδεῖν συνοικέσιον· εἰ δὲ καὶ συναφθείη ἑτέρῳ, ἄδειαν ἔχειν τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμαλωσίας, τὸ οἰκεῖον ἀνακαλεῖσθαι μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾷν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Ὅτι τῷ διγαμοῦντι οὐ δεῖ συνεστιᾶσθαι τὸν ἱερολογήσαντα πρεσβύτερον.

Νεοκαισαρείας ζ΄.

Ὁ ζ΄. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανών, πρεσβύτερον ἐν τῷ γάμῳ τοῦ δευτερογαμοῦντος ἑστιᾶσθαι οὐκ οἴεται δεῖν· ὃν γὰρ ἐπιτιμᾷν μέλλει καὶ ἐπ' ἐνιαυτὸν τῆς θείας εἴργειν μεταλήψεως, πῶς οἷόν τε κοινωνεῖν τούτῳ τραπέζης τηνικαῦτα, καὶ κατὰ τοῦτο δοκεῖν τῷ γινομένῳ συμπράττειν; μετὰ μέντοι τὸν γάμον αὐτῷ συνεσθίειν οὐ κωλυθήσεται.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Ὅτι τοὺς εἰς γάμον ἀπιόντας Χριστιανοὺς οὐ δεῖ παιγνίοις προσέχειν.

Λαοδικείας νγ΄.

Ὁ νγ΄. κανὼν τῆς ἐν Λαοδικείᾳ Συνόδου κελεύει τοὺς εἰς γάμον ἀπιόντας Χριστιανοὺς, τῆς προσηκούσης αὐτοῖς ἀντιποιεῖσθαι σεμνότητος 3), καὶ μὴ τοῖς ὀρχουμένοις ἢ παίζουσι προσέχειν τὸν νοῦν· ἠμέληται δὲ τανῦν τὰ τοῦ κανόνος τούτου. Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Θ στοιχείου κανόνα ταύτης νδ΄. καὶ τῆς ς΄. Συνόδου κδ΄.

1) Νεαρ. Ἰουστ. ριζ΄. Κ. ιά. — γ΄. Βασ. ΚΗ΄. ζ΄. — 2) Νεαρὰ λγ΄. — 3) καὶ κοσμιότητος 1375.

ΚΕΦΑΛΑΙΟΝ Π'.

Περὶ τῶν γαμουμένων παρθένων γυναικῶν παρὰ γνώμην τῶν οἰκείων γονέων.

Βασιλείου λή. μ'. μβ'.

Ὁ λή. τοῦ μεγάλου Βασιλείου κανών, Τὰς ὑπεξουσίας κόρας, αἳ παρὰ γνώμην τῶν ἰδίων πατέρων τοῖς ἐρασταῖς εἰς γάμου κοινωνίαν ἐκδεδώκασιν ἑαυτάς, ὡς πόρνας καταδικάζει· εἰ μέντοι, φησὶ, διαλλαγεῖεν αὐταῖς οἱ γονεῖς, καὶ τὴν μετὰ τοῦ ἐραστοῦ καὶ φθορέως αὐτῶν συνοίκησιν καταδέξαιντο, τὸ ἐξ ἀρχῆς παράνομον τῇ τῶν γονέων ὕστερον συναινέσει δοκεῖ θεραπεύεσθαι· πλὴν καὶ οὕτω γε διὰ τὴν προτέραν παρανομίαν, μετὰ τρία ἔτη τῆς κοινωνίας αἱ τοιαῦται ἀξιωθήσονται. Ἀλλὰ τότε μὲν συναινέσει μόνη ὁ γάμος ἵστατο· ἐφ' ἡμῶν δὲ οὐκ ἂν συσταίη χωρὶς ἱερολογίας.

Ἀλλὰ καὶ ὁ μ'. ἔτι δὲ καὶ ὁ μβ', τὴν ἄνευ γνώμης τοῦ οἰκείου δεσπότου γαμουμένην δούλην, οὐδὲν ἄμεινον πόρνης ἔχειν ψηφίζονται· αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον· ταύτῃ τοι καὶ οἱ παρὰ γνώμην τῶν κρατούντων γάμοι, πορνεῖαι λογίζονται· εἰ δέ γε μετέπειτα τὰ τοῦ τοιούτου παρουσιασθείη γάμου, τοῦ κυρίου αὐτῆς ἢ τῷ γάμῳ μόνον συγκατανεύσαντος, ἢ καὶ τὴν ἐλευθερίαν χαρισαμένου, ὁ γάμος μὲν ἔσαι ἀνεύθυνος, ἡ δὲ προτέρα ἁμαρτία, οἷα πορνεία, δικαίως ἐπιτιμηθήσεται. Δούλη δὲ γαμικῶς ὁτῳδήποτε συναφθεῖσα ἐλευθέρῳ, τοῦ δεσπότου εἰδότος καὶ μὴ ἀντιλέγοντος, οὐχ ὡς πόρνη λογισθήσεται· ἡ γὰρ ἐκείνου σιγὴ τὴν ἐλευθερίαν ἐξ ἀνάγκης καὶ τὸ ἀναμάρτητον ταύτῃ χαρίζεται.

Νόμος.

Ἡ ὑπεξουσία, ἢ ὁ ὑπεξούσιος, οὐ δύνανται νομίμως γαμεῖν, μὴ συναινοῦντος καὶ τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους, εἰ μή που ὁ πατὴρ γεγονυῖαν αὐτοῦ τὴν θυγατέρα χρόνων κέ. ἀνδρὶ συζεῦξαι ὑπερέθετο· τότε γὰρ ἐλευθέρῳ συζευχθῆναι μόνη οὐ κεκώλυται 1). Ζήτει καὶ τὸ λ'. Κεφ. τοῦ παρόντος στοιχείου.

1) Βασ. ΚΗ'. δ'.—Νεαρὰ ριέ. κ. γ'.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ γάμων παρανόμων καὶ ἀθεμίτων συγγενικῶν.

Τῶν μὴ ἐννόμως γινομένων γάμων, οἱ μὲν λέγονται ἀθέμιτοι, ὡς οἱ μετὰ συγγενῶν, ἢ αἱρετικῶν· οἱ δὲ, παράνομοι, ὡς οἱ μετὰ ἐπιτροπευομένης· οἱ δὲ, κατάκριτοι, ὡς οἱ μετὰ τῆς ἀνατεθειμένης τῷ Θεῷ· οὓς οἱ μὲν θεῖοι κανόνες διασπᾶσθαι μόνον θεσπίζουσιν, οἱ δὲ νόμοι, καὶ δημεύεσθαι τοὺς συναλλάξαντας, καὶ ἐξορίζεσθαι· εὐτελεῖς δὲ ὄντας, καὶ μαστίζεσθαι. Λατινικῶς δὲ, ὁ μὲν παράνομος γάμος λέγεται νεφάριος, ὁ δὲ κατάκριτος, δαμνάτος, ἴγκεστος δὲ, ὁ ἀθέμιτος.

Περὶ κληρικῶν ἀθεμιτογαμούντων.

Ἀποστόλων ιθ'.

Ὁ τοίνυν ιθ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ὁ δύο, φησὶν, ἀδελφὰς ἀγόμενος, ἢ ἀδελφιδῆν, κληρικὸς εἶναι οὐ δύναται· πᾶς γὰρ ἀθέμιτος γάμος, εἴτε ἐξ αἵματος, εἴτε ἐξ ἀγχιστείας, διασπᾶται, καὶ ὁ τούτῳ ἁλοὺς, οὐχ ὅπως τοῦ κλήρου ἐξωθεῖται, ἀλλὰ καὶ ἐπιτιμίοις ὑποβάλλεται.

Βασιλείου κζ'.

Ὁ γὰρ κζ'. τοῦ μεγάλου Βασιλείου, Ἱερέα τὸν ἀθέσμῳ γάμῳ ἐν ἀγνοίᾳ περιπαρέντα, τὴν καθ' αἷμα τυχὸν προσήκουσαν εἰσοικησάμενον, ἢ μονάστριαν τὸ ἱερὸν ἀρνησαμένην σχῆμα, ἢ τὴν τῷ πατρὶ αὐτοῦ ἐπιτροπευθεῖσαν, τοῦτον τῆς μετὰ τῶν πρεσβυτέρων καθέδρας μόνης μετέχειν ἀξιοῖ, τῶν δὲ λοιπῶν ἐνεργειῶν τῆς ἱερωσύνης ἀπέχεσθαι, μετανοοῦντα διὰ παντὸς Θεῷ καὶ ἀνθρώποις μετὰ δακρύων, τῷ μὲν, ὡς μόνῳ δυναμένῳ τὰς ἁμαρτίας ἀφιέναι, τοῖς δὲ, ἵνα τὴν συγχώρησιν αὐτῷ παρὰ Κυρίου αἰτήσωνται· εὐλογεῖν δὲ τὸν τὰ οἰκεῖα θεραπεύειν ὀφείλοντα τραύματα, οὔτε ἰδίᾳ, οὔτε δημοσίᾳ προσήκει φησὶν· ἡ γὰρ εὐλογία, χάριτος πνευματικῆς καὶ ἁγιασμοῦ μεταδίδωσιν· ᾧ δὲ τούτων οὐ μέτεστι διὰ τὸ ἀνόμημα, εἰ καὶ κατὰ ἄγνοιαν γέγονε, πῶς οὗτος ἑτέρῳ δυνηθείη μεταδοῦναι; εἰ δὲ τοῦτο, σχολῇ γ' ἂν τὸ σῶμα τοῦ Κυρίου διανεμεῖ· ἀποχρῶσα γὰρ αὐτῷ συγγνώμη διὰ τὴν ἄγνοιαν, τὸ μὴ ἐπιτιμηθῆναι, ἀλλὰ καὶ τῆς καθέδρας εἰσέτι μετέχειν.

Συνόδου ἑκτης κς΄.

Τὸν δὲ κανόνα τοῦτον ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ λεχθῆναι νομίσαντες οἱ τῆς ς΄. Συνόδου θεῖοι Πατέρες, κς΄. κανόνα ἑαυτοῖς πεποιήκασιν, αὐταῖς ταῖς αὐτοῦ χρησάμενοι λέξεσι· προσθέντες μόνον, ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος προδήλως διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν δι' ἧς τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται· εἰ γὰρ μὴ διασπασθείη τὸ ἄθεσμον συνοικέσιον, οὔτε τὴν καθέδραν ἕξει, ἀλλὰ καὶ τῆς Ἐκκλησίας ἐξωσθήσεται μετὰ τῆς παρανόμως αὐτῷ μιγνυμένης, καὶ διὰ τῆς τῶν ἀρχόντων ἐξουσίας ὁ γάμος διαλυθήσεται. Ὁ γὰρ μετὰ τὴν ἐπίγνωσιν ἐπιμένων τῇ ἁμαρτίᾳ, ὡς αἱμομίκτης ἀτεχνῶς τιμωρηθήσεται.

Περὶ λαϊκῶν ἀθεμιτογαμούντων.

Βασιλείου ἐπιστολῆς πρὸς Διόδωρον καὶ κγ΄. κανών.

Ἡ δὲ πρὸς Διόδωρον, τὸν ἐπίσκοπον Ταρσοῦ, τοῦ μεγάλου Βασιλείου ἐπιστολή, πάσης μὲν σοφίας πεπλήρωται, καὶ ῥητορικῇ περιήνθισται πιθανότητι· ἀνασκευάζει δὲ ἄττα οὐδὲ εἰς διάνοιαν ἀνθρώπῳ Χριστιανῷ τῇ τοῦ Θεοῦ χάριτι τὴν τήμερον ἔρχεται. Ἐρωτηθεὶς γὰρ πρός τινος ὁ Διόδωρος, εἰ δύναιτό τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνατο ἐγγράφως τοῦτο μὴ κωλύεσθαι· τῷ δὲ μεγάλῳ Πατρὶ Βασιλείῳ τὸν τοιοῦτον ἀπαγορεύοντι γάμον, ἡ τοῦ Διοδώρου ἔγγραφος ἀπόφασις ἐμφανίζεται· ὑπὲρ ἧς καὶ δεινοπαθήσας ὁ ἅγιος, τὴν πολλῆς ὠφελείας γέμουσαν συνέταξε ταύτην ἐπιστολήν, μὴ μόνον τὸν τοιοῦτον, ἀλλὰ καὶ πάντα ἄθεσμον ἀνατρέπουσαν γάμον· τῷ γὰρ γενικῷ χρησάμενος τῆς ἀκαθαρσίας ὀνόματι, τούτους ἅπαντας συμπεριείληφεν ἐν βραχεῖ.

Ἐν δὲ τῷ κγ΄. κανόνι, Περὶ τῶν δύο, φησὶν, ἀδελφὰς γαμούντων, ὅπως ἔχομεν κρίσεως, ἀπὸ τοῦ ἐκπεφωνημένου ἡμῖν ἐπιστολιδίου, οὗ τὸ ἀντίγραφον ἀπεστάλκαμέν σου τῇ εὐλαβείᾳ, εὖ μάλα εἴσῃ· ταύτην δὴ λέγων τὴν πρὸς Διόδωρον ἐπιστολήν, ἣν καὶ πρὸς τὸν ἅγιον πέπομφεν Ἀμφιλόχιον· τῷ δὲ λαβόντι, φησὶ, τοῦ ἰδίου ἀδελφοῦ τὴν γυναῖκα, οὐ πρότερον τόπος μετανοίας δοθήσεται, πρὶν ἂν ταύτης ἀποστῇ.

Συνόδου ἕκτης νδ'.

Ταύτης τῆς ἐπιστολῆς καὶ ὁ νδ'. τῆς ἕκτης Συνόδου κανὼν μέμνηται, καί φησιν· Εἰ καὶ ὀλίγους τῶν ἀπειρημένων γάμων ὁ ἅγιος ἠριθμήσατο, σιωπῇ δὲ τοὺς πλείους τούτων παρέδραμεν, ἵνα μὴ τὸν λόγον καταῤῥυπάνῃ τοῖς βεβήλοις ὀνόμασι, τῇ τῆς ἀκαθαρσίας μόνον γενικῇ προσηγορίᾳ τοὺς παρανόμους σύμπαντας ὑποδείξας γάμους, ἀλλ' ἡμεῖς ὁρίζομεν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ γαμικῶς συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν, μητρὶ καὶ θυγατρὶ, ἢ δύο ἀδελφαῖς, πατέρα καὶ υἱὸν, ἢ ἀδελφοὺς δύο, δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἐπταετίας πίπτειν κανόνα, ἀφισταμένους πρότερον τοῦ παρανόμου συνοικεσίου.

Βασιλείου ξζ', ξή, οέ, ος', οή, οθ'.

Ὁ δὲ τοῦ μεγάλου Βασιλείου αὖθις ξζ', τὴν ἀδελφομιξίαν εἰς εἴκοσι χρόνους, ὡς καὶ τὸν φόνον, τῆς κοινωνίας ἐκβάλλει.

Ὁ δὲ ξή, Ἡ τῆς ἀπειρημένης, φησὶ, συγγενείας πρὸς γάμον σύστασις, εἰ φωραθείη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται· ἅπερ εἰσὶν ἡ εἰς ιέ. χρόνους τῆς κοινωνίας στέρησις, πρότερον τοῦ γάμου διασπωμένου.

Ὁ δὲ οέ, Ὁ ἀδελφῇ ἰδίᾳ, ἐκ πατρὸς ἢ μητρὸς, συμμιανθεὶς, καὶ τοῦ οἴκου τῆς προσευχῆς ἐξωθείσθω, φησὶν, ἕως ἂν ἀποστῇ τῆς ἀθεμίτου καὶ παρανόμου μίξεως· ἀποσχόμενος δὲ καὶ ἀξίως μετανοήσας, μετὰ δώδεκα ἔτη τῆς θείας ἀξιούσθω κοινωνίας.

Ὁ δὲ ος', Ὁ αὐτὸς ἔστω, φησὶ, τύπος καὶ περὶ τῶν τὰς νύμφας αὐτῶν λαμβανόντων.

Ὁ δὲ οή, Οἱ δύο ἀδελφὰς εἰς συνοικέσιον λαμβάνοντες, εἰ καὶ κατὰ διαφόρους χρόνους, μετὰ τὸ διασπασθῆναι τὸν ἀθέμιτον γάμον, τῷ τῆς μοιχείας ὑπόκεινται κρίματι.

Ὁ δὲ οθ', Καὶ οἱ ταῖς μητρυιαῖς αὐτῶν ἐπιμαινόμενοι, τῷ κανόνι ὑπόκεινται, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς συμμιαινόμενοι.

Νεοκαισαρείας δ'.

Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου β', Τὴν δυσὶν ἀδελφοῖς γημαμένην ἐξωθεῖσθαι τῆς Ἐκκλησίας ἕως θανάτου κελεύει,

μὴ πειθομένην λῦσαι δηλαδὴ τὸν γάμον· νόσῳ δὲ περιπεσοῦσαν τὸν θάνατον ἀπειλούσῃ, εἰ ἐπαγγέλλεται, ὡς ῥαΐσασα λύσει τὸν γάμον, προσδέχεσθαι εἰς μετάνοιαν· εἰ δὲ καὶ τὴν γυναῖκα τελευτῆσαι συμβαίη, ἢ καὶ τὸν ἄνδρα, ἔτι τῇ τοιαύτῃ παρανομίᾳ ἐνεσχημένους, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι· ἐλέγχεται γὰρ ὡς οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας, εἰ ἔτι περιῆν τὸ ἀποιχόμενον πρόσωπον.

Ἀγκύρας κέ.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ κέ, ἰδικῶς περί τινος ἐκπεφώνηται, ὃς κόρην μέν τινα ἐμνηστεύσατο, τῇ δὲ ταύτης ἀδελφῇ συμφθαρεὶς ἐγκύμονα πεποίηκε· μετὰ δὲ τοῦτο γήμαντος αὐτοῦ τὴν μνηστὴν, ἡ φθαρεῖσα ὑπὸ τῆς λύπης ἀπήγξατο. Τοὺς οὖν συνειδότας, ἐψηφίσαντο οἱ Πατέρες, ἐπὶ δέκα ἔτη μὴ κοινωνῆσαι· συνειδότες δέ εἰσιν οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἰδῆσιν καὶ κωλῦσαι μὴ δυνάμενοι· ἐπὶ γὰρ τῶν ἀθεμίτων πράξεων οὐχ ἧττον οἱ συνεργοῦντες τῶν αὐτουργῶν τιμωροῦνται.

Τιμοθέου ιά.

Ὁ δὲ ιά. τοῦ Τιμοθέου Ἀλεξανδρείας, Τοὺς κληρικοὺς κελεύει μὴ ἀπιέναι καλουμένους εἰς γάμον, εἰ πύθοιντο εἶναι παράνομον, εὐχῆς χάριν καὶ προσφορᾶς· πολλοῦ γε δεῖ μεθ' ἱερολογίας συζευγνῦναι τοὺς οὕτω γῆμαι προελομένους, ἵνα μὴ ἀλλοτρίαις κοινωνήσωσιν ἁμαρτίαις. Ζήτει καὶ ἐν τῷ ιέ. Κεφ. τοῦ παρόντος στοιχείου, περὶ τοῦ συμφθαρέντος τῇ ἰδίᾳ πενθερᾷ.

Νόμοι.

Ὁ ἀθέμιτος οὐ βεβαιοῦται γάμος· διὰ τοῦτο, ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή.

Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἀθεμίτου γάμου, δίδωσι συγγνώμην καὶ ἡ Ἐκκλησία, καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος, καὶ μάλιστα εἰ μήπου τις αὐτοῦ κατηγόρησεν.

Οἱ αἱμομίκται, εἴτε γονεῖς πρὸς τέκνα, ἢ τέκνα πρὸς γονεῖς, ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν· οἱ δὲ κατ' ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι, πατὴρ εἰς γυναῖκα υἱοῦ, ἢ υἱὸς εἰς γυναῖκα πατρὸς, ἤγουν μητρυιὰν, ἢ

πατρωὸς εἰς προγόνην, ἢ ἀδελφὸς εἰς ἀδελφοῦ γυναῖκα, ἢ θεῖος εἰς ἀνεψιὰν, ἢ ἀνεψιὸς εἰς θείαν, ἢ εἰς δύο ἀδελφὰς, ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα, καὶ ἐν εἰδήσει οὗτοι μιγνύμενοι, τυπτόμενοι ῥινοκοπείσθωσαν, αὐτοί τε καὶ αἷς συνεφθάρησαν 1).

Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμφθειρόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα εἰσίοντες καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ πρὸς μητέρα καὶ θυγατέρα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν 2).

Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου μιγνύμενος, ἢ ἄλλως λαθραίως συμπλεκόμενος, ἅμα τῇ αὐτῇ ῥινοκοπείσθωσαν 3)· εἰ δὲ ὕπανδρος εἴη, πρὸς τούτῳ καὶ τυπτέσθωσαν 4).

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων.

Ζήτει τὸ ιγ'. Κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἐπὶ γάμῳ λαμβανόντων τὰς τῷ Θεῷ ἀφιερωμένας.

Συνόδου τετάρτης ις'.

Ὁ ις'. τῆς τετάρτης συνόδου κανὼν, Παρθένον, φησὶν, ἀναθεῖσαν ἑαυτὴν τῷ δεσπότῃ Θεῷ, ὡσαύτως καὶ μονάζοντα, μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν· εἰ δὲ παραβαίεν τὰ ὡμολογημένα, τῆς θείας ἀφορίζεσθαι κοινωνίας· τὸν δὲ χρόνον τῆς αὐτῶν μετανοίας, ὁ κατὰ τόπον ἐπίσκοπος πρὸς τὴν διάθεσιν ἑκάστου οἰκονομήσει. Φησὶ γὰρ καὶ ὁ θεολόγος Γρηγορίου φωνή· Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ Θεὸς, μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν Θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι;

1) Ηρ.Νόμ. ξθ'. Τ. λθ'. — 2) αὐτόθι οϐ'. — 3) Ἅμα ῥινοκοπείσθων 1340. ἅμα ῥινοκοπείσθω 1375, Β. — 4) αὐτόθι ξγ'.

Συνόδου ἕκτης δ'.

Ὁ δὲ δ'. τῆς ἕκτης συνόδου κανὼν, Τὸν γυναικὶ μιγνύμενον ἀφιερωμένῃ Θεῷ, εἴτε παρθένος εἴη δηλαδὴ, εἴτε χήρα, κληρικὸν μὲν ὄντα, καθαιρεῖ, λαϊκὸν δὲ, ἀφορίζει· ἄλλως δὲ ὁ νόμος τούτους κολάζει.

Τῶν μέν τοι τοῖς ἑξῆς ῥηθησομένων κανόσιν, ἀπραξίαν μὲν ἡ τῶν πραγμάτων κατεψηφίσατο μεταβολὴ, λεγέσθω γε μήν.

Ὁ ιέ. τῆς τετάρτης συνόδου κανὼν, Μὴ χειροτονείσθω, φησὶ, γυνὴ διάκονος, πρὶν εἰς μ'. αὐτὴν ἥκειν χρόνον· τὴν δὲ μετὰ τὴν χειροτονίαν εἰς τὴν θείαν ἐνυβρίσασαν χάριν, καὶ γάμῳ ἑαυτὴν ἐπιδοῦσαν, ταύτην τε ἀναθεματίζεσθαιι καὶ τὸν αὐτῇ συμφθαρέντα.

Βασιλείου κδ'.

Ὁ δὲ μέγας Βασίλειος, ἐν κδ'. κανόνι, Εἰ καὶ ἀνδρὶ, φησὶ, χηρεύσαντι, οὐδεὶς ἐπίκειται νόμος ὁ κωλύων δευτερογαμεῖν, εἰ μὴ τὸ τῶν διγάμων ἐπιτίμιον μόνον, ἀλλά γε τὴν τῷ τάγματι τῶν χηρῶν καταλεγεῖσαν γυναῖκα, ὕστερον γαμουμένην, ἔκρινεν 1) ὁ Ἀπόστολος παρορᾶσθαι, καὶ μὴ τρέφεσθαι παρὰ τῆς Ἐκκλησίας. Ἡ μέντοι ἑξηκοντούτις, εἰ πρὸς δεύτερον ἀποκλίνειε γάμον, τῆς κοινωνίας ἀποκλεισθήσεται μέχρις ἂν τοῦ πάθους ἀποστῇ, τὸ ἐναγὲς τούτου μισήσασα καὶ ἀκάθαρτον· εἰ μέντοι πρὸ ἑξήκοντα, φησὶν, ἐτῶν ταῖς χήραις αὐτὴν ἀριθμήσωμεν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

Νόμος.

Οἱ ταῖς μοναζούσαις, ἢ ταῖς διακόνοις, ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς τὴν νύμφην Χριστοῦ, τὴν Ἐκκλησίαν, ὑβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς οὗτοι συνεφθάρησαν 2).

Αἱ χειροτονούμεναι διάκονοι, εἰ τολμήσαιεν καταισχύναι τὴν χειροτονίαν προσομιλοῦσαι γάμῳ, ἢ ἄλλῃ βίου πορνείᾳ, θανάτου γενήσονται ἔνοχοι, καὶ τοῖς αὐτῶν μοναστηρίοις ἢ ταῖς αὐτῶν Ἐκκλησίαις αἱ αὐτῶν περιουσίαι προσκυρωθήσονται· οἱ δὲ γῆμαι καὶ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται 3).

---

1) ὥρισεν ὁ Ἀπόστολος Γ. — ὁ Παῦλος 1375. — 2) Πρόχ. Ν. ξθ'. Τ. Λθ'. — 3) Νεαρὰ Ἰουστ. ς'. Κεφ. ς'.

Περὶ γυναικῶν διακόνων, καὶ χηρῶν.

Ἕτερον δ' ἦν ποτε τὸ τῶν διακόνων γυναικῶν τάγμα, καὶ ἕτερον τὸ τῶν χηρῶν· τὰς μὲν γὰρ τὸ τῆς παρθενίας 1) ἑλομένας σεμνὸν, καὶ πεῖραν τῆς ἐν ἁγνείᾳ ζωῆς ἐν τῷ τεσσαρακοστῷ χρόνῳ παρασχομένας, διακόνους οἱ Πατέρες ἐχειροτόνουν· τὸ γὰρ εὐεξαπάτητον αὐτῶν καὶ πρὸς κακίαν εὐόλισθον ὑφορώμενοι, εἰς τοῦτο τοῦ χρόνου χειροτονεῖν αὐτὰς ὤοντο δεῖν· τὰς δέ γε κατειλεγμένας τῷ τάγματι τῶν χηρῶν, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα εἶναι ὁ Ἀπόστολος διορίζεται· καὶ εἰκότως γε· ἐκείναι μὲν γὰρ ἄγευστοι τῆς τοῦ κόσμου τυγχάνουσαι ἡδονῆς, οὐ ῥᾳδίως τῷ πάθει μετὰ τὸν τοσοῦτον ἁλώσονται χρόνον· αἱ δὲ χῆραι, ἀνδρὸς εὐνῆς πειραθεῖσαι, μᾶλλον ἂν σχοῖεν πρὸς τὸ πάθος ἐπιῤῥεπέστερον, τὸ σαρκικὸν αὐτῶν φρόνημα τῆς συνηθείας ἐρεθιζούσης· παρὸ καὶ ἑξηκοντούτην τὴν χήραν εἶναι ὡρίσαντο, ὡς πρὸς γῆρας κλίνασαν ἤδη, ἡνίκα καὶ τῆς ἐπιθυμίας ἀπομαραίνεσθαι φλὸξ εἰώθει· ἦσαν μέντοι καὶ μήπω πρὸς ἑξηκοστὸν ἀναβεβηκυῖαι χρόνον, αἱρούμεναι μετὰ λαϊκοῦ σχήματος σωφρονεῖν· ὧν καὶ πλειόνως οἱ Πατέρες ἐφρόντιζον, ἢ τῶν χηρευσάντων ἀνδρῶν· καὶ τὰ πρὸς τροφὴν αὐταῖς ἀπὸ τῶν τῆς Ἐκκλησίας ἐχορήγουν, ἵνα μὴ προφάσει τοῦ ἐνδεῶς ἔχειν, πρὸς δεύτερον ἀναγκασθεῖεν γάμον ἰδεῖν, ἣν οἱ χηρεύσαντες οὐκ ἔχουσι προβάλλεσθαι, πολυτρόπως τὰ πρὸς ζωὴν πορίζόμενοι. Ἐκ δὲ τῆς πρὸς Τιμόθεον πρώτης τοῦ μεγάλου Παύλου ἐπιστολῆς εἴση σαφῶς, ὅσης παρὰ τῆς Ἐκκλησίας αἱ χῆραι φροντίδος ἠξίωντο.

Αἱ μέντοι διάκονοι γυναῖκες τίνα τὴν ὑπηρεσίαν ἐν τῷ κλήρῳ τῷ τότε ἐξεπλήρουν, τοῖς πᾶσι σχεδὸν ἠγνόηται νῦν· πλὴν εἰσὶν οἳ λέγουσιν, ὅτι ταῖς βαπτιζομέναις τῶν γυναικῶν ὑπηρέτουν, ἀνδρῶν ὀφθαλμοῖς οὐ θεμιτὸν ὂν γυμνουμένας ταύτας ὁρᾶσθαι, ὑπεράκμους ἤδη βαπτιζομένας. Ἄλλοι δέ φασιν, ὅτι καὶ εἰς τὸ ἅγιον θυσιαστήριον ἐφεῖτο ταύταις εἰσέρχεσθαι, καὶ τὰ τῶν διακόνων ἀνδρῶν παραπλησίως αὐτοῖς μετιέναι. Κεκώλυν-

4) τὰς μὲν γὰρ βίον ἑλομένας σεμνὸν Γ.

ται δὲ παρὰ τῶν ὕστερον Πατέρων τούτου τε ἐπιβαίνειν, καὶ τὰ τῆς ὑπηρεσίας ταύτης μετέρχεσθαι, διὰ τὴν τῶν ἐμμήνων ἀπροαίρετον ῥύσιν· ἀλλὰ βατὸν μὲν εἶναι πάλαι καὶ γυναιξὶ τὸ ἅγιον θυσιαστήριον, ἐκ πολλῶν μέν ἐστι καὶ ἄλλων καταστοχάσασθαι, καὶ μάλιστα ἐκ τοῦ ἐπιταφίου λόγου, ὃν ἐπὶ τῇ ἀδελφῇ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος πεποίηκε· γυναῖκα δὲ τῆς ἱερᾶς καὶ ἀναιμάκτου γίνεσθαι θυσίας διάκονον, οὔ μοι δοκεῖ τὸ πιθανὸν ἔχειν· ὡς ἔστιν οὐ λόγον σῶζον, τὰς μὴ συγχωρουμένας δημοσίᾳ διδάσκειν, εἰς διακόνου βαθμὸν ἀνιέναι, οἷς ἔργον τὸ διὰ λόγου καθαίρειν τοὺς προσιόντας τῶν ἀπίστων ἐπὶ τὸ βάπτισμα.

Τά γε μὴν παλαιὰ τῶν βιβλίων, οἷς ἡ τῶν χειροτονιῶν ἁπασῶν ἀκριβῶς ἐγγέγραπται τελετὴ, καὶ τὸν καθ' ἡλικίαν ὁποῖον εἶναι δεῖ χρόνον ὑφηγεῖται τῆς διακόνου, ὅτι τεσσαρακοστός· καὶ τὸ σχῆμα, ὅτι μοναχικὸν, καὶ τοῦτο τέλειον· καὶ τὸν βίον, ὅτι τῶν ἀνδρῶν ἀμιλλᾶσθαι χρὴ ταύτην τοῖς ἄκροις τὴν ἀρετήν· τελεῖσθαι δὲ καὶ ἐπ' αὐτῇ, πλὴν ὀλίγων, ὅσα καὶ ἐπὶ τοῖς διακόνοις· τῇ γὰρ ἱερᾷ τραπέζῃ προσαγομένην μαφορίῳ καλύπτεσθαι, τῶν ἄκρων τούτου ἔμπροσθεν ἀπηωρημένων· καὶ μετὰ τὸ ῥηθῆναι τό, Ἡ θεία χάρις, ἡ τὰ ἀσθενῆ θεραπεύουσα, οὐδέτερον τῶν ποδῶν εἰς γόνυ κλίνειν, ἀλλὰ μόνην τὴν κεφαλήν· καὶ ἐπιτιθέντα ταύτῃ τὸν ἀρχιερέα τὴν χεῖρα, ἐπεύχεσθαι ἀμέμπτως αὐτὴν τὸ τῆς διακονίας ἔργον ἐπιτελέσαι, σωφροσύνην καὶ σεμνὴν πολιτείαν μετερχομένην, καὶ τοῖς ἁγίοις οὕτω ναοῖς προσκαρτερεῖν οὐ μὴν καὶ τοῖς ἀχράντοις μυστηρίοις ὑπηρετεῖν ἐπιτρέπει, ἢ ῥιπίδιον ἐγχειρίζεσθαι, ὡς ἐπὶ τοῦ διακόνου, εἶτα τῷ τραχήλῳ ταύτης ὑπὸ τὸ μαφόριον ἐπιτιθέναι τὸν ἀρχιερέα τὸ διακονικὸν ὡράριον, φέροντα εἰς τὰ ἔμπροσθεν τὰς δύο τούτου ἀρχὰς, ἐν δὲ τῷ καιρῷ τῆς μεταλήψεως, μετὰ τοὺς διακόνους τῶν θείων κοινωνεῖν αὐτὴν μυστηρίων· εἶτα λαμβάνουσαν τὸ ποτήριον ἐκ τῶν χειρῶν τοῦ ἀρχιερέως, μηδὲν μεταδιδόναι, ἀλλ' εὐθὺς ἐπιτιθέναι τοῦτο τῇ ἁγίᾳ τραπέζῃ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Ὅτι οὐ δεῖ γάμους συναλλάττειν μετὰ αἱρετικῶν.

Περὶ κληρικῶν.

Συνόδου τετάρτης ιδ΄.

Ὁ μὲν ιδ΄. τῆς δ΄. Συνόδου κανὼν, ὀρθοδόξους κληρικοὺς αἱρετικαῖς συνάπτεσθαι γυναιξὶ πάντῃ ἀπείρηκε· τῶν δὲ ἤδη συνῳκηκότων τοὺς παῖδας, τῇ καθολικῇ Ἐκκλησίᾳ κελεύει προσάγεσθαι· καὶ εἰ μὲν ὑπὸ αἱρετικῶν ἔτυχον βαπτισάμενοι, ὧν τὸ βάπτισμα τοῖς ὑγιῶς φρονοῦσιν ἀπόβλητον, ἄνωθεν βαπτίζεσθαι· εἰ δ᾽ οὖν, μόνῳ τῷ θείῳ χρίεσθαι μύρῳ· εἰ δὲ μήπω βαπτίσματος σφραγῖδι πρός του ἐνεσημάνθησαν, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι· ἀλλὰ μὴν μηδὲ γαμικῶς συνάπτειν τούτους αἱρετικοῖς, μήτε μὴν Ἰουδαίοις, μήθ᾽ Ἕλλησιν· αἱρετικοὺς μὲν τοὺς τὸ καθ᾽ ἡμᾶς δεχομένους μυστήριον λέγων, ἔν τισι δὲ σφαλλομένους, παρὸ καὶ διαφερομένους τοῖς ὀρθοδόξοις· Ἰουδαίους δὲ, τοὺς Χριστοκτόνους, καὶ Ἕλληνας, τοὺς περιφανῶς ἀπίστους καὶ εἰδωλομανίαν νοσοῦντας. Εἰ δ᾽ ἴσως ὁ αἱρετικὸς, ἢ ὁ ἄπιστος συνθέσθαι τῇ ὀρθοδόξῳ ἐπαγγέλλεται πίστει, τὸ μὲν συνάλλαγμα προβαινέτω, φησί· ἡ δέ γε συνάφεια ὑπερτιθέσθω, μέχρις ἂν καὶ τὰ τῆς ἐπαγγελίας ἔργοις βεβαιωθῇ. Ταῦτα καὶ τῶν Λατίνων ποιεῖν εἰσπράττονται, οἱ ὀρθοδόξους ἀγαγέσθαι γυναῖκας αἱρούμενοι· οἱ δὲ μὴ πειθόμενοι τούτοις, κανονικοῖς ἐπιτιμίοις ὑπόκεινται· σὺν τῇ διαλύσει γὰρ τοῦ γάμου καὶ ἐπιτιμῶνται οἱ παραβαίνοντες.

Λαοδικείας ί.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ί, Οὐ δεῖ, φησὶ, τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως πρὸς κοινωνίαν γάμου τὰ ἑαυτῶν τέκνα συνάπτειν αἱρετικοῖς.

Καρθαγένης κά.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ κά, Τὰ τέκνα τῶν κληρικῶν, ἐθνικοῖς, ἤγουν ἀπίστοις ἢ αἱρετικοῖς, γαμικῶς ἀπαγορεύει συνάπτεσθαι.

Συνόδου ἕκτης οβ'.

Ὁ δὲ οβ'. κανὼν τῆς ς'. Συνόδου οὕτω κατὰ ῥῆμα θεσπίζει· Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί· μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον συζεύγνυσθαι· ἀλλ' εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον ἡγεῖσθαι τὸν γάμον, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐ δὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον· ἂν δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Εἰ γὰρ κατὰ τὸν πολιτικὸν νόμον γάμος ὁρίζεται κοινωνία καὶ συγκλήρωσις θείου τε καὶ ἀνθρωπίνου δικαίου, πῶς ἂν συμβαῖεν ἀλλήλοις οἱ περὶ τὰ μείζω διαφερόμενοι τῇ τῆς ψυχῆς διαθέσει, τἀναντία φρονοῦντες περὶ τὴν πίστιν; διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθεμίτου γάμου, καὶ ἀφορίζεσθαι τοὺς παραβαίνοντας 1) ἀξιοῖ.

Ἀλλὰ ταῦτα μὲν περὶ τῶν γαμικῶς τὸ νῦν εἶναι συναπτομένων, καὶ τοῦ μὲν ἑνὸς μέρους αἱρετικοῖς προσανέχοντος δόγμασι, θατέρου δὲ τὰ τῆς ὀρθῆς πρεσβεύοντος πίστεως· εἰ δὲ καὶ ἄμφω τὰ μέρη, φησί, ὅτε γαμικῶς συνῆλθον τὸ ἐξ ἀρχῆς, τῆς τῶν ὀρθοδόξων ἠλλοτρίωντο μοίρας, εἶτα τὸ μὲν ἐπέγνω τὴν ἀλήθειαν, θάτερον δὲ τῷ σκότῳ τῆς ἀσεβείας εἰσέτι δουλεύει, οὐ παρὰ τοῦτο τὸ συνοικέσιον διαλυθήσεται, ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ὁ μέγας διορίζεται Παῦλος· Εἰ γὰρ αἱρεῖται, φησί, τῷ ἀπίστῳ συνοικεῖν ἡ πιστὴ, ἢ τοὐναντίον ὁ πιστὸς τῇ ἀπίστῳ, μὴ χωριζέσθω· ἡγίασται γὰρ ὁ ἄπιστος ἐν τῇ γυναικὶ, καὶ τὸ ἔμπαλιν· πλὴν ὅρα, ὅπως καὶ ὁ θεῖος Ἀπόστολος, συγκαταβάσει χρώμενος, Εἰ αἱρεῖται, φησὶ, τὸ πιστὸν μέρος συνοικεῖν τῷ ἀπίστῳ, ὥστε, εἰ μὴ αἱρεῖται, ἀναμφιβόλως ὁ γάμος λυθήσεται.

Πέπεισμαι δὲ ὅτι τῆς ἀρχῆς ἦν ταῦτα καὶ τῶν προοιμίων τοῦ κηρύγματος· τὸ δὲ τήμερον ἔχον, πῶς οἷόν τε Ἰουδαῖον ἢ Ἀγαρηνὸν βαπτισθέντα συνοικεῖν ἔτι τῇ 1) ἀβαπτίστῳ, ἢ τὴν βαπτισαμένην τῷ μὴ πιστεύοντι; καθὰ δὴ καὶ ἐπὶ τοῦ πατρι-

1) παραμένοντας 1340 Γ. καὶ ε. — 2) τῇ ἀπίστῳ· ἤγουν τῇ ἀβαπτίστῳ 1373.

ἄρχου γέγονε Θεοδότου. Βυκινάτωρ γὰρ βασιλικὸς βαπτισθεὶς, πατριαρχικῷ γράμματι διεζύγη τῆς γυναικὸς, μὴ πειθομένης τῷ ἀνδρὶ, πολλὰ παρακαλοῦντι τὰ τῆς εὐσεβείας ἐλέσθαι.

Λαοδικείας Λά.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ λά, Οὐ δεῖ, φησὶ, πρὸς πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐδὲ υἱοὺς διδόναι ἢ θυγατέρας, δέει τοῦ μὴ τὴν ἐκείνων κακοδοξίαν μεταμαθεῖν, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γενέσθαι. Τὸ δὲ, οὐ δεῖ πρὸς πάντα αἱρετικὸν, ἀντὶ τοῦ, πρὸς οὐδένα· ἰδίωμα γάρ ἐστι γραφικὸν, ὡς τὸ, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα· οὐ γὰρ οἷόν τε καί τινα λαβεῖν· καὶ ἀλλαχοῦ· Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· οὐ γάρ εἰσι καὶ οἱ ματαίως κτισθέντες· ἀσεβὲς γὰρ τοῦτο νομίζειν.

Νόμος.

Μὴ λαμβανέτω Ἰουδαῖος Χριστιανὴν, μήτε Χριστιανὸς Ἰουδαίαν, μήτε αἱρετικὸς καὶ ἀλλότριος τῆς πίστεως κατά τινα πρόφασιν Χριστιανοῖς πρὸς γάμον συναπτέσθω 1).

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὁ γάμος ἐκ ποίων αἰτιῶν λύεται.

Νόμος.

Περὶ τῆς τῶν γάμων διαλύσεως ἐν πολλοῖς τόποις ὁ πολιτικὸς διέξεισι νόμος· τελεώτερον δὲ ἡ Ἰουστινιάνειος νεαρὰ, ῥητῶς

1) λή. Βασ. Α. α.—Ἐνταῦθα ἀναγινώσκεται ἐν Χ. 1375 τὰ ἑξῆς· Συνόδου τετάρτης ιδ'. — Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία Σύνοδος, μὴ ἐξεῖναί τινι αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν. Τοὺς δὲ ἤδη ἐκ τοῦ τοιούτου γάμου παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τέκνα παρὰ τοῖς αἱρετικοῖς, προάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς Ἐκκλησίας· μὴ βαπτίσαντας δὲ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ ἐπὶ τοῖς αἱρετικοῖς, μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ, ἢ Ἰουδαίῳ, ἢ Ἕλληνι, εἰμὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ. Εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας Συνόδου, κανονικῷ ὑποκεῖσθαι ἐπιτιμίῳ.

τὰς αἰτίας ἐκτιθεμένη, δι' ἃς ὁ ἀνὴρ ἢ ἡ γυνὴ δύναται ρεπούδιον πέμπειν, ἤτοι, ἀποστάσιον τῷ ὁμοζύγῳ, καὶ τὴν προῖκα ἀποκερδαίνειν, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ, παίδων οὐκ ὄντων, ἀπολαύειν καὶ τῆς δεσποτείας τὸ ἀναίτιον πρόσωπον· εἰ γὰρ καὶ πάλαι τοῖς ἀνθρώποις ἐξῆν καὶ ἐκ τῶν παλαιῶν νόμων, καὶ ἐξ ἔθους μακροῦ ἀναιτίως λύειν τὰ συνοικέσια, ὥστε λέγειν τὸν ἄνδρα τῇ ὁμοζύγῳ· Γύναι, πράττε τὰ σά· καὶ ταύτην ἐκείνῳ· Ἄνερ, πράττε τὰ σά· καθὰ δὴ καὶ τοῖς τῶν Ἑβραίων ἀνδράσι πάλαι νενομοθέτητο, βιβλίον πέμπειν ἀποστασίου τῇ γυναικί· ἀλλὰ τὸ νῦν εἶναι τοῦτο παρὰ Χριστιανοῖς ἀνήρηται· αἰτίαι δὲ πρὸς τῶν εὐσεβῶν ἠρίθμηνται βασιλέων ὀνομαστὶ, δι' ἃς καὶ μόνας τὸν γάμον ἔξεστι διαλύειν, καὶ μιᾶς ἄνευ ἐκείνων ἀθέμιτον διασπᾶν.

Αἱ αἰτίαι τῆς γυναικός.

Καὶ ὁ μὲν ἀνὴρ πέμπει ρεπούδιον τῇ γυναικὶ, καὶ τὴν προῖκα ταύτης ἀποκερδαίνει, ὡς εἴρηται, διὰ τὰς αἰτίας ταύτας·

α'. Εἰ σύνοιδέ τινας ἡ γυνὴ τῇ βασιλείᾳ ἐπιβουλεύοντας, καὶ τῷ ἰδίῳ μὴ ἐφανέρωσεν ἀνδρί.

β'. Εἰ κατηγορία μοιχείας κατὰ τῆς γυναικὸς γένοιτο, καὶ κατὰ τοὺς νόμους ἀπελεγχθείη μοιχευθῆναι αὐτήν.

γ'. Ἐὰν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα, τοῦτο μὴ φανερώσῃ.

δ'. Ἐὰν ἀνδράσι ξένοις παρὰ γνώμην τοῦ ἀνδρὸς συμποσιάζῃ, ἢ συλλούηται.

ε. Ἐὰν ἔξω τοῦ οἴκου μείνῃ παρὰ γνώμην τοῦ ἀνδρὸς, εἰ μήπου τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν· ἢ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν ἐξωθήσῃ, καὶ, γονέων αὐτῇ μὴ ὑπαρχόντων, ἔξω τὴν νύκτα διαβιβάσῃ.

ς'. Ἐὰν ἱππικοῖς, ἢ θεάτροις, ἢ κυνηγεσίοις παραγένηται, ἐπὶ τῷ θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός 1).

Τὸ μέν τοι γραφικὸν τὸ λέγον, Μὴ ἐπιστρέφειν τὴν μοιχευθεῖσαν πρὸς τὸν ἑαυτῆς ἄνδρα, περὶ ἀνδρὸς νόει μὴ θέλοντος

1) Νεαρ. Ἰουστ. ριζ'. κ. ή. α Θέμ. α—γ. Βασ. ΚΗ'. ζ'.

ἀναλαβέσθαι ταύτην· εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἐντὸς διετίας ἀναλαμβάνει, κατὰ τὴν τοῦ Ἰουστινιανοῦ νεαρὰν, καὶ Λέοντος τοῦ σοφοῦ.

Αἱ αἰτίαι τοῦ ἀνδρός.

Ἡ δὲ γυνὴ πέμπει ῥεπούδιον τῷ ἀνδρὶ διὰ τὰς αἰτίας ταύτας, δυναμένη ἀναλαβεῖν τήν τε ἑαυτῆς προῖκα, καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν τοῦ ἀνδρὸς, ὁμοίως τοῖς παισὶ φυλαττομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ, παίδων οὐκ ὄντων, ἔχειν καὶ τὴν αὐτῆς δεσποτείαν 1).

α'. Ἐάν τι κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηται, ἢ τοῦτο τισὶ βουλευομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι' ἑαυτοῦ, ἢ δι' οἱουδήποτε προσώπου.

β'. Ἐὰν οἱῳδήποτε τρόπῳ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός.

γ'. Ἐὰν τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων, ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.

δ'. Ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ ἐπὶ μοιχείᾳ, μὴ ἀποδείξῃ.

ε'. Ἐὰν ἑτέρᾳ συνέρχηται γυναικὶ ἐν τῷ αὐτῷ οἴκῳ, ἢ τῇ αὐτῇ πόλει, καὶ ὑπομνησθεὶς παρ' αὐτῆς ἢ τῶν γονέων αὐτῆς, ἢ οἱουδήτινος ἑτέρου, ἀποσχέσθαι μὴ βούληται.

Ἐπὶ τούτοις μὴ μόνον τὴν πρὸ γάμου δωρεὰν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον αὐτῆς ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, καὶ τὰς τιμωρίας ὑφίσταται ἃς ἔμελλε παθεῖν 2) ἡ γυνὴ καταδικαζομένη.

Πλὴν οὔτε ἡ γυνὴ αὐτονόμως ἀναχωρεῖν δύναται τοῦ ἀνδρὸς, οὔτε οὗτος ἐκείνης, χωρὶς κρίσεως καὶ ψήφου τῶν δικαστῶν, ὡς διάφοροι τοῦτο θεσπίζουσιν Ἰουστινιάνειοι νεαραί· διὰ τοῦτο ὁ γαμήσας τὴν μὴ οὕτως ἀπολυθεῖσαν μοιχᾶται.

Λύσις γάμου ἀζήμιος, καὶ περὶ τοῦ δι' ἄσκησιν λυομένου γάμου.

Ἀζημίως δὲ λύεται γάμος, ὅτε, τριετίας παρελθούσης, ὁ ἀνὴρ οὐχ οἷός τε εἴη συνιέναι τῇ γαμετῇ, εἰ καὶ αὐτὸς τὴν διάζευξιν

1) ἀ Βασ. ΚΗ', ζ'. — Νεαρ. Ἰουστ. ριζ'. κεφ. θ'. — 2) τὸ, παθεῖν, οὐ κεῖται παρὰ Β. καὶ ε.

οὐχ αἱρεῖται, μενούσης παρὰ τῷ ἀνδρὶ τῆς πρὸ τοῦ γάμου δωρεᾶς, μηδὲν οἴκοθεν ζημιουμένῳ 1).

Λύεται γάμος καὶ ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαῖνον ὁδὸν, καὶ τὸν ἀμείνω βίον αἱρούμενον· τηνικαῦτα γὰρ κελεύομεν παῤῥησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὰ βελτίω μεθισταμένοις, διαλύειν τὸ συνοικέσιον, καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολιμπανομένης τῷ καταλελειμμένῳ παραμυθίας· ὅπερ γὰρ ἂν συμφωνήσειαν οἱ συμβαλόντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ, εἴτε γυνὴ καθεστήκοι· διότι καὶ οὗτος τό γε ἐπὶ τῷ συνοικήσαντι δοκεῖ τελευτᾶν, ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος 2).

Ἡ γὰρ ἀπόκαρσις, καὶ ἄκοντος θατέρου τῶν ὁμοζύγων, γίνεται ἀσφαλῶς· καὶ λέγομεν ἀγαθῇ χάριτι τὴν διάζευξιν γίνεσθαι· καὶ τὸ περιλειφθὲν πρόσωπον δύναται πρὸς ἑτέραν συζυγίαν ἐλθεῖν 3)· ἀλλὰ τῇ τοῦ χειροτονηθέντος ἐπισκόπου γυναικὶ τοῦτο οὐ δέδοται· καὶ διὰ τοῦτο μετὰ συναινέσεως αὐτῆς δεῖ γενέσθαι τὴν χειροτονίαν, καὶ οὕτως ἐπακολουθεῖν ἀπαραιτήτως τὴν ταύτης ἀπόκαρσιν.

Λύεται γάμος καὶ ὅταν αἰχμάλωτος γένηται ὁ ἀνὴρ, ἢ ἡ γυνὴ, ἄδηλον ὂν ἐπὶ πενταετίαν, εἰ ζῇ 4).

Εἰ δὲ παρὰ τὰς ὑφ' ἡμῶν, φησὶ, διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν, εἴτε ἐξ αὐτοῦ, εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι, καὶ αὐτοὺς εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ μέρος τῷ μοναστηρίῳ δίδοσθαι ἐκ τῆς οὐσίας αὐτῶν· εἰ δὲ μὴ ἔχοιεν κατιόντας, ἀλλὰ ἀνιόντας, τούτους τὸ τρίτον μέρος τῆς οὐσίας αὐτῶν λαμβάνειν, εἰ μὴ τῇ λύσει τοῦ γάμου συνήνεσαν· εἰ δὲ μήτε ἀνιόντες, μήτε κατιόντες εἶεν, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις οἷς ἐνεβλήθησαν δίδοσθαι· ἀλλὰ καὶ τοὺς τὰ τοιαῦτα συντιθέντας ἀθέμιτα συμβόλαια, κελεύομεν ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι, καὶ εἰς ἐξορίαν πέμπεσθαι· εἰ δὲ οἱ τὸν γάμον λύειν

1) δ'. Βασ. ΚΗ'. ζ'. — 2) αὐτόθι. — 3) Νεαρ. ρκγ'. μ'. — 4) Βασ. αὐτόθι.

ἐπιχειρήσαντες βουληθεῖεν πάλιν ἑαυτοῖς 1) συνελθεῖν, πρὶν ἂν ἐμβληθῶσι μοναστηρίοις, ἄδεια τούτοις δίδοται παρ' ἡμῶν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας ἔχειν περιουσίας· τοῦ δὲ ἑνὸς προσώπου βουλομένου τὸν γάμον ἀνακαλέσασθαι, εἰ μὴ συναινέσειε καὶ τὸ ἕτερον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς· ταῦτα δὲ κελεύομεν γίνεσθαι καὶ κατὰ πρόνοιαν τῶν θεοφιλεστάτων ἐπισκόπων 2).

Εἰ δὲ κατὰ συναίνεσιν ἀμφοτέρων τῶν μερῶν ἢ κατ' ἔρωτα σωφροσύνης λυθείη ὁ γάμος, κελεύομεν εὐθὺς ἑκάτερα τὰ μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ, ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν. Εἰ δέ τις τούτων ἢ γάμῳ προσέλθοι, ἢ πορνείᾳ περιπέσοι, τὴν πᾶσαν αὐτοῦ περιουσίαν οἱ παῖδες λήψονται· εἰ δὲ παῖδας οὐκ ἔχει, τὸ δημόσιον αὐτὴν διαδέξεται 3).

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ γυναικῶν διακόνων καὶ χηρῶν.

Ζήτει τὸ ιά. Κεφ. τοῦ παρόντος στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ γυναικῶν μεμνηστευμένων, ἐν ᾧ καὶ περὶ μνηστείας.

Βασιλείου ξθ'.

Ὁ ξθ'. τοῦ Μεγάλου Βασιλείου κανών, Εἰ ἀναγνώστης, φησὶ, τῇ αὐτοῦ μεμνηστευμένῃ πρὸ τοῦ γάμου μιχθείη, κἀκείνης τοῦτο ἑλομένης, ἐπ' ἐνιαυτὸν ἀφοριζόμενος, εἰς τὸ ἀναγινώσκειν πάλιν ἐπάνεισιν, εἰς μείζονα μὴ προκόπτων βαθμόν· εἰ δὲ μνηστείας χωρὶς συνέλθοι γυναικὶ, καὶ εἰ λαβεῖν αὐτὴν εἰς γυναῖκα λόγους ἴσως μετ' αὐτῆς ἐποιεῖτο, καὶ τῆς τοῦ ἀναγνώστου ὑπηρεσίας ἐκπίπτει· εἰ δὲ ὑπηρέτης, ἤτοι ὑποδιάκονος τῷ δευτέρῳ πάθει ἁλοίη, τῆς ὑπηρεσίας τελέως ἐκβάλλεται.

Συνόδου ἕκτης κη'.

Ὁ δὲ κη'. τῆς ς'. Συνόδου κανών, Τὸν εἰς γάμου κοινωνίαν

1) ἄνευ ἑαυτοῖς, Γ.—2) ς'. Βασ. ΚΗ, ζ'.—3) Πρόχ. Ν. ιά. 4.—Νεαρ. ρχγ'. μ'.

ἀγόμενον τὴν ἑτέρῳ μεμνηστευμένην, ἔτι τοῦ μνηστευσαμένου περιόντος, τοῖς τῆς μοιχείας ὑποβάλλει ἐγκλήμασιν· εἰ δὲ μὴ γαμικῶς, ἀλλὰ πορνικῶς μετὰ τοιαύτης τις συμφθαρείη, καὶ οὗτος ὡς μοιχὸς τιμωρεῖται, καὶ ἡ γυνὴ ὡς μοιχαλίς· ὁ δὲ τὴν μοιχείαν ἀγνοῶν, ὡς πόρνος.

Περὶ μνηστείας.

Ὅρος μνηστείας.

Τὴν γὰρ μνηστείαν οἱ νομοθέται ὁρίζονται, μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων 1). Καὶ ὁμὲν Μωσαϊκὸς νόμος, ὡς γάμον τὴν μνησείαν ἐλογίζετο· καὶ ὁ τὴν ἄλλῳ μεμνηστευμένην φθείρων, ὡς μοιχὸς ἐκολάζετο 2). Καὶ ἐπειδὴ τὰ τῆς μνηστείας, αὐτοὺς συνήρμοττε σύμβολα, καὶ γυναῖκα τὴν μνηστὴν προσαγορεύει· Ἐταπείνωσε γάρ, φησὶ, τὴν γυναῖκα τοῦ πλησίον 3), ἤγουν διεπαρθένευσε τὴν τούτου μνηστήν· οὕτω καὶ ἡ ἁγία παρθένος, γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε· Μὴ φοβηθῇς γὰρ, φησὶ, παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου 4). Παρ' ἡμῖν δὲ, πρώην μὲν φιλήματι τῶν συναπτομένων καὶ ἀῤῥαβῶνι προῦβαινεν ἡ μνηστεία· καὶ ἐξῆν ταύτην λύειν, τῆς ποινῆς τοῦ προστίμου παρεχομένης· μήπω δὲ τῆς μνηστείας λυθείσης, εἰκότως ὡς μοιχὸς ὁ τὴν γυναῖκα λαμβάνων ἐκρίνετο, ὡς ὁ ῥηθεὶς κανὼν διορίζεται. Ὅπου δὲ οὔτε μνηστεία προῦβη, οὔτε φίλημα, οὔτε δόσις ἀῤῥαβῶνος ἐπηκολούθησε, μόνοι δὲ οἱ λεγόμενοι διὰ ψιλῶν γραμμάτων δεσμοὶ, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται. Ἀπὸ δὲ τῆς ἐξενεχθείσης ὕστερον νεαρᾶς τοῦ εὐσεβοῦς βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ κατὰ τὸ ,ςφιβ' ἔτος, τὰ ἴσα δύναται τῷ τελείῳ γάμῳ σχεδὸν ἡ μνηστεία, ἅτε μετὰ ἱερᾶς καὶ αὕτη τελουμένη εὐχῆς· καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον· φησὶ γάρ·

Νεαρὰ περὶ μνηστείας τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, γεγονυῖα κατὰ τὸ ,ςφιβ' ἔτος.

Μνηστεῖαι παρ' ἡμῶν ἐτυπώθησαν ἀληθεῖς, ὅσαι μετὰ τῆς

1) ά. Βασ. ΚΗ', ά. — 2) Δευτερ. ΚΒ', 23. — 3) Δευτερ. ΚΒ', 24. — 4) Ματθ. Α, 20.

ἱερᾶς εὐλογίας καὶ κατὰ τὸν ὡρισμένον ἡμῖν καιρὸν τελεσθεῖσαι γνωρίζονται· ἁρμόδιος δ' ἂν εἴη μνηστείας καὶ γάμου καιρὸς, τῆς μὲν θηλείας, τὸν δωδεκαετῆ χρόνον διατρεχούσης, τοῦ δὲ ἄῤῥενος, τὸν τεσσαρεσκαιδέκατον διατρίβοντος· μετὰ δὲ τὴν ἱερὰν τῶν εὐχῶν ἐπῳδὴν, καὶ τὴν συνήθη τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλήματος παρατήρησιν, βραχέος ἢ καὶ πλείονος καιροῦ διαλείποντος, ὡς ἂν δόξειε τοῖς συναλλάττουσιν, ἀπαραιτήτως καὶ τὸν ἔννομον γάμον προβαίνειν κελεύομεν, καὶ μὴ κατὰ ταυτὸ συμβαίνειν ἐν ἡμέρᾳ μιᾷ πολλάκις καὶ ὥρᾳ· εἰ δὲ πρὶν τὸν παρ' ἡμῶν ὁρισθέντα ἐπιστῆναι καιρὸν, καὶ τῶν εἰρημένων μὴ γενομένων παρατηρήσεων, μνηστεῖαι προβήσονται καὶ συμβόλαια, ταύτας μνηστείας ἀληθεῖς μηδὲ εἶναι, μηδὲ ὀνομάζεσθαι, εἰ καὶ προστίμου ποινὴ πρόσκειται· αἱ γὰρ κυρίως μνηστεῖαι, οὐ προστίμων λυθήσονται δόσεσιν, ἅπερ οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν ἐγγραφήσονται· ὅτι μηδὲ παρ' αὐτῶν αἱ μνηστεῖαι κρατύνονται, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ ἐπικλήσεως, αἵπερ καὶ ἄλυτοι τὸ παράπαν μένουσι, μόναις λυόμεναι ταῖς αἰτίαις, αἷς καὶ οἱ γάμοι. Ἐπεὶ δὲ κατὰ τὴν παλαιὰν τῶν νόμων συνήθειαν, μετὰ τὸν ἑπταετῆ χρόνον τῆς κόρης οὐ καλῶς αἱ μνηστεῖαι προὔβαινον (ἀδεῶς γὰρ ἐπὶ τὰς μνηστευομένας εἰσερχόμενος ἕκαστος τῇ συνεχεῖ θέᾳ, καὶ τῷ ἐλευθερίῳ τῆς ὁμιλίας, τὸ τοῦ ἔρωτος ᾠλεγμαῖνον προσανέκαιον, ἡμεῖς καὶ τοῦτο θεσπίζομεν· Τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον ἄχρι τοῦ δεκάτου τετάρτου ἢ δωδεκάτου τῆς ἡλικίας χρόνου γενόμενα, ὡς ἐν τύπῳ μνηστείας, συμβόλαια, μὴ τάξιν ὅλως ἐννόμου μνηστείας καὶ ἀσφαλοῦς ἀποφέρεσθαι, ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν, κατὰ τὸ ἔθος τῶν ἄλλων συναλλαγμάτων· ἐνεργεῖν δὲ τὸν παλαιὸν νόμον, τὸν ἐπὶ τῇ μνηστείᾳ ἐκφωνηθέντα, ἐν τοῖς κεκωλυμένοις προσώποις μόνον, ἐπὶ τῇ ἀποζευχθείσῃ μνηστῇ, διὰ τὸ περιὸν τοῖς παρὰ Χριστιανοῖς ἐμπολιτευομένης καταστάσεως· εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ, κατὰ τὸ ἀκριβὲς, ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν ἔχειν μνηστείας δοκεῖ, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεται, καλῶς ἂν ἔχοι, τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις κωλύεσθαι, καὶ μηδένα εἰς γυναῖκα λαμβάνειν, ἣν ὁ παλαιὸς

νόμος μνηστήν τινος γενομένην, καὶ τῆς μνηστείας λυομένης 1), οὐκ ἀφῆκεν ἑτέρῳ κατὰ γάμον συνέρχεσθαι 2).

Περὶ μνηστείας κληρικῶν.

Βαλσαμών. Ἀμέλει καὶ οὐκ ἐφεῖταί τινι τῶν τοῦ βήματος, θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου, ἑτέρᾳ συνάπτεσθαι γυναικί· ὁ γὰρ πεποιηκέναι τοῦτο φωραθεὶς, ὡς δευτερογαμήσας καθαιρεῖται· καὶ ὁ ἐμπεσὼν εἴς τι τοιοῦτον ἀναγνώστης, εἰς ἕτερον οὐ προκόπτει βαθμόν.

Εἰ δὲ ἀσύστατός ἐστιν ἡ μνηστεία, εἰ μὲν τὸ κατεγγυηθὲν πρόσωπον τῷ θέλοντι ἱερωθῆναι τὸν ἕκτον ὑπερέβη χρόνον, οὐ παραχωρηθήσεται ὁ μνηστευσάμενος ἑτέρᾳ συναφθῆναι γυναικὶ, καὶ οὕτως ἱερωθῆναι· δίγαμος γὰρ λογίζεται διὰ τὴν ἐπιθυμίαν, τῷ δεκτικὴν ἔρωτος εἶναι τηνικαῦτα τὴν γυναῖκα. Εἰ δὲ ἧττων τῶν ἓξ χρόνων ἦν τὸ κατεγγυηθὲν αὐτῷ πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν συμφώνων 3) ἐγένετο, δύναται ὁ τοιοῦτος, καὶ ἑτέρᾳ γυναικὶ συζευχθεὶς, ἀκωλύτως εἰς ἱερωσύνην ἐλθεῖν· τοῦτο δὲ ἐπὶ λαϊκῶν οὐ κρατεῖ· μόνους γὰρ τοὺς τοῦ βήματος, μιᾶς γυναικὸς καὶ ταύτης παρθένου, ἄνδρας εἶναι δεῖ, οἷα καὶ αὐτοὺς πάντως τῇ παρθενίᾳ πρὸ τούτου σεμνυνομένους.

Τελείας δὲ τῆς μνηστείας οὔσης, καὶ εἰ πρὸ τοῦ συμμιγῆναι τῇ μνηστευσαμένῃ τὸν ἄνδρα θανάτῳ ταύτης διέζευκται, οὐδὲ ὁ λαϊκὸς λαβεῖν δύναται ἢ ἐξαδέλφην ταύτης, ἢ ἕτερον πρόσωπον ἐκ τοῦ νόμου κεκωλυμένον· οὐ γὰρ ἡ συνάφεια, ἀλλ' ἡ τῆς εὐχῆς τελετὴ ποιεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι.

Περὶ τοῦ συμφθαρέντος τῇ ἰδίᾳ πενθερᾷ.

Εἰ μέν τοι πρὸ τελείας ἱεροτελεστίας, μόνης δὲ μνηστείας συνισταμένης, τὸν νυμφίον τῇ πενθερᾷ συμφθαρῆναι συνέβη, ἢ ἑτέρῳ συγγενικῷ προσώπῳ τῆς μνηστῆς αὐτοῦ, κωλυθήσεται ὁ γάμος· οὐ γὰρ θεμιτὸν αἱμομιξίαν ἐν εἰδήσει προβῆναι· εἰ δὲ μετὰ τὸν καλῶς συστάντα γάμον τὸ παράνομον τοῦτο συμβαίη, ὁ γάμος οὐ λύεται, ἀλλ' ἐπιτιμῶνται οἱ τὴν αἱμομιξίαν ποιή-

1) κωλυομένης, B. — 2) Σύντ. Τ. έ. σελ. 284. — 3) τῶν νύμφων B.

σαντες· φησὶ γὰρ νόμος· Τὰ ἐξ ἀρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται 1).

Ἐκ ποίων αἰτιῶν αἱ μνηστεῖαι λύονται. — Νόμοι.

Λύεται δὲ ἡ μνηστεία, ὥσπερ καὶ οἱ γάμοι, δι' εὐπροσώπους ταύτας αἰτίας.

ά. Εἰ ἀνυπόστατός ἐστιν ἡ μνηστεία, καὶ ἀθέμιτος διὰ τὸ ἀνήλικον τῶν παίδων 2).

β'. Εἰ ἐγγάστριος ἐξ ἀλλοτρίων σπερμάτων ἡ γυνὴ περφώραται 3).

γ'. Λύεται καὶ διὰ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν, καὶ δογμάτων διαφοράν 4).

δ'. Ἢ διὰ τρόπων αἰσχρότητα 5).

ε'. Ἢ τύχης ἐναλλαγήν 6).

ς'. Ἢ διὰ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου ἐκταθεῖσαν αἰτίας, διὰ νόσον ἴσως χρονίαν, ἢ θάνατον γονέων, ἢ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰν ἀποδημίαν ἐξ ἀνάγκης γενομένην 7).

ζ'. Ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας τῆς μνηστείας γενομένης, τῆς τε κόρης καὶ τῶν γονέων αὐτῆς μὴ συναινούντων 8).

η'. Ἢ δι' ἀπόκαρσιν ἀληθῆ, καὶ τὴν πρὸς τὸν μονήρη βίον μετάβασιν 9).

θ'. Ἢ τὸ εἶναι βουλευτήν 10).

ι'. Ἢ διὰ τὸ ὑποκεῖσθαι τῷ δημοσίῳ τὴν οὐσίαν αὐτοῦ· ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι 11).

Τούτων οὖν τῶν ἀπηριθμημένων τινὸς τὴν ἕνωσιν μὴ διαστήσαντος, ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, μοιχᾶται.

Νόμοι.

Μνησεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων 12).

Καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία γίνεται· καὶ ψιλῇ συναινέσει συνίσταται, καὶ μεταξὺ ἀπόντων 13).

---

1) πέ, Βασ. Β', γ'.— 2) Νεαρ. Λέον. ρθ'. καὶ Ἀλεξ. Κομν. — 3) Ν. Λ. ηγ'. 4) 5. Κωδ. V. I.—5) αὐτόθι — 6) Ἀρμ. Δ'. ά. 25.— 7) ιζ'. Βασ. ΚΗ'. ά. — 8) κ'. Βασ. ΚΗ. 6'. — 9) Νεαρ. ρκγ'. 39.—10) Ἀρμ. Δ'. ά. 25. —11) αὐτόθι. — 12) ά. Βασ. ΚΗ', ά. — 13) έ, αὐτόθι.

Τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαβεῖν εἰς γυναῖκα, εἰ καὶ γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει· οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς, γέγονε γάρ μου πενθερά 1).

Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν, οὔτε διαλύει τὴν γενομένην 2).

Ἡ μανία ἐμποδίζει τῇ μνηστείᾳ· ἐπιγενομένη δὲ, οὐ λύει τὴν σύστασιν 3).

Οἱ συναινοῦντες τῷ γάμῳ, καὶ τῇ μνηστείᾳ συναινοῦσι 4)· συναινοῦσι δὲ οἱ συναπτόμενοι, καὶ οἱ τούτων γονεῖς· συναινεῖν δὲ δοκοῦσιν οἱ μὴ ῥητῶς ἀντιλέγοντες· τότε δὲ μόνον ἀντιλέγειν δύνανται οἱ ὑπεξούσιοι, ὅτε τοῖς τρόποις ἀναξίους καὶ αἰσχροὺς αὐτοῖς μνηστεύονται οἱ γονεῖς· τοιούτων δὲ μὴ ὄντων τῶν μνηστευομένων, κἂν εἰ ἀποκλήρους ἑαυτοὺς αἱροῦνται τὰ τέκνα ποιεῖν, μόνον ἵνα μὴ τὴν τῶν γονέων, ἀλλὰ τὴν οἰκείαν ἐκπληρώσωσι θέλησιν, ἀνίσχυρον εἶναι αὐτῶν θεσπίζομεν διὰ παντὸς τὸ βούλημα· τὰ γὰρ ἐπὶ ἰδίᾳ καταστροφῇ καὶ ἀπωλείᾳ τῶν νέων ὁρμήματα, παντὶ τρόπῳ κωλύειν οἱ νόμοι ἐγνώκασιν.

Διχονοούντων δὲ τῶν γονέων περὶ τῆς ἐκλογῆς δηλονότι, ἡ τοῦ πατρὸς γνώμη κρατεῖ· διχονοοῦντος τοῦ ὑπεξουσίου, οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ 5).

Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν· οὐ μὴν καὶ τῆς αὐτεξουσίας 6).

Ἡ τὸ γινόμενον δοκοῦσα νοεῖν, καλῶς μνηστεύεται, τουτέστιν ἡ μὴ οὖσα ἥττων τῶν ἑπτὰ ἐτῶν 7)· εἰ μέν τοι γε τῆς μνηστείας γεγενημένης ἔσωθεν τοῦ τρισκαιδεκαετοῦς χρόνου, τολμήσαιέν τινες τοῖς μνηστευομένοις, ἢ τὴν λεγομένην εὐλόγησιν ἢ τὸ στεφάνωμα περιθεῖναι, ὡς τῶν θείων νόμων παραβάται γεγενημένοι, αὐτίκα τὴν μὲν προελθοῦσαν μνηστείαν, ἅμα τῇ δοκούσῃ συναφείᾳ διαλύεσθαι, καὶ τὰ παρ' ἑκατέρου τοῦ μέρους ἐν τῇ μνηστείᾳ συμβληθέντα προστίματα 8), τοῦ τολμήματος ζημίαν ὑπέχοντας, τῷ τοῦ δημοσίου εἰσκομίζεσθαι μέρει· μηδὲ

---

1) α. Βασ. ΚΗ', ἑ. — 2) Πρόχ. Ν. 1, 4. — 3) ς'. Βασ. ΚΗ', ά. — 4) ἑ. αὐτόθι.—5) ιά. αὐτόθι.—6) ή. Βασ. ΚΗ', ά.—7) ιδ'. αὐτόθι.—8) προστίμια, Κ.

τοῦ τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ παρεῖναι πράξει, ἀνευθύνου καθεστηκότος, ἀλλὰ τῇ αὐστηρίᾳ τῶν ἱερῶν ὑποκειμένου κανόνων 1).

Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι 2).

Ὁ μνηστευσάμενος κόρην ἔφηβον, καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν, εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας· εἰ δὲ ὑπέρθηται χωρὶς εὐλόγου αἰτίας, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι 3).

Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας, ἧς ἄρχουσι, μνηστεύεσθαι· εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ, καὶ τοῖς γονεῦσιν αὐτῆς, ἢ ἐπιτρόποις, ἢ κουράτωρσι, παραιτεῖσθαι τὸν γάμον, καὶ κερδαίνειν τοὺς ἀρραβῶνας, τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν, καὶ ἐγγόνων, καὶ συγγενῶν, καὶ συγκαθέδρων, καὶ ἐπὶ πάντων τῶν ἐν τῇ τάξει, καὶ τῶν οἰκείων αὐτοῦ, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο· εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔρρωται ὁ γάμος 4).

Σημείωσαι γοῦν, ὅτι τότε κωλύει τὸ συνάλλαγμα ὁ νόμος, ὅτε τὸ ὀφφίκιον ὁ ἄρχων διαχειρίζει, καὶ δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης· ὥστε, εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς ἐκφοβῆσαι τοὺς γονεῖς τῆς κόρης, οὐ κεκώλυται ἡ μνηστεία.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ τῶν τὰς ἰδίας γυναῖκας προφάσει εὐλαβείας ἐκβαλλόντων κληρικῶν.

Ἀποστόλων ε.

Ὁ ε. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τὴν ἑαυτοῦ γυναῖκα, προφάσει εὐλαβείας, ἐκβάλλοντα, ἀφορίζει, μέχρις ἂν αὖθις προσλάβηται, ἐπιμένοντα δὲ, καθαιρεῖ· τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις ἐθέσπισε, μὴ ἐξεῖναί τινι τῷ παλαιῷ προσέχοντι νόμῳ, ὅτε βού-

1) Νεαρ. Ἀλεξ. Κομν.—2) Πρόχ. Ν. 1, 12.—3) ις'. Βασ. ΚΗ, ά. — 4) κ'. Βασ. αὐτόθι.

λοιτο, τὴν ἰδίαν ἐκβάλλειν γυναῖκα, χωρὶς ἀπειρημένης αἰτίας· ἔοικε γὰρ τὸν γάμον διαβάλλειν, ὡς ἀκάθαρτον ὂν τὸ νομίμως μίγνυσθαι· Τίμιον δὲ ἡ Γραφὴ τὸν γάμον ἀπεφήνατο, καὶ τὴν κοίτην ἀμίαντον 1).

Συνόδου ἕκτης ιγ'.

Τούτου καὶ ὁ ιγ'. τῆς ἕκτης Συνόδου κανὼν αὐτοῖς ῥήμασι μέμνηται, ἄνευ τῆς τοῦ ἐπισκόπου προσθήκης· αὕτη γὰρ ἡ Σύνοδος πρώτη ταῖς γαμεταῖς ἀποτάττεσθαι τοὺς ἐπισκόπους ἐθέσπισεν.

Ἔτι περὶ τῶν τὰς ἰδίας γυναῖκας ἐκβαλλόντων λαϊκῶν.

Ἀποστόλων μή.

Ὁ δὲ ἀποστολικὸς μή. τὸν ἐκβάλλοντα λαϊκὸν παραλόγως τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἑτέραν λαμβάνοντα, καὶ τὸν ὑποποιούμενον τὴν παρ' ἄλλου ἀπολελυμένην, μὴ κατὰ νόμους δηλαδὴ, ἀφορισμῷ ὑποβάλλει.

Βασιλείου θ, κά, λέ, οζ'.

Ὅσα γε μὴν περὶ τούτου τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τοῦ μεγάλου Πατρὸς Βασιλείου γλώττης ἐχρησμοδότησεν ἐν τῷ θ'. αὐτοῦ κανόνι, ἄγνωμον κομιδῇ μὴ κατὰ μέρος διεξιέναι. Ἦν μὲν γὰρ, φησὶν, ἀκόλουθον, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, ἐξ ἴσης καὶ ἀνδράσι καὶ γυναιξὶ, τὴν τῆς πορνείας αἰτίαν λύσιν εἶναι τοῦ γάμου· ἡ δέ γε τῆς Ἐκκλησίας συνήθεια οὐχ οὕτως ἔχουσα δείκνυται· ἐπὶ μὲν γὰρ τῶν γυναικῶν πολλὴν εὑρίσκομεν τὴν ἀκρίβειαν, τοῦ μὲν Ἀποστόλου λέγοντος· Ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα ἐστί 2)· τοῦ δὲ Ἱερεμίου, ὅτι, Ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται, εἰ μὴ βουληθείη δηλαδὴ ὁ ἀνὴρ αὐτὴν προσλαβέσθαι 3)· καὶ ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις· Ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής 4)· τουτέστιν, ὁ μιγνύμενος ὑπάνδρῳ γυναικὶ, ἥτις δείκνυται μοιχαλίς. Τοὺς δὲ μοιχεύοντας τῶν ἀνδρῶν, ἢ πορνεύοντας, κατέχεσθαι ὑπὸ τῶν ἰδίων γυναικῶν ὑποτίθεται· εἴτε γὰρ καὶ ἐμπικραίνοιτό τις τῇ γυναικὶ, καὶ πληγὰς ἐντείνοι, καρτερεῖν

1) Ἐσρ. ΙΓ', 4. — 2) α. Κορ. ς', 16. — 3) Ἱερ. Γ', 1. — 4) Ἡαρ. Ζ', 7.

ταύτην· δεῖ· εἴτε εἰς χρήματα ζημιοῖ, κἀκείνη τὴν προῖκα δαπανωμένην ὁρῶν, ἢ καὶ ζηλοτύπως ἔχοι τῷ ἑτέραις τὸν ἄνδρα συμφθείρεσθαι, οὐκ ἐφεῖται ταύτῃ διαζεύγνυσθαι τοῦ ἀνδρὸς παρὰ ταῦτα· εἰ γὰρ, ἀπίστου θατέρου τῶν συνοικούντων τυγχάνοντος, θατέρῳ χωρισθῆναι οὐ δέδοται, κατὰ τὸν μακάριον Παῦλον, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως (Τί γὰρ οἶδας, γύναι, φησὶν, εἰ τὸν ἄνδρα σώσεις; 1) πῶς ἀνεύθυνος ἔσται ἡ δι' ἑτέραν αἰτίαν λύουσα τὴν συζυγίαν; ὥστε ἡ τὸν ἄνδρα παραλόγως ἀπολιποῦσα, εἰ ἄλλῳ συνοικήσει, μοιχαλὶς λογίζεται· ἡ δὲ τῷ καταλειφθέντι ἀνδρὶ συναφθεῖσα νομίμως, οὔτε ὡς μοιχαλὶς, οὔτε ὡς πόρνη κατακρίνεται. Εἰ μέντοι ὁ ἀνὴρ ἀποστὰς τῆς γυναικὸς, ἐπ' ἄλλην ἦλθε, καὶ αὐτὸς μοιχὸς, ὡς ποιῶν αὐτὴν μοιχευθῆναι, καὶ ἡ συνοικοῦσα τούτῳ, μοιχαλὶς, διότι πρὸς ἑαυτὴν ἀλλότριον μετέσησεν ἄνδρα· ἀλλὰ ταῦτα μὲν οὕτως. Ἀπὸ δὲ τῆς ὕστερον ἐξενεχθείσης Ἰουστινιανείου νεαρᾶς, ἣν τὸ ιγ'. τοῦ παρόντος στοιχείου περιέχει κεφάλαιον, καὶ αὕτη ταῖς ἄλλαις αἰτίαις ἠρίθμηται, δι' ἃς λύειν ταῖς γυναιξὶ τὰ συνοικέσια δίδοται· εἰ ἐν τῇ αὐτῇ δηλαδὴ οἰκίᾳ ἢ πόλει, ἑτέρᾳ ὁ ἀνὴρ συμφθείροιτο γυναικὶ, καὶ τοῦ μέρους τῆς ἰδίας γυναικὸς ἐπιτιμώντων αὐτῷ καὶ ὑποτιθεμένων, ἀποστῆναι τῆς πρὸς ἐκείνην ὁμιλίας μὴ πείθοιτο· τηνικαῦτα γὰρ λύειν τοὺς γάμους διὰ τὴν ζηλοτυπίαν ἐφίησιν.

Ἐν δὲ τῷ κά, τὸν συνοικοῦντα γυναικὶ, δι' ἀσέλγειαν δὲ καὶ ἑτέρᾳ συμφθειρόμενον, πορνείας μὲν ὑπόδικον εἶναι κρίνει, ἐπὶ πλέον δὲ τοῖς ἐπιτιμίοις καθικνεῖται τοῦ μὴ συζῶντος γυναικὶ, καὶ τῷ πάθει τούτῳ ἁλόντος· τῷ μὲν γὰρ συγγνώμη τις διὰ τὴν ἀνάγκην τῆς φύσεως· ὁ δὲ, ταύτης ἐστέρηται, ἅτε τῆς φυσικῆς τυραννίδος, τὴν νόμιμον ἔχων παραμυθίαν, διὰ δὲ μάνην ἀκρασίαν τῷ τῆς ἀκολασίας βορβόρῳ ἐγκυλινδούμενος· οὐ μέντοι καὶ κανόνα, φησὶν, ἔχομεν, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται, τῷ τῆς μοιχείας αὐτὸν ὑπάγοντα ἐγκλήματι, ἢ τῆς πρὸς τὴν οἰκείαν γυναῖκα συνοικήσεως ἀποκλείοντα· ὥστε ἡ μὲν γυνὴ, ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα δέξεται· οὗτος δὲ τὴν γυναῖκα μιγεῖσαν ἑτέρῳ, τῶν οἴκων ἀποπέμψει, καὶ ἄκων ταύτην

1) ά. Κορ. Ζ', 16.

προσλαβέσθαι οὐκ ἀναγκασθήσεται· τούτων δὲ ὁ λόγος, φησὶν, οὐ ῥᾴδιος, ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν.

Ἐν δὲ τῷ λέ, Ἐπὶ τῶν διαλυόντων τὸν γάμον, τὴν αἰτίαν χρὴ, φησὶ, σκοπεῖν· καὶ εἰ μὲν παραλόγως τοῦ ἀνδρὸς ἀνεχώρησεν ἡ γυνὴ, ἡ μὲν, ἐπιτιμίων, ὁ δὲ, συγγνώμης ἄξιος κρίνεται, πρὸς τὸ κοινωνεῖν μέντοι τῇ Ἐκκλησίᾳ, οὐ μὴν καὶ ἑτέρᾳ δηλαδὴ κεχρῆσθαι.

Ἐν δὲ τῷ οζ', Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως αὐτῷ συναφθεῖσαν καὶ ἑτέραν ἀγόμενος, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι· οἱ δὲ Πατέρες ἡμῶν, φησὶν, εἰς ἐπταετίαν τοῖς τοιούτοις ἐπιτετιμήκασι, καὶ οὕτω τῆς προσφορᾶς ἀξιοῦσιν, ἐὰν μετὰ δακρύων μετανοήσωσι.

Συνόδου ἕκτης πζ'.

Ταῦτα καὶ οἱ τῆς ἕκτης Συνόδου ἐν τῷ πζ'. κανόνι ἐπικυροῦσιν αὐτοῖς τοῦ ἁγίου χρησάμενοι ῥήμασι· καὶ τὴν μὲν παραλόγως ἀπολιποῦσαν τὸν ἄνδρα, ὡς μοιχαλίδα κατακρίνουσι· τὸν δὲ, συγγνώμης ἀξιοῦσι, καὶ τῇ Ἐκκλησίᾳ κοινωνεῖν παρεγγυῶσι· τόν γε μὴν καταλιμπάνοντα τὴν νομίμως συναφθεῖσαν, καὶ μεθ' ἑτέρας γαμικὸν δῆθεν ποιοῦντα συνάλλαγμα, ὡς τῷ κρίματι τοῦ μοιχοῦ ὑποκείμενον, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, μέχρις ἐπταετίας τῶν ἁγιασμάτων ἀπείργουσι.

Βασιλείου μς'. μή.

Καὶ αὖθις ἡ βασίλειος τῆς Ἐκκλησίας στολὴ, ἐν τῷ μς'., τῷ πρὸς ὀλίγον παρὰ τῆς ἰδίας καταλειφθέντι γυναικὸς, δια τινα λύπην ἴσως, ἢ μικροψυχίαν, τούτῳ ἡ κατὰ ἄγνοιαν γημαμένῃ, εἶτα τῆς πρώτης ἐπανελθούσης ἐξ ἀλλοδαπῆς ἴσως χώρας, παρ' αὐτοῦ ἀφεθεῖσα ἐπόρνευσε μὲν ἐν ἀγνοίᾳ, γάμων δὲ οὐκ εἰρχθήσεται· οὐ γὰρ ἀνδρὸς ἀφείθη νομίμου, μήπω τοῦ προτέρου γάμου λυθέντος, ἀλλὰ πορνείας ἀπήλλακτο· κάλλιον δὲ, φησὶν, εἰ οὕτω μείνοιεν· οὐ γὰρ εὔσχημον τὴν ὀνομασθεῖσαν τινὸς, ἑτέρῳ συμβιοῦν· φησὶ γὰρ ὁ νόμος, ὅτι ἐν τοῖς γάμοις, οὐ μόνον τὸ ἐπιτεταραμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς σκοποῦμεν 1).

1) ς'. Βασ. ΚΗ, ἑ.

Ἐν δὲ τῷ μή. κανόνι, Ἡ καταλειφθεῖσα πρὸς τοῦ οἰκείου ἀνδρὸς παραλόγως, κατ' ἐμὴν γνώμην, φησὶν, οὕτω μένειν ὀφείλει· εἰπὼν γὰρ ὁ Κύριος, Ἐάν τις τὴν ἰδίαν καταλείπῃ γυναῖκα, ποιεῖν αὐτὴν μοιχᾶσθαι 1), ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας· οὐ γὰρ εἰκὸς τὸν μὲν ἄνδρα ὑπεύθυνον εἶναι, ὡς μοιχείας αἴτιον, τὴν δὲ, ἀνεπίκλητον, ἥτις μοιχαλὶς παρὰ τοῦ Κυρίου προσαγορεύεται διὰ τὴν πρὸς ἕτερον κοινωνίαν. Ἀλλὰ γὰρ ὅπως ταῦτα θεραπεύεται, ἀκριβέστερον ἐκ τῶν πολιτικῶν μεμάθηκας νόμων.

Καρθαγένης ρς'.

Ἀλλὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ ρς', Τοὺς διαλυθέντας τῆς τοῦ γάμου συναφείας, ἢ ἀλλήλοις καταλλάττεσθαι, ἢ οὕτω μένειν διακελεύεται, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν· Οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω 2)· καὶ τοῦ Ἀποστόλου· Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν 3). Ζήτει καὶ τὸ θ'. Κεφάλαιον τοῦ Β στοιχείου περὶ τῶν τοὺς ἐννόμους γάμους βδελυττομένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ὅτι τῶν ἰδίων γυναικῶν χωρίζεσθαι δεῖ τοὺς ἐπισκόπους.

Συνόδου ἕκτης ιϐ'.

Οἱ τῆς ἕκτης Συνόδου θεῖοι Πατέρες, ἐν τῷ ιϐ'. κανόνι, ἀπείργουσι τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν συνοικεῖν ὅλως ταῖς πρὸ τῆς χειροτονίας θεσμοῖς γάμου συναφθείσαις αὐτοῖς γυναιξὶ, καί φασιν· Οὐκ ἐπ' ἀθετήσει τῶν τοῖς ἱεροῖς Ἀποστόλοις ἐν τῷ πέμπτῳ νενομοθετημένων κανόνι τοῦτο θεσπίζομεν, ἀλλὰ τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν τῆς Ἐκκλησίας πραγματευόμενοι. Οἱ μὲν γὰρ θεῖοι Ἀπόστολοι, ἅρτι τῆς Ἐκκλησίας τῇ τῶν Ἰουδαίων παχύτητι, καὶ τῇ ἑλληνικῇ δεισιδαιμονίᾳ, πολλὰ χαίρειν εἰπούσης, ἔστιν οἷς τῶν πατρῴων ἐθῶν, ἐνεδίδοσαν χρῆσθαι· οἵ τε γὰρ τῶν Ἰουδαίων, καὶ οἱ τῶν Ἑλλήνων ἀρχιερεῖς, τῶν συ-

1) Ματθ. Ε', 32. — 2) Ματθ. ΙΘ', 6. — 3) α. Κορ. Ζ', 27.

νεύνων οὐκ ἐχωρίζοντο· τὸ δὲ τήμερον εἶναι χρῆναί φασι, τοὺς ἀρχιερεῖς τὸν βίον πρὸς ἀκριβῆ σωφροσύνην ἀπευθύνοντας, οὐχ ὅπως τῆς τῶν ἀλλοτρίων, ἀλλὰ καὶ τῆς τῶν ἰδίων γυναικῶν ὁμιλίας ἀποδιΐστασθαι τοῦτο γὰρ σκανδάλου πρόφασιν οὐδ' ἠντιναοῦν τοῖς ὑπὸ χεῖρα καταλείπει· καὶ ἐπιφέρουσι τὸ ἀποστολικόν· Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς 1)· εἶτα τοῖς μὴ τὰ τοῦ κανόνος πρεσβεύουσιν ἐπιτίμιον ἐπάγουσι τὴν καθαίρεσιν.

Ὅτι δεῖ καὶ ἀποκαρῆναι τὴν χωρισθεῖσαν τοῦ ἐπισκόπου γυναῖκα.

Τῆς ἕκτης μή, λ.

Ἐν δὲ τῷ μή. τὴν μέν τοι κατὰ κοινὴν συμφωνίαν διαζευχθεῖσαν 2) τοῦ μέλλοντος ἐπὶ τῶν τῆς ἐπισκοπῆς καθέδρας καθεδεῖσθαι οἰάκων, συνοικεῖν ὅλως αὐτῷ οὐ μεθιᾶσιν, ἀλλ' εἰς μοναστήριον κελεύουσιν εἰσιέναι, μὴ ἐν γειτόνων τῆς τοῦ ἐπισκόπου καταγωγῆς κείμενον· οὐ γὰρ οἷόν τε συνεχῶς εἰς ἀλλήλους ὁρῶσι, μὴ ἀνάπτεσθαι σφίσι τὸν ἔρωτα τῇ μνήμῃ τῆς προτέρας διαγωγῆς· κἀκεῖ δὲ τῆς τοῦ ἐπισκόπου προνοίας ἀπολαύειν αὐτὴν ἀξιοῦσιν, εἰ ἐνδεῶς ἔχουσα εἴη· εἰ γὰρ αὐτῷ δὴ τῷ ἐπισκόπῳ, περαιτέρω τῶν ἀναγκαίων εἰς ἑαυτὸν δαπανᾷν ἐκ τῶν τῆς ἐπισκοπῆς οὐκ ἐφεῖται, σχολῇ γ' ἂν ταύτῃ τῶν τῆς Ἐκκλησίας δοθήσεται, οἴκοθεν ἐσχηκυίᾳ τὰς πρὸς τὸ ζῆν ἀφορμάς· εἰ δὲ καὶ ὁ βίος αὐτῆς σεμνὸς εἴη, καὶ εἰς τὸν τῆς διακονίας βαθμὸν προβιβάζεσθαι· εἰς μοναστήριον δὲ εἰσιέναι κελεύουσιν, ὡς ἀπαραίτητον ὂν ἀποκείρασθαι ταύτην. Ἐξῆν μὲν γὰρ αὐτῇ πρὸ τῆς χειροτονίας τοῦ ἀνδρὸς μὴ διαζυγῆναι, κἀντεῦθεν καὶ τὴν χειροτονίαν κωλυθῆναι καὶ τὴν ἀπόκαρσιν· ὅτε δέ γε τὰ τῆς χειροτονίας συνήνεσε, δέον καὶ τῇ ἀποκάρσει τὴν διάζευξιν βεβαιώσασθαι. Ἐζήτηται δὲ τὰ περὶ τούτου καὶ ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, τῶν τριῶν πατριαρχῶν συνεδριαζόντων, τοῦ Οἰκουμενικοῦ, τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ μητροπολιτῶν ὡσεὶ τεσσαράκοντα, οἳ καὶ ἐψηφίσαντο, ἀπαραιτήτως

1) ά. Κορ. Ι, 32. — 2) προδιαζευχθεῖσαν 1375, 1340 καὶ ε.

ὀφείλειν ἀποκείρασθαι τὴν τοῦ χειροτονηθέντος ἐπισκόπου γυναῖκα, συνοδικοῖς γράμμασι τοῦτο σημειωσάμενοι καὶ κυρώσαντες· ἐντεῦθεν δείκνυται μηδὲ τὰς τῶν ἱερέων γυναῖκας θεμιτὸν εἶναι δευτερογαμεῖν.

Ὁ δέ γε ταύτης λ'. ἰδικῶς ἐκπεφώνηται τοῖς θείοις Πατράσι, περὶ τῶν ἐν ταῖς βαρβαρικαῖς Ἐκκλησίαις ἱερέων καὶ διακόνων, τῶν προφάσει εὐλαβείας μετὰ τῶν οἰκείων δῆθεν γαμετῶν συμφωνούντων τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχεσθαι· τούτους γὰρ μηκέτι ταύταις συνοικεῖν διακελευόμεθά φασιν, ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παράσχωσι τὴν ἀπόδειξιν· καὶ τοῦτο αὐτοῖς ἐνδεδώκαμεν, διὰ τὸ ἀπεξενωμένον αὐτῶν καὶ βάρβαρον ἦθος, καὶ διὰ τὸ περὶ τὴν πίστιν ἀπαγὲς, καὶ μὴ πάνυ ἑδραῖον, καὶ ἵνα πρὸς σωφροσύνην μᾶλλον ἐπιῤῥωνύοιντο, πόῤῥω τῶν πρώην διάγοντες γαμετῶν· τὸ γὰρ αὐταῖς συνοικεῖν εἰς παροξυσμὸν πέφυκε φέρειν τῆς πρὸς αὐτὰς ὁμιλίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ὅτι τῶν ἰδίων γυναικῶν δεῖ τοὺς ἱερωμένους ἐγκρατεύεσθαι, ὅτε τὰ ἅγια μεταχειριεῖσθαι μέλλουσιν.

Καρθαγένης γ'. δ'. κέ. καὶ ο'.

Ὁ τρίτος τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, Τοὺς ἱερᾶσθαι λαχόντας, φησὶν, ἀεὶ μὲν καὶ ἐν πᾶσιν ἐγκράτειαν καὶ σωφροσύνην, καὶ πᾶσαν ἄλλην ἀρετὴν μετιέναι δεῖ, ὅπως καθαροὶ τῷ καθαρῷ προσιόντες, τῶν αἰτημάτων ἐπιτυγχάνοιεν, μεσῖται Θεοῦ χρηματίζοντες καὶ ἀνθρώπων· ὥστε διαπρεσβευόμενοι πρὸς τὸν Θεὸν, τούτοις ἐκεῖνον, ὡς ἐφικτὸν, ἐξιλάσκεσθαι, καὶ εἰρήνην τῷ κόσμῳ αἰτεῖσθαι· οὐχ ἥκιστα δὲ τοῦ καιροῦ καλοῦντος αὐτοὺς, πρὸς τὴν τῶν θείων μεταχείρησίν τε καὶ μετάληψιν μυστηρίων, ἔργῳ τὰ τῆς σωφροσύνης δεικνύναι ὀφείλοντας, καὶ τῆς τῶν ἰδίων γαμετῶν ὁμιλίας ἀπέχεσθαι χρή.

Ὅ γε μὴν δ'. ταύτης καὶ ὁ κή, προσέτι καὶ ὁ ογ'. ἀσαφῶς εἰρημένοι, καὶ τοὺς τὰ θεῖα μυστήρια ψηλαφῶντας ἱερωμένους ἐκ τῶν ἰδίων ἐγκρατεύεσθαι συμβίων κελεύοντες, πρόφασιν τοῖς Λατί-

νοις ἐνῆκαν, τοὺς ἱερωθήσεσθαι μέλλοντας εἰσπράττειν, τῶν ἰδίων χωρίζεσθαι γυναικῶν· εἰ τοίνυν οὕτω δόξης ἔχουσιν οἱ τοιοῦτοι κανόνες, αὐτοὶ ἂν εἶεν μᾶλλον δίκαιοι τῶν ἱερῶν κανόνων χωρίζεσθαι, τῶν τε ἀποστολικῶν καὶ συνοδικῶν, ὡς τἀναντία τούτοις ἄντικρυς δογματίζοντες. Τοῦτο γὰρ ἐκ πολλοῦ τοῦ κρείττονος ἀνατρέπων ὁ ἐν τῷ β'. Κεφαλαίῳ ῥηθεὶς τοῦ παρόντος στοιχείου ιγ'. τῆς ς'. Συνόδου κανὼν, ἀφορισμὸν ἐπισείει τοῖς οὕτω καὶ φρονοῦσι καὶ πράττουσιν. Ἐν μέν τοι τῷ καιρῷ τῆς τῶν θείων μεταχειρήσεως μυστηρίων, τοὺς τῷ κλήρῳ κατειλεγμένους, τῆς ὁμιλίας τῶν ἰδίων ἀπέχεσθαι γυναικῶν, καὶ οὗτος καθῆκον εἶναι κρίνει καὶ ὅσιον, τῷ θείῳ Παύλῳ πειθόμενος, Μὴ ἀποστερεῖτε, λέγοντι, ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου γένηται, ἵνα σχολάσητε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ 1), τὴν ἐν ὡρισμένοις δηλαδὴ καιροῖς νηστείαν δηλῶν, ὅτε τις μέλλει τῶν ἁγιασμάτων μεθέξειν, καὶ τὴν ἐπιτεταγμένην μετὰ θερμῶν δακρύων προσευχὴν, οὐ μὴν ἧ προσανέχειν ἀδιαλείπτως ἐπιτετάγμεθα· Ἀδιαλείπτως γὰρ, φησὶ, προσεύχεσθε 2)· καὶ τοῖς Ἰουδαίοις γὰρ πάλαι ἐπετέτακτο, τῶν ἐν ὄρει μέλλουσι θείων ἐπαΐειν φωνῶν, ἐπὶ τρισὶν ἡμέραις γυναικὶ μὴ προσιέναι.

Διονυσίου γ'.

Ὁ δὲ γ'. τοῦ ἱερομάρτυρος Διονυσίου Ἀλεξανδρείας, ἀρκοῦντας ἐφίστησι σφίσιν αὐτοῖς τοὺς ἱερωμένους διαιτητὰς, ἡνίκα τοῖς φρικτοῖς προσιέναι μέλλουσι μυστηρίοις, ἀπέχεσθαι μὲν τῶν ἰδίων γυναικῶν, ἀλλ' ἐκ κοινῆς συμφωνίας, κατὰ τὴν τοῦ μεγάλου Παύλου φωνὴν, ὅτι ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, καὶ τὰ ἑξῆς 3).

Τιμοθέου ε, ιγ'.

Ὁ δὲ ε. καὶ ὁ ιγ'. τοῦ Τιμοθέου Ἀλεξανδρείας, τοὺς σαρκικῶς τῆς νυκτὸς συναφθέντας ἄνδρας τε καὶ γυναῖκας, μεθ' ἡμέραν ἀπείργει, τῆς ἱερᾶς τελουμένης συνάξεως, τῶν θείων κοινωνῆσαι μυστηρίων, μαρτύριον ἀσφαλὲς τὴν προῤῥηθεῖσαν τοῦ Ἀποστόλου ῥῆσιν καὶ οὗτος προϊσχόμενος· μάλιστα γέ τοι τοῦ σαββά-

1) ά. Κορ. Ζ', 5. — 2) Θεσσαλ. Ε, 17. — 3) ά. Κορ. Ζ', 4.

του καὶ κυριακῆς φυλάττεσθαι χρὴ φησι τῆς πρὸς ἀλλήλους κοινωνίας, οἷα τηνικαῦτα τῆς ἱερᾶς θυσίας τῷ Κυρίῳ ἀναφερομένης.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν γυναῖκας συνεισάκτους ἐχόντων ἐπισκόπων, ἢ κληρικῶν.

Συνόδου πρώτης γ'.

Ὁ γ'. τῆς πρώτης Συνόδου κανών, Ἐπίσκοπον, ἤ τινα τῶν τοῦ κλήρου, συνείσακτον ἔχειν γυναῖκα, οὐκ οἴεται δεῖν, εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν διαπέφευγεν ὑποψίαν· συνεισάκτους δέ φησι τὰς ἑλομένας συνοικεῖν ἱερεῦσιν ἀζύγοις, τὰ πρὸς τὰς ἀναγκαίας χρείας αὐτοῖς διακονουμένας.

Συνόδου ἕκτης ε'.

Τούτου καὶ ὁ ε'. τῆς ἕκτης Συνόδου μεμνημένος κανὼν, τοὺς τοιούτους γυναῖκα κεκτῆσθαι, ἢ θεραπαινίδα, πάντη ἀπείρηκε, πρόφασιν σκανδάλου τούτους μὴ διδόναι προνοούμενος· τῷ δὲ παραβαίνοντι ἐπανατείνεται τὴν καθαίρεσιν· προσεπάγει δὲ καὶ τοὺς εὐνούχους πᾶσαν εἶναι ἀνάγκην τοῦτο παραφυλάττεσθαι, τὴν ἐντεῦθεν μέμψιν ὑφορωμένους, εἰ μὴ βούλοιντο, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Συνόδου ἑβδόμης ιή.

Ὁ δὲ ιή. τῆς ζ'. Συνόδου κανὼν, ἀπροσκόπους εἶναι, κατὰ τὸν Ἀπόστολον, τοὺς τοῦ κλήρου ἀξιοῖ, μὴ ὅτι τοῖς πιστοῖς, ἀλλά γε καὶ οἷς οὐδὲν τῶν τῆς εὐσεβείας ἐμέλησε· διά τοι τοῦτο, καὶ τὸν ἡντιναοῦν διακονίαν ἐπιτρέποντα γυναικὶ δούλῃ, ἢ ἐλευθέρᾳ, ἐν ἐπισκοπείῳ ἢ μοναστηρίῳ, ἐπιτιμᾶσθαι παρεγγυᾶται, ἐπιμένοντα δὲ, καθαιρεῖσθαι. Εἰς ἴδιον δὲ ἀπιόντα προάστειον τὸν ἐπίσκοπον ἢ τὸν ἡγούμενον, ἔνθα γυναῖκες τὰ τῆς ὑπηρεσίας μετίασιν, οὐχ ὑπὸ τούτων καὶ αὐτοὺς, ἀλλ' ὑπὸ ἀνδρῶν ὑπηρετεῖσθαι βούλεται· ἐκείνας δὲ ἐν ἑτέρῳ διάγειν τόπῳ, ἕως ἂν

ὁ ἐπίσκοπος ἢ ὁ ἡγούμενος ἐκεῖθεν ὑποχωρήσῃ· εἰ γὰρ εἰς ἀλλότριον προάστειον ἢ ξενοδοχεῖον οὗτοι καταλύσουσι, δυσχερὲς οἶμαι τὰ τοῦ κανόνος τηρηθῆναι.

Ἀγκύρας ιθ'.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιθ', παρθένους γυναῖκας κωλύει συνέρχεσθαί τισιν ὡς ἀδελφοῖς.

Βασιλείου πή.

Ἐπὶ τούτοις, ἡ μεγάλη τῆς ἀληθείας σάλπιγξ, ὁ μέγας Βασίλειος, ἐπιστολὴν πρός τινα Γρηγόριον πρεσβύτερον πέμψας, ἐπιπληκτικώτερον τούτου καθάπτεται, τῷ τοιούτῳ προσανέχοντος πάθει· Οὔτε πρῶτοι γάρ, φησιν, οὔτε μόνοι νενομοθετήκαμεν, γυναῖκας ἀνδράσι μὴ συνοικεῖν· ἀλλ' ἀνάγνωθι τὸν ἐξενεχθέντα κανόνα παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν, ἐν τῇ Συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι· ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ τῶν γυναικῶν διαγωγῆς· ὡς ἐάν, ἐπαγγελλόμενός τις αὐτὴν τῷ ὀνόματι, ἔργῳ τὰ τῶν γυναιξὶ συνοικούντων ποιῆται, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος· οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, οὔτε ὡς ἐπὶ γενομένῃ τινὶ ἀτόπῳ πράξει ὡρίσαμεν ἃ καὶ ὡρίσαμεν· ἀλλ' ἐπεὶ ἐδιδάχθημεν παρὰ τοῦ Ἀποστόλου, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον, οἴδαμεν δὲ ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει, τούτου ἕνεκα προσετάξαμεν, ἑπόμενοι τῇ διαταγῇ τῶν ἁγίων Πατέρων, χωρισθῆναί σε τοῦ γυναίου. Ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου· κατάστησον αὐτὴν ἐν μοναστηρίῳ· ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ δι' ἡμᾶς βλασφημῆται. Ἕως δ' ἂν ταῦτα ποιῇς, αἱ μυριάδες, ἃς περ σὺ γράφεις διὰ τῶν ἐπιστολῶν, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ Κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας. Ἐὰν δὲ τολμήσῃς, μὴ διορθωσάμενος σεαυτὸν ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ

οἱ δεχόμενοί σε, ἐκκήρυκτοι κατὰ πᾶσαν Ἐκκλησίαν γενήσονται.

Ἐκ δὲ τῆς ἐπιστολῆς ταύτης πάρεστι γνῶναι, μὴ δεῖν εὐθὺς ἀφορίζεσθαι τὸν ἀλλοτρίᾳ γυναικὶ συνοικοῦντα πρεσβύτερον, ἀλλ' εἰ μετὰ παραγγελίαν ταύτης ἀποστῆναι μὴ βουληθείη.

Νόμοι.

Ἐπίσκοπον, μηδεμίαν παντελῶς γυναῖκα ἔχειν, ἢ μετ' αὐτῆς συνοικεῖν συγχωροῦμεν· εἰ δ' ἀποδειχθείη τοῦτο, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω 1).

Μηδεὶς κληρικὸς γυναῖκα μὴ ἔχων, ἐπείσακτον ἐχέτω ἐν τῷ οἴκῳ αὐτοῦ, πλὴν μητρὸς, καὶ θυγατρὸς, καὶ ἀδελφῆς, καὶ τῶν ἄλλως ἀνυπόπτων. Εἰ δὲ μὴ ταῦτα παραφυλάξειε, καὶ δὶς ὑπομνησθεὶς ὑπὸ τοῦ ἐπισκόπου ἢ τῶν συγκληρικῶν μὴ ἐκβάλοι αὐτὴν, ἢ κατηγορηθεὶς ἀποδειχθείη συναναστρεφόμενος ἀσέμνως αὐτῇ, καθαιρείσθω 2).

Ἐπίσκοπος μὴ συνοικείτω οἱαδήποτε γυναικί· μηδὲ γυνὴ διάκονος συνοικείτω ἀνδρί 3).

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῶν γυναιξὶ συλλουομένων.

Συνόδου ἕκτης οἰκ'.

Ὁ οἰκ'. κανὼν τῆς ς'. Συνόδου, τὸ ἐν βαλανείοις τοὺς ἄνδρας μετὰ γυναικῶν λούεσθαι, ὡς καὶ παρὰ τοῖς ἔθνεσιν ὑπὸ κατάγνωσιν γινόμενον, πάντη ἀπείρηκε· καὶ κληρικοῖς μὲν τοῦτο ποιοῦσι καθαίρεσιν ὁρίζει τὸ ἐπιτίμιον, ἀφορισμὸν δὲ, μονάζουσιν, ἢ λαϊκοῖς.

Λαοδικείας ν'.

Οὗτος δὲ τριακοστός ἐστι τῆς ἐν Λαοδικείᾳ Συνόδου, χωρὶς τῶν ἐπιτιμίων. Εἰ γὰρ ὁ ἐντυχὼν κατὰ τὸ παρῆκον γυναικὶ, πολλῆς δεῖται σπουδῆς, μὴ προσαναχρωσθῆναι τὸν λογισμὸν τῇ

1) μέ. Βασ. Γ. ά. Νεαρ. Ἰουστ. ρκγ'. κεφ. κθ'.—2) Αὐτόθι. — 3) μς'. Βασ. Γ. ά. Νεαρ. ρκγ'. λ'.

πρὸς ταύτην ἐπιθυμίαν, σχολὴ γ' ἂν ὁ γυμνουμένας ταύτας ὁρῶν ἐν βαλανείῳ δυνηθείη φυλάξασθαι τῆς ἡδονῆς τὴν ἐπιβουλήν· τοῖς γὰρ ἀλλήλων μέλεσιν, ὡς βέλεσιν ὁ ἐχθρὸς καθ' ἡμῶν χρῆται. Εἶτ' οὐκ αἰσχρῶν ἐστιν αἴσχιστον, τὸ γυμνοὺς ἄνδρας τε καὶ γυναῖκας ὑπ' ἀλλήλων ὁρᾶσθαι, καὶ ἀναφλέγειν σφίσι τὸν ἔρωτα, καὶ τῆς σαρκὸς ἀνάπτειν τὴν πύρωσιν; ἀρκετὸν γὰρ τῷ σώματι ἡ κακία αὐτοῦ καὶ ἡ φυσικὴ τούτου κίνησις· τί δεῖ τῇ φλογὶ πλείονος ὕλης, ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς ἐκ τῆς τῶν ὀφθαλμῶν ἑστιάσεως, ἵνα μᾶλλον δυσκάθεκτον γένηται, καὶ τοῦ λογισμοῦ βιαιότερον; ἄλλως τε καὶ σκανδάλου τοῖς πολλοῖς ἀφορμὴν ἂν παράσχοιμεν, οἵτινες ἐπετάχθημεν μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, καὶ ἀπρόσκοποι γίνεσθαι καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Ἀλλ' οὐδὲ τοῖς ὁμοζύγοις ἐφεῖται τοῦτο ποιεῖν· εἰ γὰρ ἓν πεφύκασι σῶμα, καὶ ἀλλήλων μέλη τυγχάνουσιν, ἀλλ' οὖν χρῆσθαι κακῶς οὐ χρὴ τοῖς οἰκείοις μέλεσιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὅτι γυναῖκας οὐ δεῖ πρεσβύτιδας γίνεσθαι.

Λαοδικείας ιά.

Ὁ ιά. τῆς ἐν Λαοδικείᾳ κανών, οὐκ ὠήθη δεῖν κατά γε τὸ παλαιὸν ἔθος, πρεσβύτιδας γίνεσθαι, καὶ τῶν ἄλλων ἐν Ἐκκλησίᾳ προκαθέζεσθαι γυναικῶν, ὡς διδασκάλου τάξιν πρὸς αὐτὰς ἐπεχούσας· σιωπᾷν γὰρ ὁ λόγος καὶ διδάσκεσθαι, οὐχὶ διδάσκειν, κοινῇ συμπάσαις ἐπέταξε γυναιξίν. Ἐξαιρῶ τοῦ λόγου τὰς ἐν τοῖς τῶν γυναικῶν μοναστηρίοις τῶν λοιπῶν προϊσταμένας· ἡ γὰρ, ἑνὸς σώματος τρόπον, ἐκ διαφόρων μελῶν ἁρμογὴ, διὰ τὴν σύμπνοιαν καὶ κατὰ Θεὸν τῶν λοιπῶν ὑποταγὴν, κεφαλῆς ταύταις δίδωσι χώραν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι γυναῖκας οὐ δεῖ εἰσέρχεσθαι εἰς τὸ ἅγιον θυσιαστήριον.

Ὁ μδ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανών, εἰσιτητὸν εἶναι γυναιξὶ τὸ ἅγιον θυσιαστήριον, τῶν ἀτόπων ἡγεῖται, εἰ καὶ πρώην

ἦν ἀνειμένον καὶ ταύταις. Εἰ γοῦν λαϊκοῖς ἀνδράσι τοῦτο ἀπείρηται, πολλοῦ γε δεῖ γυναιξίν· ἐκβέβληνται δὲ, ὥς φασί τινες, παρὰ τὴν τῶν ἐμμήνων ἀπροαίρετον ῥύσιν. Ζήτει καὶ τὸ ιά. Κεφάλαιον τοῦ παρόντος στοιχείου, καὶ τὸ ς'. Κεφ. τοῦ Β στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι γυναῖκας δεῖ ἐν Ἐκκλησίᾳ σιγᾶν.

Συνόδου ἕκτης ὁ.

Ὁ ὁ. τῆς ς'. Συνόδου κανὼν, σιγὴν ἀσκεῖν ταῖς γυναιξὶν ἐπιτάττει, κατὰ τὴν τοῦ μεγάλου Παύλου φωνὴν 1), οὐκ ἐν τῷ τῆς λειτουργίας μόνῳ καιρῷ, ἀλλά γε καὶ ἐπὶ πάσης τῶν πιστῶν συνελεύσεως· εἰ δέ τι μαθεῖν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· τοῦτο δὲ καὶ τοῖς θύραθεν ἁρμόδιον ἔδοξε φησὶ γάρ τις·

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει 2).

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ὅτι οὐ δεῖ γυναῖκας ἀνδρικὴν στολὴν ἐνδύεσθαι 3).

Γάγγρας ιγ'.

Ὁ ιγ'. τῆς ἐν Γάγγρᾳ Συνόδου κανὼν, οὐδὲ τῶν γυναικῶν ἀνεπιτιμήτους εἴασεν, ὅσαι διὰ νομιζομένην ἄσκησιν, ἀντὶ τῆς εἰωθυίας γυναιξὶ στολῆς, ἀνδρῶν ἔσθημα περιβέβληνται, ἀλλὰ καὶ ταύτας τῷ ἀναθέματι παραπέμπει· Ἕκαστος γὰρ, φησὶν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω 4)· ἴσμεν δὲ τὰς δι' ἄσκησιν ἀληθῆ, καὶ οὐ καθ' ὑπόκρισιν τοῦτο ὑπελθούσας τὸ σχῆμα, ὅσους ἀσκητικοὺς ἀγῶνας διήνυσαν, καὶ τοῦ ἄκρου τῆς ἀρετῆς ἐπελάβοντο. Ζήτει καὶ ἐν τῷ γ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα ξϛ'. τῆς ς'. Συνόδου.

---

1) ά. Κορ. ΙΔ', 35.—2) Σοφοκλ. Αἴας μαστιγ. ς. 292.—3) περιβεβλῆσθαι ε. —4) ά. Κορ. Ζ'. 24.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι γυναῖκα τὴν λεχὼ, οὐκ ἀναγκαῖον τὰς νενομισμένας νηστείας τηρεῖν.

Τιμοθέου ἡ.

Ὁ ἡ. κανὼν τοῦ Τιμοθέου Ἀλεξανδρείας, τὴν τεκοῦσαν γυναῖκα κατὰ τὴν τεσσαρακοστὴν τοῦ Πάσχα, μὴ φυλάττειν τὴν νενομισμένην νηστείαν κελεύει, ἀλλὰ καὶ οἴνου μεταλήψει, καὶ μετρίοις βρώμασιν, ὁπόση δύναμις, ἑαυτὴν ἀνακτᾶσθαι· ἡ γὰρ νηστεία διὰ κατάλυσιν τοῦ σώματος ἐπινενόηται, τοῦτο δὲ ἀσθενῶς ἔχον, οὐ δεῖται παιδαγωγίας ἀλλὰ βοηθείας, εἰς τὸ ῥωσθῆναί τε, καὶ τὴν προτέραν συναγαγεῖν δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'.

Περὶ τοῦ γυναῖκα ἔχοντος δαιμονῶσαν.

Τιμοθέου ιέ.

Ὁ μὲν Τιμόθεος Ἀλεξανδρείας, ἐν τῷ ιέ. κανόνι, Ὅστις, φησὶ, δαιμονώσης τῆς γυναικὸς, ὡς καὶ δεσμὰ περικεῖσθαι ταύτην σιδήρῳ πεποιημένα, σωφρόνως μὴ δυνάμενος ἔχειν, ταύτης μὲν διαζυγῆναι, ἑτέραν δ' ἀγαγέσθαι βουληθείη, οὗτος, ὡς οἶμαι, γραφὴν μοιχείας οὐ διαπέφευγε· πλὴν ἐν οἷς οὐκ οἶδα βεβαίως εἰπεῖν, ἄμεινον ἥγημαι σιωπᾷν.

Νόμος.

Ἐκ δὲ τῆς νεαρᾶς τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ δέδοται τῷ ἀνδρὶ, διηνεκῆ μανίαν νοσούσης τῆς γυναικὸς, λύειν τὸν γάμον, καὶ ἑτέρᾳ συνάπτεσθαι· πλὴν τὸν μὲν ἄνδρα ἐπὶ τριετίαν διακαρτερεῖν αὕτη κελεύει, καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ τῆς μανείσης γυναικὸς αὐτοῦ συζυγίαν· τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς, εἰ μὴ παρέλθοι πενταετία 1). Τοῦτο καὶ ἡ τοῦ βασιλέως Νικηφόρου τοῦ Βοτανειάτου νομοθετεῖ νεαρά· Εἰ καὶ ὁ νόμος φησὶ, μανία ἐμποδίζει τὸν γάμον, οὐ μὴν διαλύει τὸν κάλως συστάντα 2).

1) Νεαρ. Λέοντ. ριά, ριβ'.— 2) Βλτ. εἰς Νομ. ΙΓ', 30. Τ. Α'. σελ. 334.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῶν γυναικῶν τῶν ἐν ἀφίδρῳ, ἤτοι τῶν οὐσῶν ἐν ῥύσει.

Ζήτει τὸ ις'. Κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ.

Περὶ τῶν γυναικῶν τῶν πρὸς τὸ ἀμβλῶσαι φάρμακα δεχομένων.

Συνόδου ἕκτης κά.

Ὁ κά. τῆς ς'. Συνόδου κανὼν, φόνου δίκας ὑπέχειν κελεύει, ὅσαι τῶν γυναικῶν ἢ δέχονται, ἢ ἄλλαις ὀρέγουσι πρὸς τὸ ἀμβλῶσαι φάρμακα· λάθρα γοῦν τινες ἀνδράσι μιγνύμεναι, καὶ συλλαμβάνουσαι, δέει τοῦ μὴ ἁλῶναι πορνείας γονεῦσιν ἴσως ἢ δεσπόταις, τῇ τοῦ δηλητηρίου πόσει τὰ ἔμβρυα φθείρειν ἐπιτηδεύουσιν, ἢ καὶ βάρει τὰς κοιλίας πιέζουσιν, ὥστε νεκρὰ τῆς γαστρὸς ἐκπεσεῖν· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἑαυτὰς ἐνίοτε προσαπολλύουσιν.

Ἀγκύρας κά.

Ὁ δὲ κά. τῆς ἐν Ἀγκύρᾳ, Εἰ καὶ ὁ πρότερος, φησὶν, ὅρος μέχρις ἐξόδου τῆς κοινωνίας ἐξέωσε τὰς δεχομένας τὰ φθόρια, ἀλλ' ἡμεῖς φιλανθρωπότερόν τι ποιοῦντες, δεκαετῆ χρόνον ὡρίσαμεν ἀρκεῖν αὐταῖς εἰς μετάνοιαν.

Βασιλείου β'.

Ἀλλὰ καὶ ὁ β'. τοῦ μεγάλου Βασιλείου, τὸ μέτρον τοῦτο τῆς δεκαετίας ταῖς τοιαύταις ὁρίζεται· καὶ τὴν θεραπείαν οὐ τῷ χρόνῳ μᾶλλον ἢ τῷ τρόπῳ πιστεύει τῆς μετανοίας. Ἐπεὶ δ' ὁ Μωσαϊκὸς νόμος, ὅτε μὲν οὐκ ἐξεικονισμένον τὸ ἔμβρυον ἔμβλωτο, εἰς χρήματα ἐζημίου, ἐξεικονισμένου δ' ἐκπίπτοντος, εἰς ψυχὴν κατεδίκαζε, θνήσκειν κελεύων τὸν τὴν γυναῖκα πατάξαντα, τούτου μνησθεὶς ὁ ἅγιος, Διαφοράν, φησιν, ἡμεῖς οὐκ ἔχομεν, εἴτε μεμορφωμένα, εἴτ' οὖν ἀμόρφωτά εἰσι τὰ ἀποβαλλόμενα· οὐ γὰρ εἰς χρήματα ζημιοῦμεν, ἀλλὰ φόνου κρίνομεν

τὴν τοῦτο ποιήσασαν, διά τε τὴν τοῦ ἐμβρύου φθορὰν καὶ αὐτῆς δὲ τῆς ἀποβεβληκυίας· ἐπισυμβαίνει γὰρ ἔσθ' ὅτε τῷ ἐμβρύῳ καὶ ταύτην συμφθείρεσθαι· τὸ γοῦν σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον, πρότερον μὲν ἐξαιματοῦται, εἶτα εἰς ἀμόρφωτον πήγνυται σάρκα, εἰθ' οὕτως ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μόρια.

Ἀλλ' ἐν μὲν τῷ τέλει τοῦ ἡ. κανόνος, Καὶ αἱ διδοῦσαι, φησὶ, καὶ αἱ δεχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται· ἐνταῦθα δὲ τὸ τοῦ ἀκουσίου φόνου ἐπιτίμιον τὴν δεκαετίαν ἐπιτίθησι ταύταις, οἶμαι, παρὰ τὸ μήπω γεγονέναι τὸ κυοφορούμενον ἐν φύσει, καὶ τὸ μὴ ἐκ διαθέσεως ἀπανθρώπου μελετηθῆναι τὸν φόνον, ἀλλὰ δι' αἰσχύνην ἢ φόβον ἀγενῆ, γονέων τυχὸν, ἢ δεσπότου, ἢ ἄλλου τινὸς, κίνδυνον ἀπειλοῦντος.

Νόμοι.

Ἡ ἐπίτηδες ἐκτρώσασα προσκαίρως ἐξορίζεται 1).

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, ἄδειαν δίδωσι τῷ ἀνδρὶ διασπᾶν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐξεπίτηδες ἀμβλωσκούσης τὴν ἐκείνου σποράν 2).

Ὁ πόμα δεδωκὼς ἀμβλωθρίδιον, εὐτελὴς μὲν ὢν, μεταλλίζεται, τίμιος δὲ, ἐξορίζεται μετὰ καιρικῆς δημεύσεως· ἐσχάτη δὲ τιμωρίᾳ ὑπάγεται, ἐάν τις ἀπέθανεν ἐκ τούτου, καὶ εἰ χωρὶς δόλου τὸ ἀμβλωθρίδιον δέδωκεν 3).

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ γυναικὸς τῆς ἀμελῶς ἐχούσης περὶ τὸ κύημα ἢ ἐκτιθεμένης.

Βασιλείου λγ', νϐ'.

Ὁ λγ'. τοῦ μεγάλου Βασιλείου κανὼν, ἔτι δὲ καὶ ὁ νϐ', Τὴν κατὰ τὴν ὁδὸν κυήσασαν, εἴγε παρὸν σῶσαι καταπεφρόνηκε τοῦ κυήματος, φόνου δίκας ὑπέχειν οἴεται δεῖν, κἂν εἰ ἕτερος ἀνε-

1) δ'. Βασ. ξ'. κϐ'.—2) Νεαρ. Λέοντ. λά.—3) θέμ. ἑ. λδ'. Βασ. Ξ. νά.

λόμενος, καὶ φιλανθρώπως χρησάμενος, τὸ ζῆν αὐτῷ κεχάρισται, αὐτῆς θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένης, ἐκ πορνείας ἴσως τοῦτο ἢ μοιχείας συνειληφυίας, καὶ τὴν ἁμαρτίαν ταύτῃ πειραθείσης συγκρύψαι· εἰ δὲ παρὰ τὴν ἀπορίαν τῶν προστησομένων, ἢ τὴν ἔνδειαν τῶν ἀναγκαίων, ἢ αἰχμάλωτος ἀγομένη, ἢ τῷ φεύγειν πολεμίους κρυπτομένη, καὶ τοῦ βρέφους κλαυθμυριζομένου, κινδυνεύουσα μηνυθῆναι, ἑαυτὴν ἅμα καὶ τὸ τεχθὲν οὐκ ἤρκεσε περισώσασθαι, συγγνωστὴ μᾶλλον ἡ μήτηρ, τῆς ἐπηρείας.

Ἐκ δὲ τούτου καὶ περὶ τῶν ἐκτιθεμένων τὰ οἰκεῖα βρέφη πρὸς ταῖς εἰσόδοις τῶν ἱερῶν λόγος πολλάκις ἐπὶ τῆς ἱερᾶς Συνόδου γέγονε· καὶ ἤρεσεν, ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν ἕτερος ἀνέληται, καὶ ἐπιμελησάμενος ζωογονήσῃ.

Νόμος.

Φονεύει τὸ τικτόμενον, οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔσχεν 1).

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τῶν γυναῖκας παρθένους βιαζομένων.

Ἀποστόλων ξζ'.

Ὁ τῶν ἁγίων Ἀποστόλων ξζ'. κανὼν, τὸν βιασάμενον παρθένον ἀμνήστευτον, ἀφορίζεσθαι ἀξιοῖ· (τὸν γάρ τοι μεμνηστευμένην, τίς ἀντερεῖ μὴ οὐχὶ καὶ ὡς μοιχὸν τιμωρεῖσθαι δεῖν;) ἔχειν δὲ ταύτην καὶ μὴ ἐκβάλλειν, εἰ καὶ τῶν πενεστάτων οὖσα τυγχάνει, καὶ τῷ ἐκείνου μὴ προσήκουσα γένει.

Νόμοι.

Φησὶ γὰρ ὁ νόμος· Τὸν μετὰ σώφρονος παλλακευόμενον γυναικὸς, ἀναγκάζεσθαι δεῖ καὶ εἰς γάμου κοινωνίαν λαμβάνειν αὐτήν 2).

Ὡς ἔοικε τοίνυν καὶ ὁ κανὼν, ὑπὲρ μὲν τῆς βίας ἀφορίζεσθαι

1) δ'. Βασ. ΛΔ'. ς'.—2) 6'. Βασ. Ξ. λζ'.

τὸν πλημμελήσαντα ἐπιτάττει, διὰ δέ γε τῆς παρθένου τὴν σωτηρίαν, ἀναγκάζεσθαι καὶ νομίμως αὐτῇ συναφθῆναι.

Οὐ μὴν ἐν τῇ περὶ βίας ἀγωγῇ, οὕτω θεσπίζειν ὁ νόμος δείκνυται·

Νόμοι.

Φησὶ γάρ· Ὁ βιασάμενος κόρην, καὶ φθείρας αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ 1).

Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ τοῦ ἑνὸς προσώπου οἱ γονεῖς τοῦτο οὐ καταδέχονται, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω λίτραν μίαν χρυσίου· εἰ δὲ ἐνδεὴς, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω 2).

Ὁ ὡρισμένος εἰς κατηγορίαν τῆς μοιχείας χρόνος τῆς πενταετίας, οὐκ ἔχει χώραν ἐπὶ τῆς κατὰ βίαν γενομένης φθορᾶς, ἀπροσδιορίστως γὰρ κινεῖται, ἐπειδὴ καὶ δημοσία ἡ βία πλημμελεῖται 3).

ΚΕΦΑΛΑΙΟΝ ΛΑ.

Περὶ γοητείας.

Ζήτει τὸ ά. Κεφάλαιον τοῦ Μ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Δ' ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Ά.

Περὶ δαιμονώντων ἢ δαιμονᾶν ὑποκριτομένων.

Ἀποστόλων οθ'.

Ὁ οθ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Τὸν δαιμονῶντα, μήτε κληρικὸν ἐπιτάττει γίνεσθαι, μήτ' εὐχῆς τοῖς πιστοῖς κοινωνεῖν·

1) π'. Βασ. αὐτόθι.—2) οθ'. Βασ. αὐτόθι.—3) θέμ. ξ'. κ. λ'. Βασ. αὐτόθι.

ἀπαλλαχθέντα δὲ τελέως τοῦ δαίμονος, καὶ εἰς κλῆρον προβαίνειν, εἴγε καὶ τὰ τοῦ βίου συμβαίνει τῷ ἀξιώματι· ἐπείτοι γε τὸν ἐκ διαλειμμάτων νοσοῦντα, συγκαταλεγῆναι τῷ κλήρῳ οὐχ ὅσιον, ἵνα μὴ τῷ καιρῷ τῆς μανίας αὐτοῦ, καὶ τὰ τῆς ἱερωσύνης ὑβρίζηται, καὶ τὸ θεῖον ἀτεχνῶς βλασφημῆται. Πῶς γὰρ οἷόν τε τὸ καθαρὸν τῆς ἱερωσύνης φῶς ψυχῇ πιστευθῆναι, τὸ ἐξάγιστον εἰσοικισαμένῃ τῆς πονηρᾶς δυνάμεως σκότος, διὰ τὴν πρὸς τὰ φαῦλα ροπήν; καὶ σαπρῷ γὰρ δήπου δοχείῳ μύρον, οὐδ' ἂν εἷς νοῦν ἔχων πιστεύσειεν· ἡ γὰρ ἐλευθέρα τῶν ἀκαθάρτων παθῶν ψυχὴ, καὶ τῇ ἁγιωσύνῃ 1) τῶν ἀγαθῶν χαίρουσα πράξεων, φοβερὰ τῇ πονηρᾷ τῶν δαιμόνων εἶναι πιστεύεται φάλαγγι. Ἄλλως τε καὶ λογισμοῦ καὶ φρονήσεως ἔρημος ὢν ὁ δαιμονῶν, καὶ φαῦλά τινα καὶ ἄσεμνα διαπραττόμενος, καὶ δαιμονιώδεις φωνὰς προϊέμενος, τὸν λαὸν συνταράττειν, καὶ τὴν ἐν τῷ νεῷ ψαλμῳδίαν ἀχρειοῦν ἔμελλεν.

Τιμοθέου γ΄. ιδ΄.

Ὁ δὲ γ΄. τοῦ Τιμοθέου Ἀλεξανδρείας, τὸν μὴ δι' ὅλου, ἀλλ' ἐκ διαλείμματος, τὴν μανίαν νοσοῦντα, μεταλαμβάνειν ἐφίησι τῶν ἁγιασμάτων, εἴπερ, ἐν ᾧ σωφρονῶν ὁρᾶται καιρῷ, μὴ διασύρῃ τὰ θεῖα, καὶ βλασφημῇ τὸ μυστήριον, μηδὲ κατὰ τῆς πίστεως φθέγγηται· οἷα καὶ ὁ Ἰούδας ἔδρασεν, ἐκκαλύψας ἃ ἐδιδάχθη τοῖς Ἰουδαίοις, ὡς τοῖς γινομένοις διαπιστῶν, καὶ τῷ διδασκάλῳ ὡς ἀνθρώπῳ ψιλῷ προσέχων, καὶ οὐ Θεῷ.

Ὁ δὲ ιδ΄, Εἴ τις, φησὶ, μὴ ὑγιᾶ τὸν λογισμὸν ὡς ἀληθῶς κεκτημένος, ἑαυτὸν διεχειρίσατο, καὶ τῆς ὑπὲρ αὐτοῦ προσφορᾶς, καὶ τῆς εἰωθυίας εὐχῆς ἀξιούσθω· στέρεσθαι γὰρ καὶ τῆς νενομισμένης ὁσίας τόν γε τοιοῦτον οὐ χρή.

Συνόδου ἕκτης ξ΄.

Ὁ δὲ ξ΄. τῆς ς΄. Συνόδου, τοὺς δαιμονᾶν ὑποκρινομένους, καὶ τρόπων φαυλότητι, διὰ τὸ πρὸς κέρδος ὁρᾶν, τὰ ἐκείνων σχηματιζομένους, ἐπιτιμᾶσθαι παντάπασι δικαιοῖ, καὶ πόνοις ὑποβάλλεσθαι, οἷοις γὰρ ἀληθῶς δαιμονῶντες ὑποβληθεῖεν πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας· τὸν γὰρ ὑπὸ Θεῷ ζῆν ἑλόμενον,

1) ἁγιωσύνῃ B. καὶ s.

καὶ τῶν ἀνθρωπίνων ἠμελημένα πραγμάτων, τὴν ἀπλανῆ καὶ τοῖς θείοις Πατράσι βάσιμον ἔδει, μὴ μέν τοι τὴν ἐπικίνδυνον καὶ πολλοῖς αἰτίαν αἱρεῖσθαι σκανδάλου· πολλῆς γὰρ νήψεως τοῖς τοιούτοις χρεία καθέστηκε, ὥς τις φησὶ τῶν ἁγίων, μήπως ἐμπαίζειν ἐπιχειρήσαντες, εἰς ἐμπαιγμὸν ἑαυτῶν καταλήξωσιν, εἴγε καὶ ὀρθῷ λογισμῷ τὴν ὁδὸν ταύτην εἵλοντο.

Ζήτει καὶ ἐν τῷ ά. κεφ. τοῦ Β στοιχείου κανόνα μέ. τῆς ἐν Καρθαγένῃ Συνόδου, τοῦ Τιμοθέου Ἀλεξανδρείας β΄. καὶ δ΄. καὶ ἐν τῷ ιϐ΄. κεφ. τοῦ Ε στοιχείου, κανόνα πγ΄. τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ τὸ κς΄. Κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ δανειστῶν, καὶ δανείου, καὶ ἐνεχύρων.

Νόμοι.

Ἡ γυνὴ προτιμάσθω περὶ τὴν προῖκα τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός· οὐ προτιμᾶται δὲ τούτων περὶ τὴν πρὸ γάμου δωρεάν 1).

Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μήπου προγενέστερον ὑπῆρξεν 2).

Ἀπαγορεύει ἡ διάταξις τῷ ἀνδρὶ, ἐκποίησιν ποιεῖσθαι καὶ ὑποθήκην τῶν προικιμαίων πραγμάτων, εἰ καὶ τοῖς γινομένοις ἡ γυνὴ συναινέσει, ἵνα μὴ τῆς γυναικείας φύσεως τὸ σαθρὸν ἀπώλειαν τοῖς αὐτῆς πράγμασιν ἐμποιήσῃ· εἰ δὲ ἡ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον, ἐσιώπησεν ἐπίτηδες, ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρὶ, τότε οὐ βοηθεῖται· ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις 3).

Ἐὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν ἡ γυνὴ τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος, καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι βούλεται τῆς ἐνοχῆς, καὶ ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη οὐ κατέβαλεν, οὐδὲ καταβαλεῖν ἔτι

1) Πρ. Ν. 9. 15 καὶ 16—ά. καὶ γ΄. Βασ. Θ΄, θ΄.— 2) δ΄. Βασ. αὐτόθι.—Πρ. Ν. 9. 17.—3) Πρ. Ν. 9. 18. καὶ ξθ΄. Βασ. Κ ς΄. ζ΄.

ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλε, διεκδικεῖν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα 1).

Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ ἰδίᾳ ἀνδρὶ, ἢ ὑπογράψει, καὶ τὴν οἰκείαν περιουσίαν, ἢ καὶ ἑαυτὴν ἐνοχοποιήσει, οὐδὲν τοιοῦτον ἰσχύει ἢ κρατεῖ, κἂν τε ἅπαξ, κἂν τε πολλάκις τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν, εἴτε δημόσιον εἴη τὸ χρέος, ἀλλ' οὕτως εἶναι ὡς ἂν εἰ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθείη, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθη 2).

Ὁ δανειστὴς τὰς οἰκείας ἀρνησάμενος ἀποδείξεις, διπλάσιον τὸ περιεχόμενον αὐταῖς ποσὸν ἐλεγχόμενος καταλογιζέσθω τῷ χρεώστῃ 3).

Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος· καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ, καὶ ἀποδίδοται τὸ ἐνέχυρον· εἰ δὲ καὶ πλείονές εἰσι τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες 4).

Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου 5).

Ἐὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπωλέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται· χρὴ δὲ αὐτὸν ἀποδεῖξαι ὅτι ἀπώλεσε· τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπωλέσας τὸ πρᾶγμα, ἀπαιτεῖν τὸ αὐτῷ κεχρεωστημένον· εἰ δὲ μεταξὺ τῶν συναλλασσόντων ἥρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην 6), τοῦτο ἰσχύει.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ διαζυγίου.

Ζήτει τὸ ιγ'. κεφάλαιον τοῦ Γ στοιχείου.

---

1) Πρόχ. Ν. 10, 19. καὶ ξή. Βασ. Κς'. ζ'.— 2) Νεαρ. ρλδ'. 8. Πρόχ. Ν. 9. 20. — 4) μγ'. Βασ. ΚΕ. ά. — 5) μέ. Βασ. αὐτόθι. — 6) μζ'. Βασ. αὐτόθι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ διαθήκης.

Ὁ μ'. τῶν ἁγίων Ἀποστόλων κανών, Τὸν ἴδια κεκτημένον πρὸ τῆς χειροτονίας ἐπίσκοπον, κελεύει δῆλα ταῦτα ποιεῖν, καὶ μὴ τοῖς τῆς Ἐκκλησίας μιγνύναι, ἵν' ἐξουσίαν ἔχοι τελευτῶν, οἷς βούλεται καὶ ὡς βούλεται, ταῦτα καταλιπεῖν, ὀρθοδόξοις μέν τοι Χριστιανοῖς, καὶ μὴ προφάσει τῶν τῆς Ἐκκλησίας πραγμάτων ἀπόλλυσθαι τὰ τοῦ ἐπισκόπου, γυναῖκα καὶ παῖδας ἔσθ' ὅτε κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας· δίκαιον γὰρ παρὰ Θεῷ καὶ ἀνθρώποις, μήτε τὴν Ἐκκλησίαν ζημιοῦσθαι ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῶν τῆς Ἐκκλησίας, ζημίαν ὑπομένειν βάρει χρεῶν ἴσως ὑποκειμένης, καὶ εἰς πράγματα τούτους ἐμπίπτοντας, τῷ αὐτοῦ διαλοιδορεῖσθαι θανάτῳ· εἰ γὰρ μὴ δῆλα ποιήσαιτο τά τε πρὸ τῆς χειροτονίας, καὶ τὰ μετὰ ταύτην αὐτῷ περιελθόντα ἐξ αἰτίας εὐπροσώπου, ὁ μετ' αὐτὸν χειροτονηθεὶς τῶν αὐτοῦ πάντων ἀνθέξεται, ἀναδεδεγμένος πάντως καὶ τὴν τῶν χρεῶν ἔκτισιν.

Καρθαγένης λϐ'.

Ὁ δὲ λϐ'. τῆς ἐν Καρθαγένῃ Συνόδου, Οἱ εἰς ἐπισκοπὴν, φησὶ, προελθόντες, ἢ κλῆρον, καὶ πρὸ τούτου μὲν ἀπορίᾳ καὶ πενίᾳ συζῶντες, εὐπορήσαντες δὲ μετὰ τοῦτο, ὥστε καὶ ἀγροὺς ἑαυτοῖς πρίασθαι, καὶ χωρία, ἐπεὶ δοκοῦσιν ἐκ τῶν πραγμάτων ταῦτα τῆς Ἐκκλησίας κτήσασθαι, ὀφείλουσι μὴ ἑτέροις, ἀλλὰ τῇ Ἐκκλησίᾳ ταῦτα καταλιπεῖν, τὴν τῆς ἱεροσυλίας γραφὴν φυλαττόμενοι. Εἰ δὲ κατὰ δωρεὰν, ἢ συγγενῶν κληρονομίαν, καὶ μὴ καθ' ὁντιναοῦν ἕτερον τρόπον, εἰς ἀναῤῥύσεις τυχὸν αἰχμαλώτων, ἢ νεῶν οἰκοδομὰς, ἔστιν ἃ προεκτήσαντο, δεῖ καὶ τούτων τὴν Ἐκκλησίαν μερίτιν ποιήσασθαι· εἰ δ' οὖν, οὐκ ἄξιοι τῆς ἱερατικῆς τιμῆς κριθήσονται· κατὰ τῶν ἐπισκόπων δὲ τοῦτο κρατήσει μάλιστα, ἐπεὶ οὐδ' ὕπεστι τρόπος αὐτοῖς ἴσως ἕτερος, δι' ὃν κτήσονται πράγματα, ὅτι μὴ μόνος ὁ ἀπὸ τῶν τῆς ἐπισκοπῆς δικαίων. Ζήτει καὶ ἐν τῷ ϛ'. Κεφ. τοῦ Α στοιχείου, τῆς Συνόδου ταύτης κανόνα κϛ'. καὶ πά.

Νόμος.

Ἡ δὲ ρλά. Ἰουστινιάνειος νεαρὰ, Ἀπαγορεύομεν, φησὶ, τοῖς ὁσιωτάτοις ἐπισκόποις, τὰ μετὰ τὴν ἐπισκοπὴν αὐτοῖς οἱῳδήποτε τρόπῳ περιελθόντα πράγματα, κινητὰ, ἢ ἀκίνητα ἢ αὐτοκίνητα, εἰς ἰδίους συγγενεῖς, ἢ πρὸς ἄλλους οἱῳδήποτε τρόπῳ μεταφέρειν, ἀλλὰ δαπανᾷν αὐτὰ εἰς λύσιν αἰχμαλώτων, καὶ πτωχῶν ἀποτροφὴν, καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας, ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας Ἐκκλησίας· τὰ γὰρ μετὰ τὴν αὐτῶν τελευτὴν ἐκ τούτων περιττεύοντα, ἡ κατ' αὐτοὺς Ἐκκλησία οἰκειοῦται· ἄδειαν δὲ ἔχουσιν ἐκποιεῖν ἅτινα ἂν πρὸ τῆς ἐπισκοπῆς ἐσχηκότες ἀποδειχθῶσι, καὶ ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς ἀπὸ συγγενῶν περιέλθῃ, οὓς ἐξ ἀδιαθέτου μέχρι τετάρτου 1) βαθμοῦ διαδέχεσθαι δύνανται· ταῦτα δὲ κρατεῖ καὶ ἐπὶ τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων μονῶν. Ἐὰν δὲ ἐπίσκοπος ἢ κληρικὸς οἱουδήποτε βαθμοῦ ἄνευ διαθήκης, ἢ νομίμων διαδόχων τελευτήσῃ, ἡ τούτων διαδοχὴ προσκυροῦται τῇ Ἐκκλησίᾳ, ἐν ᾗ κεχειροτόνηται 2).

Νόμοι περὶ διαθήκης.

Διαθήκη ἐστὶ δικαία βούλησις περὶ ὧν ἄν τις θέλῃ μετὰ θάνατον αὐτοῦ τὴν διοίκησιν γενέσθαι 3).

Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν καὶ τὸ σῶμα, ἐρρῶσθαι 4).

Ὁ ἄῤῥην πληρώσας τὰ ιδ'. ἔτη διατίθεται· ἡ δὲ θήλεια τὰ ιϛ' 5).

Ἐὰν πατὴρ ἢ μήτηρ, εἰς γάμον ἐκδώσῃ παῖδα θήλειαν ἢ ἄῤῥενα, καὶ συμβῇ τελευτᾷν τὸν παῖδα, οὐκ ἔχει ἐξουσίαν διαθέσθαι, εἴτε προῖξ ἐστὶν, εἴτε ὑπόβολον, ἔτι τῶν γονέων περιόντων· εἰ δὲ ἓν μέρος ἐξ αὐτῶν ἐτελεύτησεν, εἰς τὸ τοῦ θανόντος διατίθεται 6).

Οὔτε ὑπεξούσιος διατίθεται, οὔτε ἄνηβος, οὔτε μαινόμενος, οὔτε ἄσωτος· ἄλαλος δὲ καὶ κωφὸς ἔστιν ὅτε διατίθενται 7).

---

1) Δευτέρου 1340 — 2) Νεαρᾷ ρλά, κ. ιγ'. — 3) ά. Βασ. ΙΕ', ά. — 4) ϐ'. αὐτόθι. — 5) ς'. αὐτόθι. — 6) Ἀριθ. Ε'. θ'. 14. — 7) ις'. καὶ ιθ'. Βασ. αὐτόθι.

Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας, τελείας οὔσης 1).

Μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραδρομῇ ἡ διαθήκη, εἰ μὴ ἄρα τελείας γενομένης ἑτέρας ἐγγράφου, ἢ ἀγράφου, ἐναντίαν γνώμην τοῦ διατιθεμένου δηλούσης, ἐπὶ ἑπτὰ ἢ πέντε μαρτύρων 2).

Τελευτῶντος τοῦ διατιθεμένου, καὶ ἐπομνύντος μηδὲν ἄλλο κεκτῆσθαι, εἰμὴ ἅπερ ἐν τῇ διαθήκῃ ἐντέταχεν, οὐκ ἔχει ἄδειαν οἱοσδήποτε κληρονόμος ἐρευνᾶν καὶ βάσανον δούλων ποιεῖσθαι, ἢ ὅρκους ἀπαιτεῖσθαι τοὺς συνευρεθέντας ἐν τῇ αὐτῇ καταγραφῇ μάρτυρας· ἀλλὰ καὶ μὴ βουλόμενος πιστούσθω τῇ τοῦ τελευτήσαντος ἐξωμοσίᾳ, δηλονότι μὴ φωραθέντος τοῦ διατιθεμένου ἄλλως καὶ ἄλλως ὀμνύειν ἐπὶ τῷ αὐτῷ πράγματι 3).

Ἄγραφος συνίσταται διαθήκη, ὅταν ἑπτὰ μαρτύρων ἅμα εὑρισκομένων, τὴν αὐτοῦ ὁ διατιθέμενος φανερώσῃ βούλησιν· εἰ δὲ ἐν ᾧ τις ἀγράφως διατίθεται τόπῳ, ἑπτὰ οὐχ εὑρίσκονται, δύναται καὶ ἐπὶ πέντε μαρτύρων οὐκ ἔλαττον, τὴν οἰκείαν φανερὰν ποιεῖν βούλησιν 4).

Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ 5).

Ἡ διαθήκη ἑπτὰ μάρτυρας ἔχειν ὀφείλει· ὁ δὲ κωδίκελλος ἑ 6). Ὁ μέν τοι ἐν πολέμῳ πληγεὶς, καὶ ἐν ὁδῷ περιπατῶν, καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, οὐ μόνον ἐπὶ τριῶν διαθήκην δύναται ποιεῖν, ἀλλὰ καὶ ἐπὶ δύο προσώπων διὰ τὴν συμβᾶσαν περίστασιν 7).

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, Θεσπίζομέν, φησι, ἐν πάσῃ χώρᾳ καὶ πόλει, καὶ ὑπ' ἀμαθῶν κυροῦσθαι τὰς διαθήκας, εἰ μόνον ἐκ τοῦ τρόπου τὸ ἀξιόπιστον οἱ μάρτυρες ἀποφέρονται· καὶ τὸν ἀριθμὸν δὲ οὐ μόνον ἄχρι τῶν πέντε περιορίζομεν, ἀλλ' ἐν τόποις, ἐν οἷς, ὡς εἰκὸς, συμβαίνει σπάνιν ἀνδρῶν εἰς μαρτυρίαν ἀξίων εἰσιέναι, καὶ μέχρι τριῶν φθάνοντα τὸ εὐαπόδεικτον ἔχειν, καὶ εἶναι ἀθετήσεως κρείττω τὴν μαρτυρίαν 8). Ζήτει καὶ τὸ λή. Κεφ. τοῦ Κ στοιχείου, καὶ τοὺς ἐν τῷ ις'. Κεφ. τοῦ Μ στοιχείου νόμους.

---

1) Πρ. Ν. 21, 13. — 2) κδ'. Βασ. ΑΕ. 6'. — 3) Πρ. Ν. 30. 22. — Νεαρ. Ἰουσ. μή. 1. — 4) κέ. Βασ. ΑΕ. 6'. — 5) Πρ. Ν. 21, 7. — κή. Βασ. αὐτόθι. — 6) κδ'. Βασ. λζ'. ά. — 7) Πρ. Ν. 21. 16. — ις'. Βασ. αὐτόθι. — 8) Νεαρ. Λέ. μά.

ΚΕΦΑΛΑΙΟΝ Έ.

Περὶ διακόνων.

Συνόδου ἕκτης ιδ'. ιέ.

Ὁ ιδ'. τῆς ς'. Συνόδου κανὼν, προσέτι καὶ ὁ ιέ, τὰς ἡλικίας ὁρίζοντες τῶν χειροτονουμένων, τὸν μὲν πρεσβύτερον, ἐτῶν θεσπίζουσιν εἶναι λ'., εἰ καὶ ὁ βίος ἐκ περιουσίας συμβαίνει τῷ ἀξιώματι· πρὸς γὰρ ἀρχέτυπον παράδειγμα, τὴν τοῦ Σωτῆρος χρὴ βλέπειν οἰκονομίαν, ὃς τριακοντούτης βαπτισάμενος, εὐθὺς τοῦ διδάσκειν ἀπήρξατο· τὸν δέ γε διάκονον έ. εἶναι καὶ κ'., τεσσαράκοντα δὲ τὴν διάκονον· τὸν δὲ ὑποδιάκονον, μὴ ἐλαττόνως ἔχειν τῶν κ'. Τόν γε μὴν πρὸ τῶν ῥηθέντων χειροτονηθέντα χρόνων, ἀφειδῶς καθαιρεῖσθαι κελεύουσι.

Καρθαγένης ις'.

Τοὺς αὐτοὺς τῆς ἡλικίας τοῦ διακόνου χρόνους καὶ ὁ ις'. κανὼν τῆς ἐν Καρθαγένῃ Συνόδου ὁρίζεται· τῆς δὲ διακόνου, ὁ ιέ. τῆς δ'. Συνόδου. Ζήτει τὰ περὶ τῶν διακόνων γυναικῶν ἀκριβέστερον ἐν τῷ ιά. Κεφ. τοῦ Γ στοιχείου.

Νεοκαισαρείας ιέ.

Καὶ ὁ μὲν τῆς ἐν Νεοκαισαρείᾳ ιέ, τῇ ὁρωνυμίᾳ τῶν ἐν ταῖς Πράξεσιν ἑπτὰ διακόνων καθυπαχθείς, μὴ πλείονας εἶναι τῶν ζ'. διακόνων ἐτύπωσεν, εἰ καὶ ταῖς μείζοσι τῶν πόλεων τὸ τὴν Ἐκκλησίαν ἔχον ἄστυ συναμιλλᾶται.

Συνόδου ἕκτης ις'.

Ὁ δὲ τῆς ς'. Συνόδου ις'. τὸν παρόντα διαγράφων κανόνα, καὶ τὰ ῥητὰ τῆς βίβλου τῶν Πράξεων ἐξηγούμενος, καὶ τὸν τὴν γλῶτταν παράγων χρυσοῦν, τῶν ῥητῶν τὴν διάνοιαν παντὸς μᾶλλον ἀκριβέστερον ἀναπτύσσοντα, δείκνυσι, μὴ διακόνους λέγειν ἐνταῦθα τὴν θείαν Γραφὴν, τοὺς ἐν τοῖς θείοις διακονουμένους μυστηρίοις, οὐδέπω γὰρ ἦσαν οὔτε ἐπίσκοποι, οὔτε πρεσβύτεροι, οὔτε μὴν διάκονοι, πλὴν μόνων τῶν Ἀποστόλων, ἀλλ' οἷς ἔμελεν, ὅπως τρέφοιντο οἱ περὶ τοὺς Ἀποστόλους ἀθροιζόμενοι καὶ πιστεύοντες, οὓς καὶ εἰς τύπον ἡμῖν γεγονέναι τῆς περὶ τοὺς δεομένους σπουδῆς τε καὶ μεταδόσεως.

Ὁ τοίνυν τῆς ἐν Νεοκαισαρείᾳ κανὼν μὴ εὐστόχως ῥηθείς, οὐδὲ πρὸ τῆς ς΄. ἐτηρεῖτο Συνόδου· ὁ μὲν γὰρ Ἰουστινιανὸς πρὸ ταύτης γεγονὼς, ἑξήκοντα πρεσβυτέρους, καὶ διακόνους ἑκατὸν ἄῤῥενας, καὶ θηλείας μ΄. ἐν τῇ μεγάλῃ κατέστησεν Ἐκκλησίᾳ. Ἡράκλειος δὲ, πρὸ τῆς ς΄. ὢν καὶ αὐτὸς Συνόδου, καὶ ἐπηύξησε τούτων τὸν ἀριθμόν· τοῦτο καὶ περὶ τὰς ἄλλας τῶν Ἐκκλησιῶν ἐγένετο, τοῦ ἐν Νεοκαισαρείᾳ κανόνος μέχρι τοῦ γραφῆναι μόνον προκόψαντος.

Συνόδου πρώτης ιή.

Ὁ δὲ τῆς πρώτης Συνόδου ιή κανὼν, τοὺς διακόνους ἀπείργει τῆς εὐχαριστίας μεταδιδόναι τοῖς πρεσβυτέροις, ὅτι μηδὲ προσφέρειν τοῖς διακόνοις τὴν ἀναίμακτον ἐφεῖται θυσίαν, μήτε μὴν πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας αὐτοὺς ἅπτεσθαι, ὑπηρετῶν γὰρ τάξιν πληροῦσι πρὸς τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους· διὸ καὶ μετὰ τούτους τοῖς θείοις δώροις δεῖ προσιέναι, ἐκείνων αὐτοῖς μεταδιδόντων· οὐ μὴν, οὐδὲ τοῦ ἱεροῦ βήματος ἔνδον, μέσον τῶν ἱερέων τοὺς διακόνους ἐπιτρέπει καθίζειν· τὸν δὲ μὴ ὑπείκοντα, παύεσθαι τῆς διακονίας κελεύει· ἀλλ' ἐπὶ τῶν ἔξω τοῦ βήματος συνόδων, ὁρῶμεν πολὺ πρὸ τῶν ἱερέων καθημένους τοὺς ἔχοντας ὀφφίκια διακόνους, μηδὲν ὅλως οἶμαι προσῆκον αὐτοῖς.

Περὶ τῆς τοῦ χαρτοφύλακος τιμῆς.

Μόνῳ γὰρ τῷ χαρτοφύλακι δέδοται τῆς μεγάλης Ἐκκλησίας, καὶ ἐξ ἔθους μακροῦ, καὶ ἐξ ἐπιτάγματος ἐγγράφου τοῦ ἀοιδίμου βασιλέως Μανουὴλ 1), καὶ τῶν ἀρχιερέων, ἐν ταῖς ἔξω προκαθῆσθαι συνόδοις 2).

Συνόδου ἕκτης ζ΄.

Ὁ δὲ ζ΄. τῆς ς΄. Συνόδου, Ὅστις τῶν διακόνων ἐκτὸς τοῦ βήματος μετὰ πρεσβυτέρων καθήμενος, οὐ στέργει τὴν ὑφεδρίαν, ἀλλὰ τῆς προεδρίας μεταποιεῖται, τῆς θείας φωνῆς κατολιγωρῶν, ὅτι Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται 3), οὐ καθαιρεῖσθαι ἀλλὰ ὑποβιβάζεσθαι τοῦτον τῆς τοῦ ἰδίου ὀφφικίου κελεύει τι-

1) ἴσως, Ἀλεξίου.— 2) Σύντ. Τόμ. Β΄. σελ. 156. — 3) Ματθ. ΚΓ΄. 12.

μῆς· ἀποσταλεὶς δὲ πρὸς τοῦ οἰκείου ἀρχιερέως εἴς τινα πόλιν τὸν ἐκείνου τόπον ἀναπληρώσων, καὶ τὴν ἐκείνου δήπου καθέξει καθέδραν. Τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων γίνεσθαι δέον, ὥστε μή τινα κοσμικῷ θαῤῥοῦντα ἀξιώματι, ἢ ἐκκλησιαστικῷ ὀφφικίῳ, τοῦ μείζονος κατεπαίρεσθαι, τὸν ὑποδιάκονον τοῦ διακόνου τυχὸν, ἢ ἐκείνου τὸν ἀναγνώστην. Ὡς ἔστι δεινὸν, ἐν μὲν τοῖς κοσμικοῖς ἀξιώμασι μὴ ἐξεῖναι τῷ ἧττονα λαχόντι τιμὴν, τῶν ἐν τέλει προτετιμῆσθαι, ἡμᾶς δὲ χείρους ἐκείνων ὡς ἀτάκτους ἐν τοῖς πνευματικοῖς ἀξιώμασι φαίνεσθαι, τοῖς κρείττοσιν ἢ ἐκεῖνα.

Λαοδικείας κ'.

Τὰ αὐτὰ καὶ ὁ κ'. τῆς ἐν Λαοδικείᾳ διορίζεται, ἐπίπροσθεν πρεσβυτέρου διάκονον μὴ καθέζεσθαι, εἰ μὴ πρὸς αὐτοῦ κελευσθείη· τὴν δὲ αὐτὴν ἔχειν τιμὴν καὶ τοὺς ὑποδιακόνους ὑπὸ τῶν ὑπηρετῶν καὶ λοιπῶν κληρικῶν. Ζήτει καὶ ἐν τῷ ζ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα κϐ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ διγάμων.

Ζήτει τὸ δ'. Κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πῶς δεῖ διδάσκειν τὸν λαὸν τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους.

Ἀποστόλων νή.

Ὁ νή. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἐπισκόποις καὶ πρεσβυτέροις διδάσκειν ἐπισκήπτει τοὺς ὑπὸ χεῖρα, τὰ πρὸς ὀρθοδοξίαν καὶ σεμνὸν βίον ῥυθμίζοντα δόγματα· τούτοις ὁ Θεὸς δι' Ἰεζεκιὴλ βοᾷ τοῦ προφήτου· Εἰ μὴ διαστείλῃ μηδὲ λαλήσῃς, ἀποθανεῖται μὲν ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητηθήσεται 1). Παῦλος δὲ ὁ μέγας,

1) Ἰεζεκ. Γ', 20.

μὴ ὅτι τὸν ἐπίσκοπον, ἀλλὰ καὶ τὸν πρεσβύτερον νηφάλιον εἶναι κελεύει, ἐγρηγορότα δηλαδή, καὶ μὴ ἀνειμένον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, καὶ δυνατὸν παρακαλεῖν τὸν λαὸν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν 1)· ἐπίσκοπος γὰρ ὠνόμασαι, παρὰ τὸ σκοπεῖν ἀκριβῶς ὡς ἐξ ἀπόπτου καὶ μετεώρου τὰ τοῦ λαοῦ· ταύτη τοι κἀν τοῖς ἀδύτοις τοῦ ἱεροῦ ἡ καθέδρα συμβολικῶς ἐφ' ὕψους ἵδρυται τῷ ἀρχιερεῖ, καὶ τοῖς πρεσβυτέροις ἐνταῦθα συνεστᾶναι τούτῳ καὶ συγκαθῆσθαι δέδοται· κοινὸν γὰρ ἔργον ἀμφοῖν ἡ τοῦ δήμου πρὸς τὸ κρεῖττον ἐπίδοσις· τοὺς δὲ περὶ τὴν τοῦ λαοῦ διδασκαλίαν ὀλιγώρως διακειμένους ἀφορίζεσθαι· ἐπιμένοντας δὲ τῇ ἀμελείᾳ, καὶ καθαιρέσει κελεύει ἐπιτιμᾶν 2).

Ταῦτα καὶ ὁ ιθ'. τῆς ς'. Συνόδου κανὼν παρεγγυᾶται, ὃν καὶ ζήτει ἐν τῷ ιά. Κεφ. τοῦ Β στοιχείου.

Καρθαγένης ρκά, ρκγ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ρκά, Τοῖς κατολιγωροῦσι, φησὶ, τῶν οἰκείων ποιμνίων ἐπισκόποις, καὶ μὴ διδάσκουσι τὰ σωτήρια, παρεγγυᾶσθαι δεῖ πρὸς τῶν πλησιοχώρων, μεθεμένοις τὰ τῆς ῥᾳστώνης, τῆς προσηκούσης γενέσθαι σπουδῆς· ἐξήκοντος δὲ καιροῦ μηνῶν ἓξ, καὶ μετὰ ῥᾳστώνης ἔτι βιούντων, τῷ ἔγγιστα ἐπισκόπῳ τὴν χώραν καὶ τὸν λαὸν προσανατιθέναι, τῷ δυναμένῳ τε καὶ προθυμουμένῳ τῇ διδαχῇ τούτους πρὸς τὸ κρεῖττον ῥυθμίζειν· εἰ δὲ καὶ δι' οἰκονομίαν τινὰ τὴν σιγὴν αἱρεῖσθαί φησιν, ὡς ἂν οὕτω μᾶλλον ἐνίους τῶν αἱρετικῶν ἐφελκύσηται, καὶ μὴ πρὸς ἀπείθειαν ἐρεθίσῃ, τρεῖς τῶν ἐπισκόπων ἐκλέγεσθαι παρὰ τοῦ τῆς ἐπαρχίας πρωτεύοντος, εἰς τὴν περὶ τούτου ἐπίκρισιν· καὶ εἰ ταῦθ' οὕτως ἔχειν δειχθείη, πρὸς αὐτὸν αὖθις τὴν χώραν ἐπαναστρέφεσθαι.

Ὁ δὲ ρκγ'. καὶ τῆς τῶν λοιπῶν κοινωνίας τὸν ἀμελῶς διακείμενον ἐξοστρακίζει, μετὰ τὴν τῶν ἓξ μηνῶν παραδρομὴν, εἰ μὴ πιστοῖς, ἀλλὰ δὴ καὶ ἀπίστοις τὰ ὑγιᾶ τῶν δογμάτων ἐνηχοίη, καὶ ὁσημέραι διαμαρτύροιτο, ὅπως τὰ τῆς ἀληθείας

1) Τιτ. Β', 2. — 2) καθαιρέσεως τιμᾶν Β. ε.

ἔχει, εἰ μήπου ἢ νόσῳ κατείληπτο, ἢ μείζοσι τῆς Ἐκκλησίας ὑποθέσεσιν ἐνησχόλητο, ἢ ὁ ταῦτα διεκδικῶν ἄρχων ἀπῆν.

Συνόδου ἕκτης ξδ'.

Ὁ δὲ ξδ'. τῆς ς'. Συνόδου, Τῷ δημοσίᾳ διδάσκοντι λαϊκῷ τὰ περὶ τῆς πίστεως δόγματα, καὶ μὴ τὸ οὗς ἐπέχοντι μᾶλλον τοῖς τῇ θείᾳ ψήφῳ διδασκαλεῖον ἐπ' Ἐκκλησίας ἀνοιξαμένοις, εἰ καὶ ἐπ' ἄκρον ἁπάσης ἐληλάκει σοφίας, ἀφορισμὸν εἰς μ'. ἡμέρας ἐπιτιμᾶται· ἰδίᾳ δέ τις ἀποκρίνασθαι τοῖς πυνθανομένοις οὐ κωλυθήσεται.

Νόμος.

Μηδεὶς κληρικὸς, ἢ μοναχὸς, ἢ στρατευόμενος, ἢ οἱοσδήποτε πληθὺν συνάγων, δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω· ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι Σύνοδον, τὴν δεόντως πάντα διατυπώσασαν, ὥστε, εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται, εἰ δὲ στρατευόμενος, τῆς στρατείας· οἱ δὲ λοιποὶ κατὰ τὴν οἰκείαν τύχην τιμωρηθήσονται 1).

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ δικαιοσύνης.

Δικαιοσύνη ἐστὶ, σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον 2).

Ἴδια δικαιοσύνης, τὸ κοσμίως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν 3).

Σοφία δικαιοσύνης, τὸ εἰδέναι τὰ θεῖα, καὶ τὰ ἀνθρώπινα πράγματα, καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον 4).

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Περὶ δικαστηρίων καὶ τῶν δίκας ἐχόντων κληρικῶν τε καὶ λαϊκῶν.

Σαρδικῆς γ'.

Ἀλλ' ὁ μὲν θεῖος Ἀπόστολος, Κορινθίοις ἐπιστέλλων, φησί·

1) δ'. Βασ. Α'. ά. 2) ί. Βασ. Β'. ά. — 3) αὐτόθι. — 4) αὐτόθι.

Ὅλως ἥττημα ὑμῖν ἐστι, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν 1). Ὅμως γε μὴν ὁ τῆς ἐν Σαρδικῇ Συνόδου τρίτος κανών, Εἰ δίκην σχοῖεν πρὸς ἀλλήλους ἐπίσκοποι δύο, φησίν, οἱ τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοποι καλῶς αὐτοῖς δικαζέτωσαν, καὶ μὴ ἐξ ἑτέρας τολμάτω τις αὐτῶν ἐπίσκοπον μεταπέμπεσθαι, δόξει γὰρ ὡς ἀμαθῶν ἢ ἀδίκων τῶν ἰδίων δήπου καταγινώσκειν· τοῦ δὲ πρὸς τούτων καταδικασθέντος, καὶ αὖθις ἀδικεῖσθαι διατεινομένου, τῷ Πάπᾳ καὶ ἀμφοτέρους οἱ τῆς ἐπαρχίας πεμπέτωσαν, γράψαντες καὶ τὰ κατ' αὐτούς· καὶ ἐπ' αὐτῷ κείσεται, ἢ τὰ τῆς ὑποθέσεως αὖθις κρίσει δοθῆναι, ἢ τὰ ἐψηφισμένα βέβαια μένειν,

Καρθαγένης ρζ'.

Ὁ δὲ ρζ'. τῆς ἐν Καρθαγένῃ, ἕνα ἐπίσκοπον δυσὶ δικάζειν ἐπισκόποις, δίκην ἔχουσι πρὸς ἀλλήλους, οὐκ ἐπιτρέπει· ἀλλ' οὐδὲ κληρικῷ, δίκην ἔχοντι μετὰ ἐπισκόπου.

Συνόδου τετάρτης ιζ'.

Ὁ δὲ ιζ'. τῆς δ'. Συνόδου, τὰς παροικίας ἀναφαιρέτους διαμένειν κελεύει παρὰ τοῖς ἔχουσιν αὐτὰς ἐπισκόποις, εἴτε ἀγροικικαὶ εἶεν, ἐν ἐσχατιαῖς δηλαδὴ κείμεναι, καὶ ὑπὸ ὀλίγων οἰκούμεναι, εἴτε ἐγχώριοι, ὡς ἀγροῖς καὶ κώμαις πλησιάζουσαι, καὶ πολυανθρωπίᾳ βρύουσαι 2)· καὶ μάλιστα εἰ τριακονταετεῖ χρόνῳ ταύτας κατέσχον καὶ ᾠκονόμησαν, μή τινας βιασάμενοι, ἢ τινων παρασπάσαντες· εἰ δέ που τοῦ χρόνου τούτου ἐντὸς, ἕτερος ἐπίσκοπος περί τινος παροικίας ἀμφισβητήσειε, παρὰ τῇ Συνόδῳ τῆς ἐπαρχίας τὴν ἀμφισβήτησιν λύεσθαι. Εἰ δέ τις τῶν ἐπισκόπων ἀδικεῖσθαι νομίζει πρὸς τοῦ οἰκείου μητροπολίτου, ἐξεῖναι τούτῳ δικάζεσθαι ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ παρὰ τῷ θρόνῳ Κωνσταντινουπόλεως, εἴπερ δηλαδὴ τούτῳ ὑπόκεινται· οὐ γάρ πάντων οὗτος κάθηται 3) δικαστής· ἐπείπερ τοὺς τῆς Συρίας, τῷ τῆς Ἀντιοχείας ὑποκεῖσθαι νενόμισται, τοὺς δὲ τῆς Παλαιστίνης, τῷ Ἱεροσολύμων, τοὺς δὲ τῆς Αἰγύπτου, τῷ Ἀλεξανδρείας.

Τὰ αὐτὰ καὶ ὁ κέ. τῆς ς'. Συνόδου διέξεισιν.

---

1) ά. Κορ. ς', 7. — 2) βρίθουσαι Β. — 3) καθίσταται Β.

Καρθαγένης ρκά.

Ὁ δὲ ρκά. τῆς ἐν Καρθαγένῃ, Οὐ δεῖ, φησὶ, δυναστείᾳ χρώμενον τὸν ἐπίσκοπον, χώρας ἐπιδράττεσθαι, ὑφ' ἑτέρου ἔτι κατεχομένης, ὡς αὐτῷ δῆθεν διαφερούσης, καὶ βουλομένου καὶ μὴ τοῦ ἐνταῦθα λαοῦ, τῇ δὲ τῶν ἐπισκόπων κρίσει τοῦτο ἀνατιθέναι, καὶ παρ' αὐτῆς ἀπολήψεσθαι προσδοκᾷν τὸ οἰκεῖον· αὐτεκδίκητος δὲ γενόμενος, δίκαιος ἂν εἴη τοῦ ἰδίου στέρεσθαι δικαίου, ζημιούμενος τὸ ἀφαιρεθὲν δυναστείᾳ· οὐ μὴν ἀλλὰ καὶ ὁ μετὰ τὴν εἰσαγωγὴν τῆς κρίσεως τὸ πέρας τῆς ψήφου μὴ ἀναμείνας, τὴν χώραν ἁρπάσαι πειραθεὶς, εἰ καὶ γράμματα εἰληφέναι τοῦ τῆς ἐπαρχίας μητροπολίτου προβάλλεται, τὴν τοῦ τόπου κατάσχεσιν ἐπιτρέποντα, τοῦ δικαίου ἐκπίπτει, εἰ μὴ αὐτοῦ λάβοι γράμματα τοῦ τηνικαῦτα κατέχοντος τὸν λαὸν, δι' ὧν φανήσεται εἰρηνικῶς κατασχὼν μετὰ τῆς ἐκείνου γνώμης τὴν ἀληθῶς αὐτῷ διαφέρουσαν χώραν. Κριτὰς δὲ ἡ δ τὰ πρῶτα φέρων τῆς ἐπαρχίας ἐκλέξεται, ἢ οὓς ἂν ἄμφω οἱ ἀντίδικοι συμφωνήσαντες ἕλωνται, ὡς ἂν τὰς παρ' ἑκατέρων ἀλλήλοις ἐπαγομένας αἰτίας ἀκριβῶς βασανίσαντες διαλύσωνται· πλημμελῶς δέ τινος ἐπισκόπου τὰ τῆς Ἐκκλησίας αὐτοῦ διοικήσαντος, καὶ ἑτέροις τὰς ἰδίας ἐνορίας παραχωρήσαντος, εἰ καὶ γράμματα προύβησαν, οὐκ ἀποκλεισθήσεται ὁ μετὰ τοῦτον χειροτονησάμενος, ἀναζητεῖν τῆς ἑαυτοῦ Ἐκκλησίας τὰ δίκαια, κἂν εἰ πολὺς ὁ μεταξὺ παρελθὼν εἴη χρόνος. Ζήτει καὶ ἐν τῷ λδ'. Κεφ. τοῦ Ε στοιχείου, κανόνα ί. τοῦ μεγάλου Βασιλείου.

Συνόδου τετάρτης θ'.

Ὁ δὲ θ'. τῆς δ'. Συνόδου, Τοὺς κληρικοὺς ἐπισκήπτει καὶ μοναχοὺς, πράγματα πρὸς ἀλλήλους καὶ δίκας ἔχοντας, πρὸς τοῦ ἰδίου ἐπισκόπου κρίνεσθαι, χαίρειν ἐῶντας τὰ κοσμικὰ δικαστήρια, ὡς ὅ γε τούτοις προστρέχων περὶ ἐλαχίστου τιθέναι καὶ ὑβρίζειν δοκεῖ τὸν ἴδιον ποιμένα· ἀλλ' ἔσθ' ὅπη τῇ ἐκείνου γνώμῃ ἑφεῖται τοὺς τοιούτους δικάσασθαι, καὶ παρ' οἷς ἄμφω τὰ ἀντίθετα μέρη ἀρέσκεται· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, ἐπιτιμίοις ὑποκεῖσθαι κανονικοῖς· εἰ δὲ πρὸς τὸν ἴδιον ἐπίσκοπον ὁ κληρικὸς ἔχει τὴν δίκην, οἱ τῆς ἐπαρχίας ἐπίσκοποι τούτους

φησὶ, δικαζέτωσαν. Εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἔχει τὴν ἀμφισβήτησιν, ὁ τῆς διοικήσεως ἔξαρχος ἢ ὁ τῆς βασιλευούσης πατριάρχης δικαζέτω· διοίκησις δὲ λέγεται ἡ ἐπαρχίας πολλὰς περιέχουσα. Τὸ δὲ τῶν ἐξάρχων προνόμιον, τὸ νῦν ἔχον οὐκ ἐνεργεῖ· εἰ γὰρ καὶ λέγονταί τινες τῶν μητροπολιτῶν ἔξαρχοι, ἀλλὰ τοὺς ἐν ταῖς διοικήσεσιν ἑτέρους μητροπολίτας οὐκ ἔχουσιν ὅλως ὑποκειμένους αὐτοῖς.

Καρθαγένης ιέ. κή. ρκέ. ρϑ'. Λ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ιέ, ἱερωμένοις ἅπασι καὶ μοναχοῖς, ἐνάγουσι καὶ ἐναγομένοις, τὸ τῆς Ἐκκλησίας ἀνοίγει δικαστήριον, εἴτε ἐγκλήματα, εἴτε χρήματα τὸ ζητούμενον εἴη. Ἂν δέ τις τούτων πολιτικὸν ἕλληται δικαστήριον, ἐκείνου καταφρονήσας, παρ' αὐτό γε ταῦτο, φησὶ, τοῦ ἰδίου ἐκπεσεῖται βαθμοῦ, καὶ εἰ ἀθῷος ἐν τούτῳ δειχθείη τῶν ἐγκλημάτων ἢ τῆς χρηματικῆς ἀγωγῆς· ἐπισκόπων δὲ ἐπί τινι κρίσει ψηφισαμένων, καὶ ἔκκλητον 1) κατ' αὐτῶν γενέσθαι δεῆσαν, ἥτις ἐπὶ μείζονας κριτὰς εἴωθε γίνεσθαι, μητροπολίτας τυχὸν ἢ πατριάρχας, καὶ τῆς ὑποθέσεως βασάνῳ δοθείσης, καὶ τῆς τῶν προλαβόντων κριτῶν ψήφου ἀνατραπείσης, οὐ δεῖ βλάπτεσθαι τοὺς πρώην ἀποφηναμένους, εἰ μήπου ἢ δωροδοκηθέντες ἐλεγχθεῖεν, ἢ δι' ἔχθραν θατέρου καταψηφισάμενοι μέρους, ἢ προσπαθῶς καὶ φιλίως πρὸς τὸν ἀδικήσαντα διακείμενοι· εἰ δὲ ἄμφω δήπου τὰ μέρη δικαστὰς ἕλοιντο, εἰ καὶ ἐλάττονες εἶεν τῶν ἐν ἄλλοις ὁρισθέντων, δώδεκα δηλαδὴ ἐπὶ ἐπισκόπων, καὶ ἓξ ἐπὶ πρεσβυτέρων, καὶ τριῶν ἐπὶ διακόνων, ὁ καταδικασθεὶς ὑπ' ἐκείνων οὐ δύναται ζητεῖν ἔκκλητον· οὐ δεῖ δὲ κληρικοὺς ὄντας, πολιτικοὺς αἱρεῖσθαι, ἀλλὰ τῆς Ἐκκλησίας δικαστὰς, ἵνα μὴ κανονικαῖς ὑποβληθῶσιν εὐθύναις.

Ὁ δὲ κή. πρὸς δέ καὶ ὁ ρκέ, Τοῖς κληρικοῖς αἰτιωμένοις τὴν τοῦ ἰδίου ἐπισκόπου ἀπόφασιν, ὡς ἂν μὴ δικαίως ἐξενεχθεῖσαν, τοὺς ἐκ γειτόνων ἐπισκόπους κριτὰς κελεύει καθίζειν, θελήσει

1) ἔγκλητον 1375—ἐκκλήτου γενομένης B.

τοῦ ἤδη κρίναντος ἐπισκόπου· εἰ δὲ καὶ μετὰ τούτους ἔφεσιν αἰτοῦσιν οἱ δικαζόμενοι, πρὸς τὸν τῆς ἐπαρχίας ἀπιέναι μητροπολίτην· εἰ δὲ πέραν τῆς θαλάσσης πρὸς ἄλλας ἐπαρχίας ἀπίοιεν ἀφορίζεσθαι, τῶν ἐν Ἀφρικῇ εἰς κοινωνίαν αὐτοὺς μὴ προσιεμένων. Ἐντεῦθεν δείκνυται μὴ ἐξεῖναι τῷ Ῥώμης 1), πάσας τὰς Ἐκκλησίας ἐπιτηρεῖν· εἰ γὰρ τὰς ἐν Ἀφρικῇ τηρεῖν οὐ δίδωσιν ὁ κανών, πέραν τῆς θαλάσσης πρὸς τὴν Ῥώμην διακειμένας, σχολῇ γ' ἂν καθ' ἑτέρων χωρῶν τὸ τοιοῦτον δίκαιον σχοίη.

Ὁ δὲ ρδ΄. καθαιρεῖ τοὺς προσιόντας ἱερωμένους τῷ βασιλεῖ, καὶ αἰτοῦντας πολιτικοὺς δικαστὰς, τὰ τῆς ὑποθέσεως αὐτῶν ἐξετάσαι, τὸ τῆς Ἐκκλησίας παραιτουμένους δικαστήριον· ἐπισκόπων μέντοι δικαστήριον παρὰ βασιλέως αἰτοῦντας οὐκ ἐπιπλήττει.

Ὁ δὲ λ΄, Ἐὰν δύο, φησὶ, δικάζωνται, ὧν ἕτερος, ἐν ᾧ τὸ δικαστήριον συνίσταται τόπῳ, τὴν ἐξέτασιν παραιτεῖται, ὑπειδόμενος ἴσως τὴν τοῦ λαοῦ ἐπανάστασιν, τῷ ἀντιδίκῳ αὐτοῦ προσκειμένου 2), ὡς ἐκεῖ παραδυναστεύοντος 3), ἢ καὶ μάρτυρας οὐκ ἐῶντος παραγαγεῖν, ἐφεῖται τούτῳ τόπον ἐπιλέξασθαι ἕτερον, κἀκεῖ τὰ τῆς δίκης ἐξετασθῆναι, ἔγγιστα μέντοι διακείμενον, ἵνα μὴ δυσχερὴς τοῖς κριταῖς ἡ ἐκεῖσε εἴη ἀποδημία, τῷ τε ἀντιδίκῳ καὶ τῇ τῶν μαρτύρων προσέτι παραγωγῇ.

Νόμος.

Ἡ ρκγ΄. Ἰουστινιάνειος νεκρὰ, Εἰ δέ τινες, φησὶ, ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς Συνόδου, ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῶν τῆς αὐτῆς Συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω· κἂν μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης τῆς διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκραάσθω, κἀκεῖνα ὁριζέτω, ἅτινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ νόμοις συνάδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου 4)· οὐ γὰρ καὶ ἐκκλήτῳ αἱ τῶν πατριαρχῶν ὑπόκεινται ψῆφοι.

1) τῷ Ῥώμης Ἅπα Β. — 2) προσκειμένων 1375. — 3) 1375—παραδυναστεύοντι 1340. — 4) Ν. ρκγ΄. κεφ. κδ΄.

Εἰ δέ τις τῶν παρὰ τοῖς ἐπισκόποις δικαζομένων, ἐντὸς δέκα ἡμερῶν ἀντείπῃ τοῖς κεκριμένοις, τηνικαῦτα ὁ τῶν τόπων ἄρχων τὸ πρᾶγμα ἐξεταζέτω, καὶ ἢ βεβαιούτω τὴν ψῆφον, ἢ ἐκβιβαζέτω, καὶ μὴ ἐξέστω τῷ δεύτερον ἐν τῷ τοιούτῳ πράγματι ἡττηθέντι ἐκκαλεῖσθαι. Ἐναντίως δὲ τοῦ ἄρχοντος τοῦ ἐπισκόπου ψηφιζομένου, ἡ τοῦ ἄρχοντος ψῆφος ὑπόκειται ἐκκλήτῳ, καὶ κατὰ τὸν νόμον ἀναφέρεται καὶ γυμνάζεται· εἰ μέντοι γε ἐκ βασιλικῆς κελεύσεως ἢ δικαστικῆς προστάξεως ἐπίσκοπος κρίνει, ἡ ἔκκλητος ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναφερέσθω· εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ πρᾶγμα, μηδεμίαν κοινωνίαν ἐχέτωσαν οἱ πολιτικοὶ ἄρχοντες πρὸς τὴν τοιαύτην ὑπόθεσιν, ἀλλ' οἱ ὁσιώτατοι ἐπίσκοποι κατὰ τοὺς ἱεροὺς κανόνας τῷ πράγματι πέρας ἐπιτιθέτωσαν 1).

Τὸ αὐτοκρατορικὸν καὶ βασιλικὸν κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑφ' ἑτέρου, ἀλλ' ὑφ' ἑαυτοῦ ἀεὶ ἐπανακρίνεται, καθὰ καὶ ὁ θεόπτης Μωϋσῆς νομοθετῶν, Ἐπανακρινεῖς τὰς κρίσεις σου 2), διηγόρευσεν.

Τὸ τοῦ πατριάρχου κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑφ' ἑτέρου, ὡς ἀρχὴ καὶ αὐτὸ τῶν ἐκκλησιαστικῶν κριτηρίων· ἐξ αὐτοῦ γὰρ πάντα τὰ ἐκκλησιαστικὰ κριτήρια, καὶ εἰς αὐτὸ ἀναλύει, καὶ ἀναστρέφεται, αὐτὸ δὲ οὔτε ἔκτινος, οὔτε πρὸς ἕτερον· τοιοῦτον γὰρ ἡ ἀρχή· ἐπανακρίνεται δὲ πνευματικῶς καὶ αὐτὸ ὑφ' ἑαυτοῦ 3). Ζήτει καὶ τὸ ἡ. Κεφ. τοῦ ΙΙ στοιχείου.

Οὐδένα τῶν τοῖς ἐκκλησιαστικοῖς τελούντων βαθμοῖς ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἁπλῶς τινα τοῦ καταλόγου τοῦ ἱερατικοῦ, ἄκοντα ἢ ἑκόντα, κριτηρίοις κοσμικοῖς παρίστασθαι ἀνεχόμεθα· εἰ γὰρ ἄκοντά τις ἀπαγαγών τινα τῶν ἐκκλησιαστικῶν κοσμικῷ κριτηρίῳ παραστῆναι βιάσηται, παρὰ τῆς ἡμετέρας γαληνότητος τὴν πρέπουσαν παίδευσιν δέξεται· εἰ δὲ ἑκὼν ὁ ἱερατικὸς τῷ κοσμικῷ κριτηρίῳ παράσταιη, ἢ καὶ αὐτὸς πρῶτος τὴν ἐκεῖθεν κρίσιν τοῦ ἐκκλησιαστικοῦ κριτηρίου προτιμήσαιτο, οὗτος κἂν ἐκεῖθεν νομίσῃ τὸ δίκαιον λαβεῖν, ὑπὸ τῶν

1) Νεαρ. ρκγ'. κ. κά. — 2) 3) ἐπαναγωγῆς ΙΑ. έ. καὶ ς'.

ἱερῶν κανόνων καταδικάζεται· ποῦ γὰρ ἄξιος τυχεῖν ὧν ζητεῖ ὁ τὴν ἀρχὴν τοῦ ἀγῶνος ἀπὸ τῆς τῶν θείων θεσμῶν καταβαλλόμενος ὕβρεως 1).

Ἀλλὰ καὶ ἡ τῶν βασιλέων Ἡρακλείου καὶ Κωνσταντίνου νεαρὰ, μήτε ἐπίσκοπον διορίζεται, μήτε κληρικὸν, μήτε μοναχὸν, χρηματικῆς ἢ ἐγκληματικῆς χάριν αἰτίας παρὰ πολιτικῷ ἢ στρατιωτικῷ ἀνάγεσθαι ἄρχοντι, ἀλλὰ παρὰ μόνοις τοῖς ἰδίοις ἐπισκόποις, ἢ μητροπολίταις, ἢ πατριάρχαις 2).

Ἡ δὲ τοῦ Βασιλέως Ἀλεξίου, Εἰ μερισμὸς, φησὶ, ἐν τοῖς διαμαχομένοις ἐστὶ, καὶ ὁ μὲν τῆς κοσμικῆς φαίνεται καταστάσεως, ὁ δὲ τῷ θείῳ κλήρῳ ἐγκατείλεκται, ὁ ἐνάγων τηνικαῦτα τῷ φόρῳ τοῦ ἐναγομένου ἐκ παντὸς ὑποκείσεται, καὶ ἕκαστος εἰς τὸ πρόσφορον ἀπελεύσεται δικαστήριον 3).

Τοὺς ἔκκλητον ἔχοντας δικαστὰς μείζονας εἶναι δεῖ τῶν ἐξ ἀρχῆς δικασάντων 4).

Πᾶσα ἀγωγὴ ἀρμόζουσα σεπτῷ οἴκῳ εἰς τεσσαρακονταετίαν ἐκτείνεται· ἀντὶ γὰρ χρονίων παραγραφῶν τῶν ι. καὶ κ΄. καὶ λ΄. ἐνιαυτῶν, ταῖς ἁγίαις Ἐκκλησίαις καὶ τοῖς ἄλλοις ἅπασι σεβασμίοις τόποις, μόνην τὴν τῶν μ΄. ἐτῶν παραγραφὴν ἀνατίθεσθαι προστάττομεν· τούτου αὐτοῦ φυλαττομένου, καὶ ἐπὶ τῇ ἀπαιτήσει τῶν λεγάτων καὶ τῶν κληρονομιῶν, τῶν εἰς ἀσεβεῖς αἰτίας καταλελειμμένων Ζήτει καὶ ἐν τῷ ἡ. Κεφ. τοῦ Μ στοιχείου 5).

Μονάστριαν ἢ ἀσκήτριαν δι' οὐδεμίαν ἀγωγὴν συγχωροῦμεν ἀφέλκεσθαι ἐκ τῶν ἰδίων μοναστηρίων 6).

Πᾶσα ὑπόθεσις, χωρὶς τῶν μὴ ἐπιδεχομένων ὑπέρθεσιν, ἐκκλήτῳ ὑπόκειται οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς 7).

Κελεύοντος ἄρχοντος, δικαίως νεμόμεθα, ὁ δὲ ἀνάρχως τὸ ἴδιον ἀφελόμενος, ἐκπίπτει αὐτοῦ.

Τὰ κακῶς κριθέντα καὶ τυπωθέντα, οὔτε χρόνος, οὔτε νόμος, οὔτε συνήθεια βεβαιοῖ.

Θεσπίζομεν μηδενὶ ἐξεῖναι, τοῦ τελευτήσαντος τοὺς γονεῖς, ἢ τὴν γυναῖκα, ἢ τοὺς κληρονόμους, ἢ τοὺς ἐγγυητὰς, πρὸ τῆς

1) Ἐπαναγ. ΙΑ. ιά.—2) Τόμ. Ἑ. Συντ. σελ. 225. — 3) Σύντ. Α. σελ. 165. — 4) λθ΄. Βασ. Θ΄. ά. — 5) Νεαρ. ρκγ΄. κά. — 6) μά. Βασ. Θ΄. ά.—7) Ἀρμ. Β΄. ά. ξδ΄.

τῶν ἐννέα ἡμερῶν προθεσμίας τοῦ πένθους, αἰτιᾶσθαι ἢ παρενοχλεῖν, ἢ εἰς δικαστήριον ἕλκειν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου, εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα· εἰ δὲ ἐντὸς τῶν ἐννέα ἡμερῶν τολμήσει τινὰ ὁμολογίαν, ἢ ὑπόσχεσιν, ἢ ἐγγύην παρ' αὐτοῦ κομίσασθαι, ταῦτα πάντα ἀνίσχυρα εἶναι θεσπίζομεν· οὐ μὴν ἀλλὰ καὶ τοῦ χρέους καὶ τῆς ἀγωγῆς παντελῶς τοὺς ἐνάγοντας ἀλλοτριοῦσθαι. Εἰ δέ τις συκοφαντῶν ἐλεγχθείη τὸν ἀποιχόμενον, ὅσον παρ' ἐκείνου ἀπήτει, τοσοῦτον καταβαλλέσθω τοῖς κληρονόμοις ἐκείνου· μετὰ δὲ τὴν τῶν ἐννέα παρέλευσιν ἡμερῶν, εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγάς, ταύτας κατὰ τοὺς νόμους ἐγγυμναζέτω 1).

Περὶ δικαστῶν αἱρετῶν.

Καρθαγένης ις', ρκβ'.

Ὁ ις'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανών, Ἐὰν ἐπιλέξηταί, φησιν, ὁ ἐκκαλεσάμενος δικαστάς, καὶ μετ' αὐτοῦ κἀκεῖνος καθ' οὗ ἐξεκαλέσατο, τοῦ λοιποῦ ἀπὸ τούτων μηδενὶ ἐξέστω ἐκκαλεῖσθαι· ἐὰν γὰρ κατὰ κοινὴν γνώμην οἱ δίκην ἔχοντες πρὸς ἀλλήλους ἕλωνται δικαστάς, οὐκ ἐξέσται τούτοις κατὰ τῆς ἐξενεχθείσης παρ' αὐτῶν ἐκκαλεῖσθαι ψήφου.

Τὰ αὐτὰ καὶ ὁ ρκβ'. ψηφίζεται, καὶ τοὺς μὴ πειθομένους ἀφορίζεσθαι ἀξιοῖ.

Νόμοι.

Ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ Πραίτωρ 2).

Εἴτε δικαία, εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ δικαστοῦ ψῆφος, βεβαία μένει καθόλου 3).

Μὴ χρείαν ἐχέτω ἐκκλήτου ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις 4).

Τὸ αἱρετὸν δικαστήριον ἔοικε κυρίῳ δικαστηρίῳ, καὶ ἀνήκει πρὸς τὸ περατοῦσθαι τὰς δίκας. Οὐχ ἁρμόζει δὲ ἐξ αὐτοῦ παραγραφή, ἀλλὰ ποινῆς ἀπαίτησις 5).

---

1) 6'. Βασ. ΚΓ'. 6'. — 2) ιθ'. Βασ. Ζ. 6'. — 3) Θέμ. γ'. κζ'. αὐτόθι. — 4) νγ'. αὐτόθι. — 5) Ἀριμ. Α, δ'. 54.

Ἐὰν δύο ὦσιν αἱρετοὶ δικασταὶ, καὶ διχονοῶσιν, ἀναγκάζονται καὶ τρίτον τινὰ ἐπιλέξασθαι, καὶ τῇ αὐτοῦ ἐμμεῖναι δοκιμασίᾳ 1).

Οὐ γίνεται αἱρετὸς δικαστὴς μετὰ τῆς ἐξ ὅρκων ἀσφαλείας, ἀλλὰ μετὰ ποινῆς αὐτοὺς οἱ δικαζόμενοι ἐπιλεγέσθωσαν, καὶ ἀνάγκην ἐχέτωσαν ἢ ἐμμένειν τῇ ψήφῳ, ἢ τὸ πρόστιμον διδόναι, ὁπόσον ἂν τὰ μέρη ἀμφότερα συμφωνήσωσιν 2).

Εἰ μὴ ἔγκειται ποινὴ τῷ αἱρετῷ δικαστηρίῳ, ὁμολογήσει δέ τις ἐμμένειν τῇ ψήφῳ, ἐνάγεται ἀορίστως 3)· πληρέστατον δέ ἐστι τὸ μνημονεῦον τοῦ κεφαλαίου τοῦ δόλου.

ΚΕΦΑΛΑΙΟΝ Ή.

Περὶ τῶν δικαζομένων δι' οἰκεῖα ἐγκλήματα ἐπισκόπων καὶ κληρικῶν.

Ἀποστόλων οδ'.

Ὁ οδ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Τὸν κατηγορηθέντα ἐπίσκοπον πρὸς ἀνθρώπων ἀξιοπίστων, ἐπὶ τὸ τῆς Ἐκκλησίας ἀναγκαίως χρῆναι μετακαλεῖσθαί 4) φησι δικαστήριον, δύο ἐπισκόπων ἐπ' αὐτὸν στελλομένων· κἂν μὲν εὐθὺς ὑπακούσας παραγένηται, καὶ μὴ οἷός τε ὢν ἀποδύσασθαι τὰ ἐγκλήματα, ὁμολογήσῃ ἢ ἐλεγχθῇ, ὁρίζεσθαι τὸ προσῆκον αὐτῷ ἐπιτίμιον· μὴ ἀπαντήσαντος δὲ παραυτίκα, ἐκ τρίτου τὴν αὐτοῦ μετάκλησιν γίνεσθαι· εἰ δὲ καὶ οὕτως ἐπιμένει τῇ ἀπειθείᾳ, τὴν Σύνοδον τὰ δόξαντα κατ' αὐτοῦ ὁρίζεσθαι κατὰ τὴν ποιότητα τοῦ ἐγκλήματος, μηδὲν τῆς ἀπειθείας ἀπονομένου.

Καρθαγένης ιϐ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ιϐ', Τὸν ἐγκλήμασί, φησι, περιπεσόντα ἐπίσκοπον, ὑπὸ πάσης προσήκει κρίνεσθαι τῆς Συνόδου, εἰς ἣν ὁ τοιοῦτος τελεῖ δηλαδή· εἰ δὲ δυσχερὲς εἴη τοὺς πάντας ἢ τοὺς πλείονας συνελθεῖν, μὴ ἐλάττονας γοῦν εἶναι τῶν ιϐ'. οὕτω γὰρ

1) ιζ'. Βασ. Ζ. 6'. — 2) Ἀρμ. Α. δ'. 62. — 3) κζ'. Βασ. αὐτόθι. — 4) μετάπεμπτον γίνεσθαι 137ϋ.

πάσης περιαιρεθείσης ἀμφιβολίας, οὐ περιοπτέος ἔσται τοῖς ὑπὸ χεῖρα· τὸν δέ γε πρεσβύτερον, ἐξ κρίνουσιν ἐπίσκοποι, καὶ τρεῖς τὸν διάκονον· ἀσφαλέστερόν πως τὰς τῶν ἱερέων κρίσεις τῆς Συνόδου ταύτης γίνεσθαι προμηθουμένης, ὡς ὑστεριζούσης τῷ χρόνῳ πρὸς τὴν ἐν Ἀντιοχείᾳ, ἥπερ ἐν τῷ δ'. κανόνι, τὰς τῶν πρεσβυτέρων καὶ διακόνων καθαιρέσεις ὑφ' ἑνὸς ἐπισκόπου γίνεσθαι διορίζεται, ὑπὸ τῆς Συνόδου δὲ, τὰς τῶν ἐπισκόπων.

Πρᾶξις Συνοδική.

Ταύτη τοι καὶ ὁ ἁγιώτατος πατριάρχης Λουκᾶς, ἄκυρον ἡγήσατο τὴν τοῦ ἐπισκόπου Ἀμαθοῦντος Ἰωάννου καθαίρεσιν, ἣν ὁ ἀρχιεπίσκοπος ἐποιήσατο Κύπρου, ὅτι ἕνδεκα μόνοις συνὼν ἐπισκόποις, μὴ ἐπέκεινα ἦν αὐτὸς τῆς τῶν λοιπῶν δωδεκάδος.

Καρθαγένης ιδ'.

Καθὰ δὴ καὶ ὁ ιδ'. τῆς αὐτῆς ἐν Καρθαγένῃ διορίζεται· Ἐνδείας γὰρ οὔσης, φησὶν, ἐπισκόπων, ἔσθ' ὅτε καὶ ὑπὸ ἑ. κρίνεται ὁ πρεσβύτερος, καὶ ὑπὸ τριῶν ὁ διάκονος, τοῦ ἰδίου αὐτῶν ἐπισκόπου ἐπέκεινα τούτων προκαθεζομένου· ὥστε οἱ ἐφ' ἑαυτοὺς ἔχοντες τοὺς δικαζομένους, ἐκτὸς ὀφείλουσιν εἶναι τοῦ τεταγμένου ἀριθμοῦ τῶν συνδικαστῶν.

Ἀντιοχείας ιδ', ιε'.

Ὁ δὲ τῆς ἐν Ἀντιοχείᾳ ιδ'., Ἐπισκόπου, φησὶν, ἐπί τισιν ἐγκλήμασι κρινομένου πρὸς τῶν τῆς ἐπαρχίας ἐπισκόπων, καὶ πρὸς ἀλλήλους τούτων διαφωνούντων, τῶν μὲν, ἀθῶον, τῶν δὲ, ὑπαίτιον ἀποφαινομένων, δεῖ τὸν μητροπολίτην τῆς ἐπαρχίας ἐκείνης καὶ ἑτέρους ἐκ τῆς ὁμόρου μεταπέμπεσθαι χώρας, καὶ τὴν ἀμφισβήτησιν δι' ἐκείνων λύεσθαι τῆς τῶν πλειόνων ψήφου βεβαιωθείσης.

Ὁ δὲ ιέ, Εἰ δὲ πάντες, φησὶ, μίαν κατ' αὐτοῦ ψῆφον ἐξενέγκοιεν, μηκέτι παρ' ἑτέροις τοῦτον δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον ψῆφον τῶν τῆς ἐπαρχίας ἐπισκόπων.

Σαρδικῆς δ'. ε.

Οὗτος δὲ ἀνήρηται παρὰ τοῦ δ'. τῆς ἐν Σαρδικῇ, οὑτωσὶ διεξιόντος· Τοῦ κοινῇ ψήφῳ τῶν τῆς ἐπαρχίας ἐπισκόπων κα-

θαιρεθέντος, καὶ τῇ ψήφῳ μὴ ὑποκύπτοντος, ἀλλ' ἔτι ἀποδύσασθαι λέγοντος δύνασθαι τὰ ἐγκλήματα, μὴ πρότερον εἰς τὸν θρόνον αὐτοῦ χειροτονεῖσθαι ἕτερον, πρὶν ἂν ὁ Πάπας Ῥώμης μάθῃ τὰ τῆς ὑποθέσεως, ὅρον ἐξενέγκῃ, καὶ ἀποφήνηται ἢ κυρωθῆναι, ἢ ἀνατραπῆναι τὴν καταδίκην, τῆς δυτικῆς ὄντος ἐπαρχίας τοῦ ἐπισκόπου δηλαδὴ, ἥτις καὶ μόνη τῷ Ῥώμης ἀνεῖται, ἔνθα καὶ ἡ Σύνοδος αὕτη συνήθροιστο· καὶ διὰ γὰρ ἐκκαλεῖσθαι τῷ κρινομένῳ ἐφεῖται.

Ὁ δὲ ε', Καθαιρεθέντος, φησὶ, τοῦ ἐπισκόπου ψήφῳ κοινῇ τῶν τῆς ἐπαρχίας ἐπισκόπων, καὶ ἔκκλητον ἐπὶ τὸν Πάπαν ποιησαμένου, κἀκείνου ἑτέροις τῶν ἀστυγειτόνων ἐπισκόποις τὴν ἐξέτασιν τῆς δίκης διὰ γραφῆς ἐπιτρέψαντος, τοῦ δὲ καὶ ὑπὸ τούτων καταδικασθέντος, αὖθίς γε μὴν ἐπιζητοῦντος ἐξέτασιν, εἰ μὲν τὰ ἤδη κριθέντα ἀρκεῖν ὁ Πάπας νομίσει, τὸ κῦρος ἡ τῶν ἐπισκόπων ἐχέτω ἀπόφασις· εἰ δὲ καὶ αὖθις κριθῆναι τὸν ἐπίσκοπον δοκιμάσει, μὴ ἀναγκαζέσθω ὁ καταδικασθεὶς εἰς Ῥώμην ἀπιέναι, ἀλλὰ τὴν ἰδίαν ὁ Πάπας ἐξουσίαν πρεσβυτέροις τῶν οἰκειοτάτων αὐτῷ δεδωκὼς, καὶ πέμψας ἐκεῖσε μετὰ τῶν ἐγχωρίων ἐπισκόπων, τὰ τῆς ὑποθέσεως ἐξετασθῆναι κελευσάτω, καὶ οὕτω τελεία ἡ ἀπόφασις γενέσθω.

Καρθαγένης ιθ'.

Ὁ δὲ ιθ'. τῆς ἐν Καρθαγένῃ, Τὸν κατηγοροῦντα ἐπίσκοπον, παρὰ τῷ τῆς χώρας τὰ πρῶτα φέροντι, τὴν κατηγορίαν δεῖ, φησὶν, ἐνιστᾶν· ὁ δέ γε κατηγορούμενος πρὸ τῆς τελείας ἀποφάσεως τῆς ἰδίας τιμῆς οὐκ ἀποκλείεται· γράμμασι μέντοι κληθεὶς ἐπὶ τὸ δικαστήριον, εἰ μὴ ἀπαντήσειεν ἑνὸς παραῤῥυέντος μηνὸς, ἐξ ὅτου τὰ γράμματα ἐδέξατο, εἰς ποινὴν τῆς ἀπειθείας ἀφορίζεται, μὴ ἐξὸν αὐτῷ ἱερουργίας ἅψασθαι ὁπουδήποτε· εἰ δὲ ἀληθῶς ὑπὸ ἀναγκαίων αἰτιῶν δειχθείη κωλυόμενος, ἕτερος μὴν εἰς προθεσμίαν αὐτῷ δίδοται· ἐξήκοντος δὲ καὶ τούτου, ἂν μὴ ἀφίκηται, τῆς τῶν πιστῶν κοινωνίας ἐκβάλλεται, μέχρις ἂν τὰ κατ' αὐτοῦ λαληθέντα δέξηται πέρας. Μήτε δὲ πρὸς τὸν τῆς ἐπαρχίας ἔξαρχον, μήτε μὴν πρὸς τὴν ἐτησίως γενομένην Σύνοδον ἀφικέσθαι φροντίσας, αὐτὸς καθ' ἑαυτοῦ τὴν δίκην ἐξ-

ήνεγκεν, ὑποβληθεὶς καθαιρέσει. Ὁ μέντοι κατήγορος, τῷ δικαστηρίῳ ἐνδιατρίβων, τῆς κοινωνίας οὐκ εἴργεται· ὑποχωρήσας δὲ κατά τινα σκῆψιν, αὐτὸς μὲν ἀφορίζεται, ὁ γε μὴν ἐπίσκοπος τοῦ ἀφορισμοῦ ἀπολύεται· δείξας δὲ μὴ κατὰ σκῆψιν, ἀλλ' ἐξ αἰτίας εὐπροσώπου γενομένην τὴν ὑποχώρησιν, καὶ αὖθις τὴν ὑπόθεσιν κινεῖν οὐ κωλύεται. Εἰ δὲ διαβεβλημένος εἴη τοὺς τρόπους, κατηγορίαν μὲν τῆς ἱερωσύνης τοῦ ἐπισκόπου καθαπτομένην λέγειν οὐ συγχωρεῖται, ἰδίας δὲ καὶ χρηματικὰς κατ' αὐτοῦ κινεῖν ἀγωγὰς οὐ κωλύεται. Ἀλλ' οὐχ οὕτω τανῦν αἱ προθεσμίαι τῆς κλήσεως τῶν ἡμερῶν γίνονται.

Νόμος.

Κατὰ δέ γε τὴν νεκρὰν τοῦ ἀοιδίμου βασιλέως Μανουὴλ, διὰ τριῶν παραγγελμάτων τριακονθημέρων μετακαλοῦνται πάντες ἐνάγοντές τε καὶ ἐναγόμενοι, κἂν οἵας ὧσι καταστάσεως, κἂν οἵας ᾖ τὸ ἔγκλημα ὑποθέσεως 1).

Καρθαγένης πζ'.

Ἀλλ' οὐδ' ὁ πή. ἐπιτρέπει, τὸν ὑπὸ κατηγορίαν ἢ ἀφορισμὸν γενόμενον ἐπίσκοπον τῆς ἐπισκοπῆς ἐξωθεῖσθαι, ἕως ἂν τὸ κατ' αὐτοῦ λυθῇ δικαστήριον.

Πρώτης καὶ δευτέρας ις'.

Τὰ αὐτὰ καὶ ὁ ις'. τῆς λεγομένης α'. καὶ β'. Συνόδου κανὼν σαφῶς διατάττεται, μὴ χειροτονεῖσθαί τινα κελεύων εἰς Ἐκκλησίαν, ἧς ὁ ἐπίσκοπος ἔτι περιὼν, οὔπω τῆς ἰδίας τελέως ἀπεκινήθη τιμῆς, εἰ καὶ πρός τινων ἐπὶ ἐγκλήμασιν ἠτιάθη, καὶ μικροψυχήσας ἴσως παραίτησιν ἐποιήσατο· στάσεως γὰρ καὶ ταραχῆς αἴτιον τοῦτό γε. Δεῖ δὲ τοὺς τῆς Ἐκκλησίας, πᾶσάν γε φιλαπεχθημοσύνην μάλιστα περιίστασθαι, ἀλλὰ κανονικῶς τὰ κατ' αὐτὸν ἐξετάζεσθαι· καὶ εἰ κατὰ λόγον ἡ παραίτησις ἐγεγόνει, ἢ κανονικῶς διὰ τὰ ἐγκλήματα καθῃρέθη, τηνικαῦτα ἕτερον εἰς τὴν ἐπισκοπὴν προχειρίζεσθαι. Ἀλλὰ καὶ εἴ τις ἐν τῇ ἰδίᾳ τιμῇ καλῶς ἱδρυμένος, μὴ τὸν οἰκεῖον ἐθέλοι ποιμαίνειν λαὸν,

1) Σύντ. Τόμ. Γ'. σελ. 361.

ἀλλὰ τῆς οἰκείας ἀποστὰς ποίμνης, ὑπὲρ τὸ ἐξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μή τινος ἀναγκαίου κατείργοντος, τὴν τοῦ ἐπισκόπου τιμὴν καὶ καθέδραν δικαίως ἀφαιρεθήσεται.

Καρθαγένης κ'.

Ὁ δὲ κ' τῆς ἐν Καρθαγένῃ, Πρεσβυτέροις ἢ διακόνοις περί τινων ἐγκαλουμένοις, τὸν ἴδιον αὐτῶν ἐπίσκοπον ἐφίστησι δικαστήν, σύν γε ἑτέροις ἐκ τῆς αὐτῆς ἐπαρχίας, οὓς ἂν ἐκλέξωνται οἱ κατηγορούμενοι, ἓξ μὲν ἐπὶ πρεσβυτέρων, καὶ τρισὶν ἐπὶ διακόνων· προθεσμίας δὲ καὶ ἐπιτιμήσεις τὰς αὐτὰς εἶναι καὶ τούτοις σαφῶς καὶ οὗτος διέξεισιν, οἵας δὴ καὶ ἐπὶ τῶν ἐπισκόπων ὁ προλαβών· τὰ δέ γε τῶν λοιπῶν κληρικῶν αἰτιάματα, μόνος ὁ αὐτῶν ἐπίσκοπος ἐξετάσει, καὶ πέρατι δώσει, φησίν.

Ὁ δὲ οθ'. ἀποκλείεσθαι λέγων τὸν κληρικὸν, ἑνὸς ἐξήκοντος ἔτους, καὶ μὴ δεξαμένης πέρας τῆς αὐτοῦ ὑποθέσεως, τὸ νῦν ἔχον οὐκ ἐνεργεῖ.

Νόμος.

Κατηγορίαν ἱερέως, οὐδεὶς τῶν λαϊκῶν ἀρχόντων δικάζει, πλὴν εἰ μὴ καθοσιώσεως ἔγκλημα ἡ κατηγορία περιέχει 1). Ζήτει καὶ ἐν τῷ ις'. Κεφ. τοῦ Π στοιχείου κανόνας τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου θ'. καὶ ί. καὶ Θεοφίλου έ.

Περὶ τῶν ἐν τοῖς δικαστηρίοις κατηγόρων.

Συνόδου δευτέρας ς'.

Ὁ ς'. τῆς δευτέρας Συνόδου κανὼν, Εἰς κατηγορίαν, φησὶν, ἐπισκόπων ἢ κληρικῶν, οὔτε πάντας ἀνεξετάστως προσίεσθαι δεῖ, οὔτε μὴν πάντας ἀποκλείειν· εἰ μὲν γὰρ ἰδιωτικήν τις ἐνίστησι κατ' αὐτῶν δίκην, ἠδικεῖσθαι λέγων αὐτὸς ἐπὶ πράγμασι κινουμένοις ἢ ἀκινήτοις, ἢ ὑβρίσθαι, ἤ τι τοιοῦτο παθεῖν, μήτε πρόσωπον τοῦ κατηγοροῦντος, μήτε θρησκείαν σκοπεῖν, μηδένα γὰρ τῶν δικαίων ἀποτυγχάνειν δίκαιον, ἀλλ' ἴσην ἅπασιν ἡμᾶς ἐπιφέρειν τὴν ἀδέκαστον ψῆφον, ἐλεύθερον καὶ τῆς οἱασοῦν ἀδικίας τὸν ἐπίσκοπον μάλιστα ἢ τὸν κληρικὸν καθιστάντας.

1) Ἐπαναγ. ΙΑ. κ. ιδ'.

Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἔγκλημα, ἔκπτωσιν τῆς ἱερωσύνης ἐπισείειν τῷ ἐπισκόπῳ, ὅπερ καὶ δημόσιον λέγεται, τοῦ ἰδιωτικοῦ ἀντιδιαστελλόμενον, καθότι πρὸς τοῦ δήμου παντὸς εἰώθει γυμνάζεσθαι, οὔτε αἱρετικοὺς οἱουσδηποτοῦν προσίεσθαι δεῖ, οὔτε μὴν σχισματικοὺς καὶ παρασυνάγοντας, οὐδὲ τοὺς κατ' ἄλλας αἰτίας τελέως ἐκβεβλημένους τῆς Ἐκκλησίας· οὐ μὴν οὐδὲ τοὺς πρὸς ὀλίγον τῆς Ἐκκλησίας ἀφορισθέντας, εἴτε τῶν τοῦ κλήρου εἶεν, εἴτε τῶν τοῦ λαοῦ, ἂν μὴ πρότερον τὰς κατ' αὐτῶν αἰτίας ἀποτρίψωνται· οὐδὲ τοὺς ὑπὸ κατηγορίαν ὄντας, πρὶν ἂν τῶν ἐγκλημάτων ἀθῷοι φανῶσιν· εἰ δὲ τούτων ἁπάντων ἐλεύθεροι εἶεν οἱ κατήγοροι, τότε δὴ, ἅττα ἂν ἐπάγωσι τῷ ἐπισκόπῳ ἐγκλήματα, οἱ τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοποί, φησιν, ἐξετάσουσιν· εἰ δὲ οὗτοι μὴ οἷοί τε εἶεν ταῦτα διαλύσασθαι, ἡ τῆς διοικήσεως μείζων Σύνοδος δοκιμάσασα πέρατι δώσει. Τὰ δέ γε τοῦ κληρικοῦ ὁ ἴδιος ἐπίσκοπος ἐξετάσει· ἀτονήσαντος δὲ πρὸς τὴν διάλυσιν, τῇ μείζονι καὶ ταῦτα Συνόδῳ παραπεμφθήσεται. Μὴ μέντοι πρότερόν, φησι, τὴν κατηγορίαν ἐνίστασθαι, πρὶν ἂν ἐγγράφως οἱ κατήγοροι τὸν ἴσον ὑποσχεῖν ἀσφαλίσωνται κίνδυνον, εἴπερ ἐν τῇ τῶν πραγμάτων ἐξετάσει συκοφαντοῦντες τὸν ἐπίσκοπον ἐλεγχθεῖεν. Τὸν δὲ μὴ οὕτω δρᾶν ἀνεχόμενον, ἀλλ' ἢ βασιλεῖ προσιόντα, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ οἰκουμενικῇ Συνόδῳ, μὴ δεκτὸν εἶναι παντάπασιν εἰς κατηγορίαν, ὡς ἀτιμάσαντα τοὺς τῆς διοικήσεως ἐπισκόπους, καὶ εἰς τοὺς θείους κανόνας ὑβρίσαντα, καὶ τὴν τῆς Ἐκκλησίας εὐταξίαν συγχέοντα.

Συνόδου τετάρτης κά.

Τούτῳ συνᾴδει καὶ ὁ κά. τῆς δ'. Συνόδου, μὴ ἀδοκιμάστως λέγων προσίεσθαι τοὺς κατηγοροῦντας ἐπισκόπων ἢ κληρικῶν, εἴτε τῶν τοῦ κλήρου, εἴτε τῶν τοῦ λαοῦ εἶεν, εἰμὴ πρότερον αὐτῶν ὁ βίος δοκιμασθείη, καὶ τὰ ἐπιτηδεύματα.

Καρθαγένης ἡ.

Ἀλλὰ καὶ ὁ ἡ. τῆς ἐν Καρθαγένῃ οὐκ ἐφίησιν ἐπισκόπου κατηγορεῖν τὸν διαβεβλημένον τοὺς τρόπους.

Ὁ δὲ ρκή, οὐδὲ τὸν ἀφωρισμένον καὶ ἀκοινώνητον, μέχρις ἂν λυθῇ τοῦ ἀφορισμοῦ.

Ὁ δὲ ρκθ'. οὐδὲ δούλοις κατηγορεῖν δίδωσιν, οὐδὲ ἀπελευθέροις, τῶν αὐτοὺς ἐλευθερωσάντων κληρικῶν, ἢ τῶν παίδων αὐτῶν, ἢ τῶν κληρονόμων· ἑτέρων μέντοι κατηγορεῖν ἐφίησιν· ἀλλ' οὐδὲ ἀτίμοις, οἱονεὶ μίμοις, καὶ θηριομάχοις, καὶ μονομάχοις· ἀλλ' οἱ μὲν ἐπὶ σκηνῆς μίμοι, οἱ ἐν πανηγύρεσι καὶ δημοτικαῖς παίζοντες συνελεύσεσιν, ἄτιμοι· οἱ δὲ παρὰ βασιλεῖ ἀστεῖα πρὸς μετρίαν τέρψιν ἐπιτηδεύοντες, ἔντιμοι· θηριομάχοι δὲ καὶ μονομάχοι, εἰ μὲν πρὸς ἐπίδειξιν ἀνδρείας ὁρῷεν καὶ δόξης ἔρωτα, ἀριστεῖς ἂν λογίζοιντο· εἰ δὲ πρὸς μισθόν, ἄτιμοι· οἱ γὰρ τῆς οἰκείας ζωῆς μὴ φειδόμενοι, ἀλλὰ μισθοῦ ταύτην προϊέμενοι, σχολῇ γ' ἂν αὐτοῖς μελήσει ἐπαινουμένης ὑπολήψεως· ἀλλ' οὐδὲ Ἰουδαίοις ἢ αἱρετικοῖς κατηγορεῖν ἐπιτρέπει, εἰ μήπου περὶ ἰδίων οὗτοι πάντες ἐνάγουσιν ὑποθέσεων.

Ὁ δὲ ρλ', Τὸν ἐν πολλοῖς, φησιν, ἐγκλήμασιν ἐπισκόπου κατηγοροῦντα ἢ κληρικοῦ, καὶ τούτων ἑνὸς ἐξετάσει δοθέντος ἀποδεῖξαι μὴ δυνηθέντα, οὐδὲ περὶ τῶν λοιπῶν εἰκὸς τοῦτον πιστεύεσθαι.

Νόμοι.

Κρεῖσσον τὰ ἁμαρτήματα καταλιμπάνειν ἀνεκδίκητα, ἢ τινας ἀναιτίως κολάζεσθαι 1).

Οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ καὶ ἀπόδειξις διδάσκει τὸν δικαστήν.

Τῶν ψυχικῶν ἁμαρτημάτων τῶν ὑπεξουσίων παίδων, ἴσως οἱ πατέρες δίκην ὑπέχουσιν, οὐ μὴν καὶ τῶν ἐγκληματικῶν· οὐ γὰρ κολάζονται πατέρες ὑπὲρ τέκνων· φησὶ γὰρ ὁ νόμος· Τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

Περὶ τῶν ἐν τοῖς δικαστηρίοις μαρτύρων.

Ἀποστόλων οε.

Ὁ οε. τῶν ἁγίων Ἀποστόλων κανών, οὐδὲ εἰς μαρτυρίαν τὸν αἱρετικὸν προσίεσθαι διορίζεται, ὅπου γε οὐδὲ πιστὸν ἕνα μόνον· Ἐπὶ στόματος 2) γὰρ, φησὶ, δύο μαρτύρων ἢ τριῶν, σταθήσεται

1) ί. Βασ. Ξ'. νά. — 2) 6'. Κορ. ΙΓ'. 1.

πᾶν ῥῆμα· καὶ ὁ Ἀπόστολος· Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων 1).

Καρθαγένης νθ'. ρλά.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ρλά, Ἀρχήν, φησι, τοὺς κεκωλυμένους ἐγκληματικῶς ἐνάγειν, οὐδὲ εἰς μαρτυρίαν προσίεσθαι χρή· τοὺς δ' αὖ τὸν βίον ἀστείους, ὧν τὴν μαρτυρίαν ἀληθῆ ποιήσει τὰ προβεβιωμένα, μὴ ἀνήβους εἶναι, ἐντὸς δηλαδὴ ιδ'. ἐτῶν, τῷ μήπω τούτοις εὐσταθὲς εἶναι τὸ φρόνημα· ἀλλ' οὐδὲ οἰκειακοὺς τὸν κατηγοροῦντα παράγειν δεῖ μάρτυρας, καὶ ὑπεξουσίους αὐτῷ, ἢ ὑποχειρίους, οὓς, εἰ μὴ πείθοιντο τὰ κατὰ νοῦν αὐτῷ λέγειν, ἐξέσται οἱ κολάζειν· σεμνῆς δὲ μεταποιούμενοι πολιτείας οἱ ὑποχείριοι, ἱερεῖς, φημι, καὶ διάκονοι, καὶ λογικῶν ἐπιστήμονες μαθημάτων, οὐκ ἀπόβλητοι πρὸς μαρτυρίαν ἔσονται.

Ὁ δὲ γθ', Εἰ κληρικοί, φησι, παρὰ τῷ τῆς Ἐκκλησίας κριθεῖεν δικαστηρίῳ, (ὡς ὁ Ἀπόστολος παραγγέλλει, Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; 2) καὶ θάτερον μέρος τῆς ἐξενεχθείσης καταγνοίη ψήφου, μὴ ἐξεῖναι θατέρῳ μέρει εἰς τὸ τῆς ἐκκλήτου δικαστήριον ἔλκειν πρὸς μαρτυρίαν τὸν πρότερον τὴν ὑπόθεσιν δοκιμάσαντα, ἢ καὶ κρινομένης παρατυχόντα, μηδὲ τοὺς γένει προσήκοντας προβάλλεσθαι μάρτυρας.

Νόμοι.

Ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας.

Καὶ παράγονται καὶ ἐπὶ χρηματικῶν καὶ ἐγκληματικῶν ὑποθέσεων, εἰ μὴ κεκωλυμένοι ὑπὸ τοῦ νόμου, ἢ ἐξκουσατευόμενοι 3).

Ἀπόβλητος εἰς μαρτυρίαν γίνεται ὁ καταδικασθεὶς διὰ τὸ ποιῆσαι ταραχώδη φλυαρίαν 4).

Δεῖ τοὺς μάρτυρας πρότερον ὀμνύναι, πρὶν ἢ μαρτυρήσωσι· τοῖς τιμιωτέροις δὲ μᾶλλον πιστεύειν· ἑνὸς δὲ μαρτυρία οὐκ ἔστι δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς ᾖ 5).

Τῇ κατὰ τοῦ ἐπισκόπου ἀγωγῇ, εἰ μὲν χρηματικὴ εἴη, μέχρι

1) ά. Τιμ. Ε. 19. — 2) ά. Κορ. ς', 1. — 3) ά. Βασ. ΚΑ. ά. — 4) κ'. Βασ. αὐτόθι — 5) λγ'. Βασ. αὐτόθι.

λίτρας μιᾶς, δύο πιστοὶ ἔντιμοι μάρτυρες ἐνομότως μαρτυρήσουσιν· εἰ δὲ μέχρι ν΄. λιτρῶν, τρεῖς· εἰ δὲ ἐπέκεινα, έ. εἰ δὲ ἐγκληματικὸν εἴη τὸ αἰτίαμα, διὰ έ. μαρτύρων πιστῶν καὶ ἐντίμων ὀμνύντων, ἀποδείκνυται.

Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ' ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι 1).

Ὁ κατήγορος οἰκειακοὺς μάρτυρας οὐ δύναται παράγειν 2).

Ὁ κατὰ συκοφαντίαν ἐπὶ παραστάσει παρὰ δικαστῇ προσφόρῳ αἰτιώμενος ἐπίσκοπον, λ΄. δίδωσι λίτρας 3).

Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται, καὶ τριπλῆ ἡ ἐπεξέλευσις· ἢ γὰρ συκοφαντεῖ τις ὡς πλαστῶς κατηγορῶν, ἢ προδότης τῆς ἰδίας ὑποθέσεως γίνεται, τ' ἀληθῆ ἐγκλήματα κρύπτων, ἢ φευγοδικεῖ, τελείως ἀναχωρῶν τῆς κατηγορίας. Οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ἃ κατηγόρησεν, ἀλλ' ἐν τῇ κρίσει τοῦ δικαστοῦ ἐστι, μετὰ τὸ ἐλευθερωθῆναι τὸν κατηγορούμενον, ζητῆσαι περὶ τούτου· κἂν μὲν εἴπῃ οὐκ ἀπέδειξας, ἐφείσατο αὐτοῦ· ἂν δὲ εἴπῃ ἐσυκοφάντησας, κατεδίκασεν αὐτὸν εἰς συκοφαντίαν· κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς, ἐπακολουθεῖ γάρ· ἂν δὲ εἴπῃ, προπετῶς ἐκίνησας, ἤγουν οὐκ ἀπέδειξας, οὐ ποιεῖ αὐτὸν συκοφάντην, οὐδὲ ποινὴν ὁ τοιοῦτος ὑφίσταται 4).

Ἡ γυνὴ οὐ μετέρχεται ἀνδρῶν ὀφφίκιον, οὐδὲ ἐν διαθήκῃ μαρτυρεῖ, εἰ μὴ ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται· ἀλλ' οὐδὲ συνηγορεῖν ταύταις ἐφεῖται δημοσίᾳ, ἑαυταῖς δὲ μόνον συνηγοροῦσι καὶ γυνὴ καὶ τυφλός· οὗτος δὲ καὶ δικάζειν δύναται 5).

Νεαρά.

Ἡ δὲ μή. νεαρὰ τοῦ βασιλέως Λέοντος κωλύει τὰς γυναῖκας ἐπὶ συμφώνοις μαρτυρεῖν καὶ συναλλάγμασιν· ἐπὶ δὲ τοκετῶν, καὶ ἐφ' ὧν μόνη θηλειῶν ὄψις ὁρᾶν συγκεχώρηται; ἐπιτρέπονται μαρτυρεῖν.

Ἐκ τῆς ρκγ΄. Ἰουστινιανείου Νεαρᾶς 6).

Τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις, εἰ εὑρεθεῖεν

1) ς΄. Βασ. ΚΑ΄. ά.—2) κγ΄. Βασ. αὐτόθι.— 3) δ΄. Βασ. Γ. ά. — 4) έ. Βασ. Ξ΄. ά. — 5) ιζ΄. Βασ. ΚΔ. ά. καὶ δ΄. Βασ. Η. ά. — 6) Ἐπαν. Θ΄. κ΄ καὶ ιθ΄.

ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, μὴ μέντοι γε ὄρκῳ τὸ ψεῦδος βεβαιωσάμενοι, τούτοις ἀρκέσει, ἀντὶ βασάνων, ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας, καὶ μοναστηρίοις παραδίδοσθαι· εἰ δὲ καὶ τῷ ψεύδει τὸν ὅρκον προσέθηκαν, ὁ κανὼν αὐτοὺς προέκοψε τῆς ἱερωσύνης· ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν, ἐγγραψάμενοι δηλονότι, ὡς τοῖς θείοις ὥρισται κανόσι, τοῦ κλήρου ἀπογυμνοῦνται καὶ ταῖς νομίμοις ποιναῖς ὑποβάλλονται.

Ἀρκοῦσι πρὸς ἀπόδειξιν πέντε μάρτυρες, ἐγγράφων μὴ ὄντων· ἃ δέ εἰσιν ἔγγραφα, ἤτοι συμβόλαια, τρεῖς μόνον ἀρκοῦσιν 1).

Οἱ μάρτυρες ἀκοῇ μὴ μαρτυρείτωσαν, λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν, ἢ τόνδε καταβάλλεσθαι, κἂν εἰ ταβουλάριοι εἶεν οἱ ταῦτα μαρτυροῦντες· ἐπὶ γὰρ τῶν ἐγκληματικῶν ἀνάγκη πᾶσα παραχθῆναι τοὺς μάρτυρας καὶ μὴ τὰς φωνὰς αὐτῶν 2).

Τοῖς μάρτυσι καὶ οὐ τοῖς μαρτυρίοις πιστευτέον· αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται 3).

Οἱ πένητες οὐ μαρτυροῦσι· πένης δέ ἐστιν ὁ μὴ ἔχων ν'. νομισμάτων περιουσίαν 4).

Οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος, ἢ παιδὸς αὐτοῦ 5).

Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κέ. ἐτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς, καὶ μὴ ἀποκαταστὰς, ἢ ἐν δεσμοῖς, ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθείς· οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι, ἢ μὴ μαρτυρῆσαι· οὔτε ὁ καταδικασθεὶς ἐπὶ μοιχείᾳ 6).

Υἱὸς πατρὶ, ἢ πατὴρ υἱῷ, οὐ μαρτυρεῖ 7).

Οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι 8).

Ὁ δοῦλος οὐ μαρτυρεῖ· οὐ γὰρ χρὴ πιστεύειν προπετῶς τοῖς οἰκέταις λέγουσι κατὰ δεσποτῶν· φύσει γὰρ ὁ δοῦλος τῷ δεσπότῃ πολέμιος 9).

---

1) Πρ. Ν. Ἡ. κεφ. 2. καὶ 6. καὶ κεφ. 3. 4. — 2) κεφ. ς'. Προχ. Ν. ΚΖ'. — 3) γ'. θ. β'. Βασ. ΚΑ. α. — 4) Πρόχ. ΚΖ'. κδ'.—ί. Βασ. Ξ'. λδ'.— 5) Ας'. Βασ. αὐτόθι. — 6) Πρ. Νόμ. ΚΖ'. κεφ. 24 καὶ 26. — 7) ή. Βασ. ΚΑ'. — 8) θ'. Βασ. αὐτόθι. — 9) Πρόχ. Ν. ΚΖ'. 28.

Ὁ κατά τινος ἤδη μαρτυρήσας, οὐ μαρτυρεῖ πάλιν κατ' αὐτοῦ 1).

Κωλύεται μαρτυρεῖν ἄνηβος, κωφὸς, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅταν ὁ πατὴρ αὐτοῦ παρ' ἄλλου γραφῇ κληρονόμος ἐν διαθήκῃ 2).

Ἡ παραγραφὴ, κατὰ μὲν τοὺς νόμους πολλαχῶς, κατὰ δὲ τοὺς ῥήτορας τετραχῶς γίνεται· ἀπὸ τοῦ λείποντος· οἷον ἀσώτου πατὴρ, ἀφανὴς ἐγένετο, καὶ φόνου ὁ υἱὸς φεύγει· ἀπὸ τοῦ ὑπερβάλλοντος· οἷον δέκα νέοι ἐπωμόσαντο μὴ γῆμαι, καὶ φεύγουσι κακοῦ βίου· ἢ ἀφ' ὧν ἕτεροι πεποιήκασιν οὐ δεῖ κρίνεσθαι, οἷον ὁ τρισαριστεὺς, οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγων· ἢ κατὰ χρόνον, οἷον δειλοῦ παῖς ἠρίστευσε, καὶ μοιχείας κρίνει τὴν γυναῖκα.

Ἔτι περὶ τῶν ἐνδίκως καθαιρεθέντων.

Ἀντιοχείας δ, ιϐ'.

Ὁ δ'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, Ὁ ὑπὸ Συνόδου καθαιρεθεὶς, φησὶν, ἐπίσκοπος, ἔτι δὲ πρεσβύτερος, ἢ διάκονος, ὑπὸ τοῦ ἰδίου τοῦτο παθὼν ἐπισκόπου, εἰ μετελθεῖν ὁτιοῦν βουληθείη, ἃ τοῖς ἱερεῦσιν ἔθος, μὴ ἐξεῖναι τούτῳ ἀδίκως ἔτι διατεινομένῳ παθεῖν, ἑτέρᾳ προσιέναι Συνόδῳ, καὶ ζητεῖν ἐξετάσει τὰ κατ' αὐτὸν δοθῆναι, μηδὲ χώραν ἀπολογίας αὐτῷ μετεῖναι· τοὺς δέ γε συνειδότας τὴν κατ' αὐτοῦ ἀπόφασιν, καὶ κοινωνεῖν αὐτῷ τολμήσαντας, καὶ τούτους τῆς Ἐκκλησίας ἐκκόπτεσθαι.

Ὁ δὲ ιϐ', Τὸν ὑπὸ τοῦ ἰδίου αὖθις ἐπισκόπου καθαιρεθέντα πρεσβύτερον, ἢ διάκονον, ἢ ὑπὸ Συνόδου ἐπίσκοπον, ἀπαγορεύει προσιέναι τῷ βασιλεῖ, καὶ παρ' αὐτῷ ζητεῖν τὴν ἐξέτασιν, ἀλλὰ μείζονι ἐπισκόπων Συνόδῳ, καὶ ἃ νομίζει δίκαια ἔχειν, τούτοις προσαναφέρειν, καὶ τὴν παρ' αὐτῶν ἐξέτασιν ἐκδέχεσθαι καὶ ἐπίκρισιν· εἰ δέ τις τούτων ὀλιγωρήσας ἐνοχλῆσαι τολμήσει τῷ βασιλεῖ, μηκέτι χώραν ἔχειν ἀπολογίας, μηδὲ ἐλπίδα μελλούσης ἀποκαταστάσεως. Εἰ γὰρ καὶ παντὶ καταδικαζομένῳ καὶ ἀδικεῖσθαι δεομένῳ ἡ τῆς Ἐκκλησίας βοήθεια δέδοται, ἀλλ' ἐπεί

1) κϛ'. Βασ. ΚΑ. ά. — 2) Πρόχ. Ν. ΚΖ'. 33.

τοι γε τῶν πατριαρχῶν αἱ ψῆφοι ἐκκλήτῳ οὐχ ὑπόκεινται, ὁ πειρώμενος ἔκκλητον εἰς βασιλέα ποιήσασθαι, μετὰ τὴν τοῦ πατριάρχου ἐξενεχθεῖσαν ἀπόφασιν, τιμωρεῖται κατὰ τὸν παρόντα κανόνα.

Ἀποστόλων κή.

Ὁ δὲ κή. τῶν ἁγίων Ἀποστόλων κανών, Τὸν καθαιρεθέντα δικαίως ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐπὶ ἐγκλήμασι φανεροῖς, καὶ ἅψασθαι τολμήσαντα τῆς ἀφαιρεθείσης αὐτῷ λειτουργίας, ἐκκόπτεσθαι παντάπασι κελεύει τῆς Ἐκκλησίας, διά τε τυχὸν τῆς αὐθαδείας τὸ περιὸν, καὶ ὅτι ἄλλως κολασθῆναι κανονικῶς οὐκ ἔνι τὸν ἤδη καθαιρεθέντα.

Καρθαγένης ξέ, ν΄.

Ὁ δὲ ξέ. τῆς ἐν Καρθαγένῃ, δικαίως κληρικοῦ καταδικασθέντος, φησὶ, πρὸς τοῦ οἰκείου ἐπισκόπου, μηκέτι ἐκκλήτῳ βοηθουμένου, τοῦ κληρικοῦ δηλαδὴ, τοὺς χειρὶ χρωμένους, καὶ κωλύοντας τὴν ὁρισθεῖσαν κατ' αὐτοῦ ψῆφον τὸν ἐπίσκοπον ἐπενεγκεῖν, αἰτεῖσθαι χρὴ τὴν Σύνοδον πρὸς τοῦ βασιλέως ποινῇ τούτους χρηματικῇ, καὶ ἀφαιρέσει τῆς τιμῆς ὑποβάλλεσθαι, εἴτε τῆς Ἐκκλησίας εἶεν οἱ τοιοῦτοι δήπου, εἴτε τοῦ λαοῦ, κἂν ὁποίας ὦσι καὶ ἡλικίας καὶ φύσεως.

Ὁ δὲ ν΄. καὶ τῶν ἐπισκόπων τοὺς μὴ ταῖς ψήφοις ὑποκύπτοντας τῆς Συνόδου, τῇ τῶν ἀρχόντων ἐξουσίᾳ κελεύει δίδοσθαι· πλὴν οὐκ ἔννομον τοὺς ἱερωμένους εἰς κόλασιν κοσμικοῖς ἄρχουσι παραδίδοσθαι, εἰ μὴ πρότερον καθαιρεθεῖεν. Τοῦτο δὲ γίνεται, ἢ ὅταν μὴ δυνατὴ ἡ Σύνοδος ᾖ τὴν οἰκείαν ἀπόφασιν εἰς ἔργον ἐξενεγκεῖν, ἢ ὅταν μέγα ᾖ τὸ ἁμάρτημα, καὶ δεῖ τῇ παρὰ τῆς Ἐκκλησίας, καὶ τὴν παρὰ τῶν ἀρχόντων ἐπακολουθῆσαι κόλασιν. Εἰ γὰρ εὑρεθείη τυχὸν ἱερωμένος ἐπιβουλεύων τῷ βασιλεῖ, πρὸς τῇ καθαιρέσει, καὶ τοῖς ἄρχουσι πρὸς ἐξέτασιν ἐκδοθήσεται, ὥστε καὶ κατειπεῖν τοὺς συνίστορας, ὥσπερ δὴ καὶ ἡ ῥηθεῖσα ρκγ΄. Ἰουστινιάνειος νεαρὰ περὶ τῶν τοιούτων διακελεύεται.

Νόμοι.

Ἐπίσκοπος κανονικῶς τῆς ἱερωσύνης ἐκπεσὼν, καὶ ἐπιβαίνων

τῇ πόλει ἀφ' ἧς ἐξεβλήθη, ἢ καταλιμπάνων τὸν τόπον ἐν ᾧ διάγειν ἐκελεύσθη, μοναστηρίῳ ἄλλης ἐπαρχίας ἐμβάλλεται 1).

Ἐπίσκοπος ἀπὸ Συνόδου καθαιρεθείς, καὶ ποιήσας τι στασιῶδες πρὸς τὸ αὖθις ἀναλαβεῖν τὴν ἐπισκοπὴν, ἀπὸ ἑκατὸν μιλίων ἧς ἐξεβλήθη πόλεως οἰκείτω, μηδὲ βασιλεῖ προσιτὸς ἔστω· εἰ δὲ καὶ προσιὼν ἀντίγραφα λήψοιτο, ἄχρηστα ἔστω· καὶ ὁ ἐκδικῶν αὐτὸν ἀγανακτείσθω 2).

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅτι δὶς ἐπὶ τὸ αὐτὸ ἐκδικεῖν οὐ χρή.

Ὁ κέ. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ, καθαιρείσθω καὶ μὴ ἀφοριζέσθω· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· οἱ γὰρ ἱερᾶσθαι λαχόντες, εἰ καθαιρεθεῖεν, ἀλλά γε τῆς τῶν πιστῶν κοινωνίας οὐκ ἀφορίζονται, κἂν οἱῳδήποτε πάθει περιπαρῶσι· μόνοι γε μὴν τῶν εὐθυνῶν ἀμφοτέρων τιμῶνται διὰ τὸ περιὸν τῆς κακίας, οἱ διὰ χρημάτων ἢ δυναστείας ἀρχόντων, ἱερωσύνην, ἢ προστασίαν ἄλλως λαοῦ δεξάμενοι· τούτους γὰρ ὁ κθ΄. ἀποστολικὸς κανὼν, ἔτι δὲ καὶ ὁ λ΄. καὶ τοὺς αὐτοῖς κοινωνοῦντας, οὐ μόνον καθαιρέσει, ἀλλὰ καὶ ἀφορισμῷ ὑποτίθησιν.

Βασιλείου λβ΄. νά.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ λβ΄. κανόνι, τὴν ἐν τῇ πρώτῃ τῶν καθολικῶν τοῦ Εὐαγγελιστοῦ Ἰωάννου καὶ Θεολόγου ἐκλέξας φωνὴν, τὴν οὑτωσί πως διεξιοῦσαν· Ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον 3)· τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν, φησὶν, ἁμαρτάνοντας κληρικοὺς, τὴν μέχρι πράξεως δηλαδὴ προχωρήσασαν, ἐκπίπτειν μὲν τοῦ βαθμοῦ τῆς ἱερωσύνης, τῆς ἐν τῇ εὐχῇ δὲ κοινωνίας τῶν λαϊκῶν μὴ ἐξείργεσθαι· ἐν οὐδενὶ γὰρ τῶν τέτραχα διαιρουμένων τῆς μετανοίας σταθήσονται τόπων· οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Ὥσπερ δὲ τὴν

1) Νεαρὰ ρκγ΄. κ. ιά. — 2) ά. Βασ. Γ΄. ά. — 3) ά. Ἰω. Ἐ. 16, 17.

πρακτον ἁμαρτίαν πρὸς θάνατον λέγει φέρειν τὸν τῆς ψυχῆς πορνείαν τυχὸν, ἢ φόνον, ἤ τι τῶν τοιούτων, οὕτω τὴν ἄχρι βουλῆς καὶ συγκαταθέσεως προϊοῦσαν, οὐκ ἀνεπιτίμητον μὲν εἶναι, οὐ μὴν καὶ τὸν παντελῆ τῆς ψυχῆς μνηστεύεσθαι θάνατον, ὥστε καὶ καθαίρεσιν ἐπάγειν, κατὰ τὸν δ'. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανόνα, ὃν ζήτει ἐν τῷ ιέ. κεφ. τοῦ Π στοιχείου· οὐ δὲ γὰρ ἂν πόρνος κριθείη, ὁ πορνεῦσαι μὲν προθέμενος, τὴν πρᾶξιν δὲ μὴ τελέσας· ὡς δὲ καὶ ἐπὶ τοῦ φονέως λογιστέον, ὥς φησιν ὁ μέγας Θεολόγος Γρηγόριος, Εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνου τοῦ βούλεσθαι, καὶ τὰ ἑξῆς. Τινὲς δέ φασι πρὸς θάνατον εἶναι ἁμάρτημα τὸ κεφαλῆς ἀφαίρεσιν, καὶ θάνατον ἐπάγον τῷ ἁμαρτάνοντι, καὶ κρίνειν τὸν ἅγιον μηδὲν πλέον τῆς καθαιρέσεως τὸν ἱερέα ὑφίστασθαι, κἂν μεγάλων αὐτουργὸς γέγονεν ἐγκλημάτων, ἃ δὴ καὶ θάνατον κατὰ τοὺς νόμους, καὶ κεφαλικὴν τὸ δὴ λεγόμενον ἐφέλκονται κόλασιν.

Ἐν δὲ τῷ νά. μίαν ἐπὶ τοῖς παραπεσοῦσι τῶν κληρικῶν ἁπάντων τὴν τιμωρίαν ὡρίσαντο, φησὶν, οἱ Πατέρες, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τύχοιεν ὄντες, καὶ χειροτονίαν πρεσβυτέρου ἢ διακόνου ἢ ὑποδιακόνου δεξάμενοι, εἴτε ἐν ἀναγνώστου σφραγίδι ἢ ψάλτου, ἢ θυρωροῦ, οὐ γὰρ τοὺς μείζονος ὄντας βαθμοῦ μᾶλλον κολάζουσι, κουφότερον δὲ τοὺς ἐλάττονος· ἀλλ' ὥσπερ ἐκεῖνοι τῆς ἱερωσύνης εἴργονται, οὕτως οἱ ἀναγνῶσται, τοῦ εἰσελθεῖν εἰς τὸ βῆμα, ἢ ἐπὶ ἄμβωνος ἀναγνῶναι, ἢ εἰς μείζονα προκόψαι βαθμόν.

Καρθαγένης κζ'.

Τούτοις συνάδων καὶ ὁ κζ'. τῆς ἐν Καρθαγένῃ, Οἱ ἐπὶ ἀνηκέστοις φησὶν, ἁμαρτήμασιν ἐληλεγμένοι κληρικοὶ, καὶ παρὰ τοῦτο τῶν οἰκείων βαθμῶν ἐκπίπτοντες, οὐκ ἀφορίζονται μὲν τῆς τῶν πιστῶν ὁμηγύρεως, ἀρκεῖν γὰρ αὐτοῖς εἰς κόλασιν τὴν καθαίρεσιν μόνην· ἀλλ' οὐδ' ἠντιναοῦν χειροτονίαν τῆς ἐκτὸς τοῦ βήματος ὑπηρεσίας οἴεται δέξασθαι, οὐδὲ ἀναβαπτίζονται, ὡς δῆθεν τοῦ ἐγκλήματος ἐκπλυθῆναι, ὥς τινες κακῶς οἴονται, καὶ εἰς βαθμὸν αὖθις κλήρου προκόψαι· ἓν γὰρ τὸ σωτήριον βάπτισμα· διὰ δὲ τοῦτο καὶ οἱ μετὰ τὴν καθαίρεσιν ἐπ' ἄμβωνος

ἀναγινώσκοντες, ἢ εὐχὰς, ἢ εὐλογητὸν λέγοντες, οὐχ ὅσια δρῶσι. Ζήτει καὶ ἐν τῷ θ΄. κεφ. τοῦ παρόντος στοιχείου, κανόνα ν΄. τῆς ἐν Καρθαγένῃ Συνόδου. Ζήτει καὶ ἐν τῷ ιέ. κεφ. τοῦ Π στοιχείου, κανόνα γ΄. τοῦ μεγάλου Βασιλείου.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν διωκόντων τινὰς δι' εὐσέβειαν.

Ζήτει ἐν τῷ ά. κεφ. τοῦ Α στοιχείου κανόνα θ΄. τῆς ἐν Ἀγκύρα Συνόδου καὶ τὴν πρὸς Φουφινιανὸν τοῦ μεγάλου Ἀθανασίου ἐπιστολήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ δούλων ἐλευθερίας καὶ κληρώσεως.

Ὁ πέ. τῆς ς΄. Συνόδου κανὼν, ἐπὶ τῆς τῶν δούλων ἐλευθερίας, μὴ πλείους τῶν τριῶν μαρτύρων παραλαμβάνεσθαι ἀξιοῖ· Ἐπὶ δύω γὰρ, ὥς φησιν ἡ Γραφὴ, ἢ τριῶν μαρτύρων πᾶν ῥῆμα βεβαιούμενον ἴσμεν 1).

Ὁ δέ γε γ΄. τῆς ἐν Γάγγρᾳ Συνόδου, ἄγνωμον οἴεται κομιδῇ, δοῦλον ἀναπείθειν, προφάσει θεοσεβείας καὶ ἀσκήσεως, δεσπότου καταφρονεῖν, καὶ μὴ μετ' εὐνοίας καὶ τιμῆς ὑπείκειν τούτῳ, καὶ διακονεῖσθαι· ταύτῃ τοι καὶ τὴν δικαίαν ἐνδεικνύμενος ἀγανάκτησιν, τῷ ἀναθέματι τὸν τῆς ἀγνωμοσύνης παραπέμπει διδάσκαλον. Ὁ γάρ τοι θεῖος Ἀπόστολος, τοῖς τὸν ζυγὸν ἕλκουσι τῆς δουλείας διὰ Τιμοθέου παρεγγυᾶται τοῦ πάνυ, πάσης τιμῆς ἀξίους τοὺς δεσπότας ἡγεῖσθαι· Εἰ δὲ καὶ πιστοὶ εἶεν οἱ δεσπόται, φησὶ, μὴ περιφρονείτωσαν αὐτοὺς, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι 2)· καὶ πρὸς τὸν θεῖον αὖθις Τίτον· Δίδασκε δούλους οἰκείοις δεσπόταις ὑποτάσσεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν 3).

1) 6΄. Κορ. ΙΓ΄. 1. — 2) ά. Τιμ. ς΄. 2. — 3) Τίτ. Β΄, 9, 10.

Ἀποστόλων πδ'.

Ὁ δὲ πδ'. τῶν ἁγίων Ἀποστόλων, πᾶσαν πρόφασιν σκανδάλου περιαιρῶν, οὐκ ἐπιτρέπει δοῦλον ἀλλότριον παρὰ γνώμην τοῦ δεσπότου κληροῦσθαι, ὅλου γὰρ οἴκου ἀνατροπὴ ἔσθ' ὅτε γίνεται τοῦτο, καὶ λύπης καὶ ἀτιμίας αἴτιον τῷ δεσπότῃ· ἢ γὰρ τοῦ οἴκου τοῦτον εἶχε διοικητήν, ἢ ἐργαστηρίου προϊστάμενον, ἢ χρήματα εἰς ἐμπορίαν πεπίστευτο. Εἰ δὲ ἄξιος ὁ οἰκέτης ἱερατικοῦ κρίθείη βαθμοῦ, κοινοῦσθαι χρὴ τὸν ἐπίσκοπον τὰ περὶ αὐτοῦ τῷ δεσπότῃ, καὶ εἰ κἀκεῖνον σχοίη πειθόμενον, χειροτονεῖν ἀδεῶς τὸν οἰκέτην· καὶ ὁ μέγας γὰρ Παῦλος τὸν Ὀνήσιμον, δοῦλον ὄντα Φιλήμονος, καί τοι εὔχρηστον αὐτῷ κριθέντα εἰς διακονίαν, ὅμως ἄνευ γνώμης τοῦ δεσπότου κατέχειν οὐκ ᾤετο δεῖν, ἀλλ' ἔπεμψεν αὐτὸν πρὸς Φιλήμονα.

Συνόδου τετάρτης δ'.

Ὁ δὲ δ'. τῆς τετάρτης Συνόδου, καὶ ἀκοινώνητον εἶναι κελεύει, τὸν δεχόμενον εἰς μοναστήριον δοῦλον ἐπὶ τῷ μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου.

Νόμοι.

Ὁ δὲ νόμος, ἀρκεῖν εἰς ἐλευθερίαν, φησὶ, τοῦ δούλου, τὸ, εἰδότος τοῦ δεσπότου καὶ μὴ ἀντιλέγοντος, τῷ κλήρῳ αὐτὸν καταλεγῆναι 1).

Ἡ δὲ νεαρὰ τοῦ σοφοῦ Λέοντος, Τὸν κληρωθέντα δοῦλον, φησὶν, ἀγνοοῦντος τοῦ δεσπότου, ἀλλὰ μὴν καὶ τὸν μονάσαντα, καὶ τὸν γεγονότα ἐπίσκοπον, τῷ προτέρῳ δεσπότῃ καὶ ἄκοντα ἀποκαθίστασθαι, μηδὲν τῆς χειροτονίας ἀπονάμενον· οὐ μὴν ἀπροσδιορίστως δύναται ὁ δεσπότης ἀνακαλεῖσθαι τοῦτον, ἀλλ' ἐντὸς τριετίας μετὰ τὸ λαβεῖν αὐτὸν εἴδησιν τοῦ γεγονότος ἀριθμουμένης 2).

Ἡ τῶν προσώπων ἄκρα διαίρεσις αὕτη ἐστίν· ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι· καὶ ἐλευθερία μέν ἐστιν, εὐχέρεια φυσικὴ, ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βού-

1) Νεαρὰ ρκγ'. κεφ. ις'. — 2) Νεαρὰ Λέοντος Θ', ι. καὶ ια.

λεται, εἰ μὴ νόμος ἢ βία κωλύει 1)· δουλεία δέ ἐστιν, ἐθνικοῦ νόμου διατύπωσις, καὶ πολέμων ἐπίνοια, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίως τοῦ φυσικοῦ νόμου· ἡ γὰρ φύσις πάντας ἐλευθέρους προήγαγεν.

Πάλιν οἱ ἐλεύθεροι διαιροῦνται εἰς δύο, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους· καὶ εὐγενὴς μέν ἐστιν, ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν, καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος· ἀπελεύθερος δὲ, ὁ ἐκ δούλου ἐλευθερωθέντος γεννηθείς 2).

Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον, ἢ ἐν ταῖς ἁγιωτάταις Ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων πέντε ἐπὶ τοῦτο προσκληθέντων, ἢ καὶ μέχρι τριῶν ἀπογραφομένων, ἢ δι' ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱᾳδήποτε τελευταίᾳ βουλήσει· καὶ ἐὰν τὸν ἴδιον δοῦλον ἐλευθέρῳ προσώπῳ ζεύξῃ, ἢ παρὰ γνώμην αὐτοῦ ζευγνύμενον ἀκούσας ἀνάσχηται 3).

Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται 4).

Ὁ μηνύων τὸν φόνον τοῦ οἰκείου δεσπότου, τὴν ἐλευθερίαν ἐχέτω ὡς ἔπαθλον 5).

Ποινὰς ὑφίσταται ὁ ἀπελεύθερος μὴ τιμῶν τοὺς παῖδας τοῦ ἰδίου πάτρωνος· ὁ δὲ ὑβρίζων, καταδουλοῦται ὑπ' αὐτοῦ ὡς ἀχάριστος 6).

Τὸν πενόμενον πάτρωνα ἀναγκάζεται τρέφειν ὁ ἀπελεύθερος 7).

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ δωρεῶν.

Νόμοι.

Πᾶσα δωρεὰ τελεία γενομένη οὐκ ἀνατρέπεται, εἰ μὴ ἐξ ἀχαριστίας.

---

1) Θεοφίλ. Εἰσηγ. 1. 2 § 1. — 2) Ἐπαναγ. ΛΖ'. κεφ. ά, 6', γ'. — 3) Θεοφ. Εἰσηγ. Β'. §. 1. 3 καὶ 1. Ἐπαναγ. αὐτόθι Κ. ί. — 4) Εἰσηγ. Θεοφ. 1. 4. — Ἐπαναγ. αὐτόθι κεφ. ή. — 5) Ἐπαναγ. αὐτόθι κεφ. ί. καὶ ία'. καὶ μδ'. Βασ. ΝΖ'. μγ'. καὶ ά. Βασ. ΜΗ, ιή. — 6) ά. Θέμ. 6'. Βασ. ΜΗ. κς'. — 7) ά. Βασ. ΛΑ'. ς'.

Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς, ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον, σκαιαῖς κατ' αὐτοῦ χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ, ἢ ζημίαν μεγίστην ἐπενέγκῃ, ἢ εἰς τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάντα εἴτε ἐγγράφως ἢ ἀγράφως γεγονότα μὴ πληρώσῃ, μία γὰρ ἐκ τούτων τῶν αἰτιῶν, ἐὰν ἐν δικαστηρίῳ κατὰ σύστασιν φανερῶς ἀποδειχθῇ, ἀνατραπέσθωσαν αἱ γενόμεναι δωρεαί 1).

Οὔτε ἄνηβος, οὔτε ἄνους δύναται δωρεῖσθαι, ἐν οὐδενὶ γὰρ τούτων ἐστὶ βούλησις 2).

Ἐὰν χαρίσηταί τις ἀφήλιξ τινὶ πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν νὰ κέ. ἔτη, ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι, καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα 3).

Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα, ἢ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου, τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν ἂν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο 4).

ΑΡΧΗ ΤΟΥ Ε ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἐγγύης.

Ἀποστόλων κ'.

Ὁ μὲν κ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, μηδὲν περὶ διαφορᾶς ἐγγύης διαστειλάμενος, ἀπροσδιορίστως κελεύει τὸν ἐγγυᾶς δεδόντα κληρικὸν καθαιρεῖσθαι. Αἰδῶσι δέ τις ἐγγυᾶς ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἄλλου· καὶ εἰ μὲν εἰς δικαστήριον ἀχθεὶς ὁ κληρικὸς, καὶ ἐγγυᾶς εἰσπραττόμενος δοίη, τοῦ μὴ ἀποδρᾶναι τυχὸν, οὐδὲν περὶ τὸ οἰκεῖον ἀξίωμα ζημιωθήσεται.

---

1) ἑ. Βασ. ΜΖ'. 6'. καὶ Πρ. Ν. ΙΓ'. 3.—2) κϛ'. Βασ. ΜΖ'. ά. καὶ Πρ. Νομ. ΙΓ'. 2.—3) Προχ. Νόμ. ΑΓ'. 8.—4) Προχ. Νομ. ΑΒ'. 4.

Συνόδου τετάρτης Λ΄.

Ἐπεὶ καὶ οἱ ἐν τῇ οἰκουμενικῇ τετάρτῃ Συνόδῳ θεῖοι Πατέρες, ὡς ὁ λ΄. αὐτῆς διέξεισι κανών, καὶ οἱ συνόντες τούτοις ἐκ τῆς συγκλήτου, ἐγγύας ἀπήτησαν τοὺς ἀπ' Αἰγύπτου ἐπισκόπους προσεδρίας χάριν, ἢ τούτων ἀποροῦντας, ἐξωμοσίαν ποιήσασθαι, ὑπέρθεσιν ζητοῦντας καιροῦ, καὶ οὐδὲν οὐδενὶ βλάβος ἐκ τούτου γεγένηται· τρεισκαίδεκα γὰρ ὄντες οἱ ἐξ Αἰγύπτου ἀρχιερεῖς, γράμμασιν οὐκ ἐπείθοντο τὰ τῇ ἁγίᾳ δογματισθέντα Συνόδῳ ὑποσημήνασθαι, εἰ καὶ τοὺς περὶ τὸν Διόσκορον καὶ Εὐτυχέα, συνάμα τοῖς ἄλλοις τῷ ἀναθέματι καθυπέβαλον· παρητοῦντο γὰρ οὐχ ὡς ἀπαρεσκόμενοι τοῖς δρωμένοις, ἀλλὰ τῷ ἔθος ἔχειν, ὡς ἔλεγον, μηδέν τι πράττειν ἐκκλησιαστικὸν δίχα γνώμης τοῦ σφῶν αὐτῶν πατριάρχου, τοῦ τῆς Ἀλεξανδρείας δηλαδή, οὗ τηνικαῦτα ὁ θρόνος ἐκεῖνος χηρεύων ἦν· ἀμέλει καὶ καιρὸν ἠτοῦντο σφίσι δοθῆναι μέχρις ἂν Ἀλεξανδρείας ἐπίσκοπος γένηται. Καὶ οἱ μὲν τῆς Συνόδου θεῖοι Πατέρες, τὴν ἀναβολὴν ὑποπτεύοντες, οἷοί τε ἦσαν καθαίρεσιν ἐκείνων καταψηφίσασθαι· οἱ δὲ τῆς συγκλήτου μένειν αὐτοὺς ἐπὶ τοῦ οἰκείου σχήματος ᾤοντο δεῖν, εἰ δοῖεν ἐγγύας μὴ ἀποδρᾶναι, ἢ τούτων ἀποροῦντες, ἐξωμοσίαν ποιήσαιντο· ὅπερ ἤρεσε καὶ τῇ τῶν Πατέρων Συνόδῳ. Ἐξωμοσία δέ ἐστι, τὸ ἔξω τῶν ἑ. ὅρκων ὀμόσαι, τῶν ἐμπεριειλημμένων τῷ νόμῳ, ἢ εἰς τὴν κεφαλὴν τοῦ βασιλέως τυχὸν, ἢ εἰς τὴν οἰκείαν σωτηρίαν. Ἀλλὰ ταῦτα μὲν ταύτῃ συμβέβηκεν. Εἰ μέντοι τὰς ἐγγύας ὑπὲρ ἑτέρου τις δοίη, εἰ μὲν αἰσχροῦ κέρδους χάριν, τοῦτο καὶ τοῖς θείοις κανόσι καὶ τοῖς νόμοις ἀπείρηται· καὶ δείκνυται ἐκ τῆς ρκγ΄. Ἰουστινιανείου Νεαρᾶς οὕτω θεσπιζούσης·

Νόμος.

Ἀλλ' οὐδὲ ἀπαιτητὴν δημοσίων συντελειῶν, ἢ ἐκλήπτορα, ἢ μισθωτὴν τελῶν, ἢ ἀλλοτρίων κτήσεων, ἢ κουράτορα οἴκου, ἢ ἐντολέα δίκης, ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν, ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ, ἢ μοναχὸν ἰδίῳ ὀνόματι, ἢ τῆς Ἐκκλησίας ἢ τοῦ μοναστηρίου ὑπεισιέναι συγχωροῦμεν· ἵνα μὴ διὰ τῆς προφάσεως ταύτης, καὶ τοῖς ἁγί-

οις οἴκοις ζημία γένηται, καὶ αἱ θεῖαι ὑπηρεσίαι ἐμποδίζωνται· καὶ ταῦτα μὲν ἡ νεαρά 1).

Εἰ δὲ ἀγάπη τὸ κινοῦν εἴη, δι' ἣν καὶ τὰς ψυχὰς ἡμῶν τιθέναι ὑπὲρ τῶν ἀδελφῶν ἐντετάλμεθα, οἷον, εἰ ἑλκόμενόν τινα, καὶ ἐγγύας ἀπαιτούμενον ὑπέρ τινος παραστάσεως, καὶ τῷ μὴ δύνασθαι δοῦναι εἰς εἱρκτὴν ἀπαγόμενον, τῶν τις κληρικῶν ἐλεήσας, ἐγγύας ὑπὲρ αὐτοῦ δοίη, μὴ ὅτι καθαιρέσεως, ἀλλὰ καὶ λαμπρῶν ἀξιωθήσεται τῶν γερῶν, οἶμαι, παρὰ τῷ δικαίῳ κριτῇ, ὡς εὐαγγελικὴν πεπληρωκὼς ἐντολήν.

Νόμος.

Ὁ δὲ νόμος, τοὺς κληρικοὺς δικαζομένους, ἐγγύας κελεύει διδόναι 2).

Ἡ δὲ ῥηθεῖσα Ἰουστινιάνειος νεαρὰ, τοὺς κληρικοὺς δικαζομένους κελεύει μὴ διδόναι ἐγγύας, ἀλλ' ὁμολογίαν ποιεῖν ἐνυπόθηκον ἄνευ ὅρκου· τοὺς δὲ ἐπισκόπους δικαζομένους, μήτε ἐγγύας διδόναι, μήτε ὁμολογίαν ποιεῖν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἐθῶν τῆς Ἐκκλησίας ἀγράφων.

Βασιλείου ἐπιστολῆς.

Ὁ μέγας Βασίλειος, ἐν μὲν τῇ πρὸς Διόδωρον ἐπιστολῇ, τὸ ἄγραφον ἔθος νόμου δύναμιν ἔχειν φησὶ, διὰ τὸ ὑπὸ ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι.

Ἐν δὲ τῷ κζ'. τῶν πρὸς τὸν μακάριον Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος γεγραμμένων κεφαλαίων, τῶν ἐν τῇ Ἐκκλησίᾳ, φησὶ, φυλαττομένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἀγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς θεοσέβειαν, καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν

1) Νεαρὰ Ἰουσ. ρκγ'. κεφ. ς'. — 2) λζ' Ἐκλογ. Βασ. Γ'. ιά. Νεαρὰ Ἰουστ. ρκγ'. κεφ. κά. κβ'.

πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστάντες τὸ κήρυγμα· οἷον, τῷ τύπῳ τοῦ σταυροῦ κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας, ἢ τὸ πρὸς ἀνατολὰς ἐπεστράφθαι κατὰ τὴν προσευχήν; ὀλίγοι γὰρ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ζητοῦμεν πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς τῇ μιᾷ τῶν σαββάτων, τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν· οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλομεν, ἀλλ' ὅτι καὶ δοκεῖ πως αὕτη τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών, μία οὖσα ἡ αὐτὴ ἀνακυκλουμένη καὶ ὀγδόη, ἀναγκαίως τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτες ἀποπληροῦμεν, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς, τῶν πρὸς τὴν ἀνάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν.

Περὶ τῆς ἁγίας Πεντηκοστῆς.

Καὶ πᾶσα δὲ ἡ Πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα· ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς Πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ· διὰ δὴ τοῦτο καὶ ὁ μέγας οὑτοσὶ Βασίλειος, τὰς ἱλαστηρίους εὐχὰς, ἐπὶ τῇ τοῦ ἁγίου Πνεύματος ἐπιδημίᾳ, ἄριστα πάντων θεολογήσας τε καὶ συνθέμενος, καὶ δουλικῷ τῷ σχήματι κλίνειν γόνυ παρεγγυήσας τῷ λαῷ, τούτων ἐπ' Ἐκκλησίας ἐκφωνουμένων, τὴν αὐθεντίαν τῆς φυσικῆς θεότητος προσμαρτυρῶν κἀντεῦθεν τῷ Πνεύματι, οὐκ ᾤετο δεῖν ταύτας ὑπαναγνώσκεσθαι, τῇ τρίτῃ ὥρᾳ τῆς κυριωνύμου καὶ πεντηκοστῆς τοῦ Πάσχα ἡμέρας, καθ' ἣν ὥραν τε καὶ ἡμέραν τὸ πανάγιον Πνεῦμα τοῖς Ἀποστόλοις ἐπιδεδήμηκεν· οὐ γὰρ ἦν σῶζον λόγον, τὸν ὑποφήτην τῶν ὀργίων τοῦ Πνεύματος, καὶ τῆς Ἐκκλησίας τὸν νομοθέτην, τῆς Κυριακῆς ὁμοῦ καὶ Πεντηκοστῆς τὰ ῥηθέντα καταλύειν πρεσβεῖα, μεγάλων μυστηρίων ἐξηρτημένα. Ταύτῃ τοι καὶ τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας, τούτων ἐταμιεύσατο τὴν ἀνάγνωσιν, καθ' ἣν ἥ τε κυρία τῶν ἡμερῶν καὶ ἡ Πεντηκοστὴ τέλος ἤδη λαμβάνει, αἱ δὲ τῆς δευτέρας

ἡμέρας ἀρχαὶ καταβάλλονται, ἀπὸ ἑβδόμης ὥρας τὰς ἀρχὰς τῆς δοτεραίας ἑκάστης εἰωθὸς 1) δήπου λογίζεσθαι· τοῦτο γὰρ οὐχ ὅπως τῇ Ἐκκλησίᾳ, ἀλλ' ἤδη καὶ τοῖς πολιτικοῖς δοκεῖ νόμοις, καὶ τοῖς τῇ ἀστρολογίᾳ ἐσχολακόσιν· εἰ καὶ πλάνον τοῖς πολλοῖς ἐνῆκεν ἡ τῶν εὐχῶν ἐπὶ τῆς ἑσπέρας ἀνάγνωσις, τῇ δευτέρᾳ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν ἐπιγράφεσθαι, ἡ δέ ἐστι μεθέορτος, ὥς γε δὴ καὶ αἱ καθεξῆς ἡμέραι τῆς αὐτῆς ἑβδομάδος· καθ' ἣν τε ἡμέραν ὁ παλαιὸς ἐδίδετο νόμος, (Πεντηκοστὴ δὲ ἦν αὐτὴ,) κατ' ἐκείνην καὶ ἡ τοῦ Παρακλήτου ἐπιφοίτησις, καὶ ἕνα καὶ τὸν αὐτὸν ἐντεῦθεν τῆς παλαιᾶς καὶ τῆς νέας νομοθέτην γνωρίζεσθαι· καὶ αὖθις φησί. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν, ἔργῳ δείκνυμεν, ὅτι διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας αὖθις τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν. Τὰ δὲ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; οὐ γὰρ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ πρόλεγομεν, καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον ἰσχύν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες· τὸ εὐλογεῖν τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον, ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ ἐλαίου χρίσιν, καὶ τὰ ὅσα περὶ τὸ βάπτισμα· τὸ ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ Γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριέργῳ σιγῇ οἱ Πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι; ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτου πῶς ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασιν; οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων ἐθῶν παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν, εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν· ἄλλο μὲν γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα· τὰ μὲν γὰρ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται· σιω-

1) ἐντεῦθεν 1875.

πῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ χρῆται ἡ Γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν, πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές· καὶ ἀποστολικὸν δὲ οἶμαι, τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. Ἐν γοῦν τῇ πρὸς Θεσσαλονικεῖς πρώτῃ, Ἄρα οὖν ἀδελφοὶ στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγων, εἴτε δι' ἐπιστολῶν 1), τοῦτο πάλιν ὁ θεῖος ἐξηγούμενος Χρυσόστομος, Ἐντεῦθεν, φησὶ, δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτά ἐστιν ἀξιόπιστα, ὥστε καὶ τὴν παράδοσιν τῆς Ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα· παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἐθῶν ἑλληνικῶν.

Συνόδου ἕκτης ξϛ'.

Ὁ ξϛ'. τῆς ς'. Συνόδου κανὼν, τὸ ἑλληνικοῖς ἔθεσι τοὺς πιστοὺς προσανέχειν, τῶν ὀλεθρίων ἡγεῖται. Καλάνδας γοῦν, καὶ βοτὰ, καὶ βρουμάλια, καὶ τοιαῦτα μέμνηται ἄπτα, ἐν οἷς τελετὰς ἄγειν τοῖς Ἕλλησιν εἴθιστο. Καὶ ἡ μὲν τῶν καλανδῶν ἑορτὴ, ἐτησίως ἐν τῇ ά. τοῦ Ἰανουαρίου ἐτελεῖτο μηνὸς, τῷ τηνικαῦτα τὴν σελήνην ἀνακαινίζεσθαι, καὶ τὸν θεμέλιον ταύτης αὐτόθεν ψηφίζεσθαι, οἰομένους μετ' εὐθυμίας τὸν ὅλον διάγειν χρόνον. Εἰς τρία δὲ διήρουν οἱ Ῥωμαῖοι τῶν μηνῶν τὰς ἡμέρας· καὶ τὰς μὲν ὠνόμαζον καλάνδας· τὰς δὲ, νόννας· τὰς δὲ, εἰδούς· τὰ δέ γε βοτὰ τῷ Πανὶ, ὡς ὁ λῆρος ἔχει, ἀνεῖντο, οἷα τῶν βοτῶν, ἤτοι τῶν προβάτων ἐφόρῳ· τὰ μέντοι βρουμάλια, ἢ ῥουσάλια, καὶ τὸ τήμερον εἶναι μετὰ τὸ ἅγιον Πάσχα ἐν τοῖς ἀγρόταις γενόμενα ἴδοι τις ἄν, ἅπερ ἐτελοῦντο ποτὲ τῷ Διονύσῳ παρὰ τοῖς Ἕλλησι· βροῦμος γὰρ παρ' αὐτοῖς τοῦτο ἐπίθετον. Περιαιρεθῆναι δὲ βούλεται ὁ κανὼν καὶ τὴν ἐν τῇ ά. τοῦ Μαρτίου τελουμένην ἑορτὴν, (ἑλληνικὴ δὲ ἦν καὶ αὕτη,) ὑπὲρ τῆς τῶν ὡρῶν τάχα καὶ τοῦ ἀέρος εὐκρασίας. Κωλύει καὶ τὰς τῶν γυναίων δημοσίας ὀρχήσεις, ὡς πρὸς ἀκολασίαν ἐρεθιζούσας· καὶ

1) Ε'. Θεσσ. Β', 15.

τὸ γυναικείαν στολὴν τοὺς ἄνδρας ἐνδύεσθαι, ἢ γυναῖκας τὴν ἀνδράσιν ἁρμόδιον, ὥς γε δὴ ἔδρων οἱ τῷ Διονύσῳ βακχεύοντες· ἔτι τε προσωπεῖα κωμικὰ ὑποδύεσθαι, εἰς σκώμματα ἔστιν ὧν ἐπιτηδευόμενα· ἢ τραγικὰ, τὰ περίπαθη, καὶ θρήνους ἐμποιοῦντα· ἢ σατυρικὰ, τὰ εἰς τιμὴν τῷ Διονύσῳ τελούμενα παρὰ Σατύρων καὶ Βάκχων. Τὸ δὲ ἐν τοῖς ληνοῖς τὸ τοῦ Διονύσου ἐπιλέγειν ὄνομα, καὶ τοῖς πίθοις ἐπιχεομένου τοῦ οἴνου ἐπικαγχάζειν; πῶς οὐκ ἀτεχνῶς δυσσεβές; Ὁ τοίνυν κανὼν, τοὺς ἐν γνώσει τοιοῦτόν τι ποιοῦντας, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι προστάττει· λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Συνόδου ἕκτης ξέ.

Ὁ δὲ ξέ. καὶ τὸ κατὰ τὰς νουμηνίας πυρκαϊὰς ἐν ταῖς πλατείαις ἀνάπτειν, καὶ ὑπεράλλεσθαι τούτων, ὡς ἀσεβείας ἠρτυμένον ἑλληνικῆς, ἐξαιρεθῆναι τελέως κελεύει· ὃς δὲ τοῦτο ποιῶν φωραθείη, τοῦτον μὲν κληρικὸν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Ἐκ δὲ τῆς τετάρτης τῶν Βασιλειῶν, ἀπειρημένον εἶναι τοῦτο καὶ τῷ παλαιῷ δείκνυσι νόμῳ, ἔνθα, φησὶ, Καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον τοῦ Κυρίου τοῦ παροργίσαι αὐτόν 1). Ἐν μὲν οὖν ταῖς νουμηνίαις, εἴθιστο καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἑορτάζειν καὶ γόνυ κλίνειν, ὡς τὸ μηνιαῖον διάστημα διέλθοι εὐτυχῶς, περὶ ὧν καὶ ὁ Θεὸς εἴρηκέ που διὰ τοῦ προφήτου, Τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου 2), ὥσπερ οὖν καὶ ἐν τῷ τέως Θεοῦ χάριτι, εὐχαὶ πρὸς Θεὸν ἱλαστήριοι πρὸς τοῦ πιστοῦ λαοῦ γίνονται, καὶ ἁγιασμοὶ, καὶ τῷ ὕδατι τῆς εὐλογίας χριόμεθα· πυρκαϊὰς δὲ ἀνάπτοντες ὑπερήλλοντο, ἴσως οἰόμενοι, τὰ μὲν φθάσαντα δήπουθεν δυσχερῆ, ὡσπερεὶ κατακαιόμενα φροῦδα γίνεσθαι, αἴσια δὲ ἀνακύπτειν εἰσέπειτα· στρατιὰν μέντοι τοῦ οὐρανοῦ τοὺς ἀστέρας νοητέον. Καὶ οἱ μὲν θεῖοι οὗτοι Πατέρες, τὸ διήγαγεν ἐν πυρὶ, ἀντὶ τοῦ

1) Βασιλειῶν Β'. ΚΑ'. 5. 6. — 2) Ησ. Α. 14.

ὑπερπηδᾶν τοῖς τέκνοις ἐπέταττεν, ἐξελάβοντο· ὁ δὲ ἅγιος Κύριλλος Ἀλεξανδρείας, τὸν προφήτην ἐξηγούμενος Ἡσαΐαν, ἀντὶ τοῦ, ὠλοκαύτωσεν αὐτοῦ τοῖς δαίμοσιν, ἡρμήνευσε. Κληδὼν δέ ἐστιν ἡ διά τινων σημείων μαντεία, οὗτινοσοῦν ἐθέλοντος τὴν ἰδίαν τύχην καταμαθεῖν· οἰωνισμὸς δέ ἐστι τὸ ἐπιτηρεῖν τὰς τῶν ὀρνίθων πτήσεις τε καὶ κλαγγὰς, ὃ καὶ οἰωνοσκοπία παρὰ τοῖς Ἕλλησιν ὠνομάζετο· ἐγγαστρίμυθοι δὲ καὶ γνῶσται λέγονται οἱ σατανικῶς ἐνθουσιῶντες, καὶ προλέγοντες δῆθεν τὰ ἄγνωστα, οἷαί εἰσιν αἱ τῶν Ἀθιγγάνων γυναῖκες, καὶ αἱ διὰ τῶν κριθῶν μαντευόμεναι. Εἰ τοίνυν παρὰ τοῖς δεξαμένοις τὸν ἀτελέστερον νόμον πονηρὰ ταῦτα ἐδόκει, καὶ τὴν ὀργὴν Κυρίου ἠρέθιζε, πόσῳ μᾶλλον τοῖς τὸν τελεώτερον καὶ πνευματικώτερον νόμον παραλαβοῦσιν ἡμῖν, ὡς ἄθεσμα καὶ ἀσεβῆ παντάπασιν ἀπεστράφθαι προσήκει;

Ὁ δὲ οά. καὶ τοῖς διδασκόμενοις τοὺς πολιτικοὺς νόμους ἀφορισμὸν ἐπανατείνεται, εἰ ἔτι τοῖς ἑλληνικοῖς ἔθεσι κεχρημένοι, στολὰς ἐνδύσονται, ἰδίας μὲν οἱ τῶν μαθημάτων ἀρχόμενοι, ἰδίας δὲ οἱ τῶν τελεωτέρων ἐρικόμενοι, τοῖς τε ἐπὶ θεάτρων ἀνιοῦσιν, ἀλλὰ δὴ καὶ τὰς λεγομένας κυλίστρας παίζουσιν, ὁποῖαί ποτ' ἂν ἦσαν. Ταῦτα γὰρ ἅπαντα εὐχαῖς τῶν θεσπεσίων τούτων νομοθετῶν τὸ τήμερον εἶναι σεσίγηται.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ ἐθῶν πολιτικῶν.

Νόμος.

Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς μᾶλλον πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ· ἂν δὲ μηδὲ τοῦτο ᾖ, τῶν συνετωτέρων ἅμα καὶ πλειόνων ἡ γνώμη κρατείτω. Τότε κεχρήμεθα τῇ συνηθείᾳ τῆς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἡ τοιαύτη ἐβεβαιώθη· διὸ καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα, καὶ ἐπὶ πολλοὺς ἐνιαυτοὺς φυλαχθέντα, οὐχ ἧττον τῶν ἐγγράφων κρατεῖν εἴωθεν 1).

1) κγ΄. καὶ μά. Βασ. Β΄. ί.—Ἐπαναγ. Β΄. Κ. ί.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ εἰρηνικῶν γραμμάτων.

Ζήτει τὸ θ'. Κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ εἰκόνων ἁγίων.

Συνόδου ἕκτης πϐ'.

Ὁ πϐ'. τῆς ϛ'. Συνόδου κανών, Τοὺς τύπους, φησὶ, τοῖς χρώμασι γράφειν, πεφοιτηκότων ἤδη τῶν πρωτοτύπων, ἀπειρόκαλον ἂν εἴη καὶ περιττόν. Ἔνθεν τοι καὶ τὸν ἐν τῷ τύπῳ ἀμνὸν, θεσπίζει μὴ ζωγραφεῖσθαι, οὗ τῷ αἵματι ὁ μέγας πάλαι Μωσῆς, τὰς φλιὰς χρίων, οὐκ εἰσιτητὰ ἐτίθει τὰ ἔνδον τῷ ὀλεθρίῳ δαίμονι· μηδὲ τὸν Βαπτιστὴν δακτύλῳ τοῦτον ὑποδεικνύοντα, καὶ φωνοῦντα τοῖς λαοῖς, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ· ἀλλὰ τὰς μὲν γραφὰς διαγράφειν τῶν τύπων· τὸν δὲ ἀνθρώπινον χαρακτῆρα τοῦ Θεοῦ Λόγου, ἀναστηλοῦν ἐν εἰκόσι· τοῦτον γὰρ ὁρῶντες καὶ προσκυνοῦντες, τῆς αὐτοῦ συγκαταβάσεως τὸ ἀπόῤῥητον ἐκ τῶν δυνατῶν λογιζόμεθα, καὶ τὸ ὑπὲρ ἔννοιαν τῆς ταπεινότητος, τά τε ἐν τῇ σαρκὶ αὐτοῦ πολιτεύματα, τὰ πάθη, τὸν τῆς ζωῆς πρόξενον θάνατον, καὶ ὅσοις σεσώσμεθα· σεπτοὶ μὲν γὰρ καὶ οἱ τύποι, τιμητέον δὲ μάλιστα τὴν ἀλήθειαν, καὶ ταῦτα ἡμῖν ἐπιχωριάσασαν. Ἐντεῦθεν δείκνυται μὴ εἶναι προσῆκον, περιστερὰς ἐπ' Ἐκκλησίας ἀντὶ τοῦ ἁγίου Πνεύματος ἀπολύειν· ἢ, ἀντὶ τοῦ ἀστέρος, κηρὸν ἀνάπτειν, καὶ ἀντὶ τῆς ἀποῤῥήτου γεννήσεως, παῖδα καὶ στρωμνὴν ὑποτιθέναι.

Φωτίου Πατριάρχου καὶ Θεοδώρου τοῦ Στουδίτου.

Εἰκὼν λέγεται παρὰ τὸ ἐοικέναι· ἄλλο φυσικὴ εἰκὼν, καὶ ἄλλο μιμητική· ἡ μὲν, οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικὴν, ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα· μία μὲν γὰρ τούτων φύσις, δύο δὲ ὑποστάσεις· ἡ δὲ τοὐναντίον, οὐχ ὑποστατικὴν διαφορὰν ἔχουσα πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ φυσικὴν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν· μία μὲν γὰρ ἡ

ὑπόστασις τούτων, δύο δὲ φύσεις, ἄλλη γὰρ φύσις ὑλογραφίας, καὶ ἄλλη Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, καθ' ὃ καὶ περιγράφεται, καὶ ἀρχέτυπον εἰκόνος καθίσταται. Προσκυνουμένης τῆς εἰκόνας, ὁ Χριστὸς προσκυνεῖται, οὗ ἐστιν ὁμοίωσις, καὶ οὐχὶ ἡ ὑποδεξαμένη τὴν ὁμοίωσιν ὕλη, ὡς ἐπὶ τῆς φαινομένης ἐν τῷ κατόπτρῳ εἰκόνος· ταύτῃ γὰρ προσφυόμενοι, οὐ τὴν ὕλην, τὴν δὲ εἰκόνα περιπτυσσόμεθα· καὶ ἀφανισθέντος τοῦ ἐκτυπώματος, ἐφ' ᾧ ἡ προσκύνησις, ἡ ὕλη μεμένηκεν ἀπροσκύνητος, μηδέν τι κεκοινωνηκυῖα τῷ ὁμοιώματι· ἀλλὰ καὶ ἡ ἐν τῷ δακτυλίῳ σφραγὶς, τῇ ἐπινοίᾳ οὖσα τῆς ὕλης κεχωρισμένη, οὐδὲν πρὸς τὴν ὕλην ταῖς ἀληθείαις ἔχει κοινὸν, εἰ καὶ περὶ τὴν ὕλην ἡ σφραγὶς τῆς εἰκόνος ὑφέστηκεν.

Παντὸς μιμητικῶς εἰκονιζομένου, οὐχ ἡ φύσις, ἀλλ' ἡ ὑπόστασις εἰκονίζεται· καὶ διὰ τοῦτο ταὐτὸν τῷ ἀρχετύπῳ ἡ εἰκὼν αὐτοῦ, οὐ τῇ φύσει, ἀλλὰ τῇ ὑποστάσει, ἤγουν τῇ μιμήσει τῆς ὑποστάσεως.

Τὰς ἱερὰς εἰκόνας ἀναστηλοῦμεν, ἵνα ταύτας ὁρῶντες, δι' αὐτῶν δοκῶμεν ὁρᾷν τὰ τούτων ἀρχέτυπα, καὶ γίνωνται ἡμῖν ὑπομνήματα καὶ παρηγορία τοῦ πόθου, τοῦ πρὸς τὰ τούτων πρωτότυπα· ὅσον γὰρ συνεχῶς αἱ εἰκόνες ὁρῶνται, τοσοῦτον οἱ ταύτας ὁρῶντες διανίστανται πρὸς τὴν τῶν ἀρχετύπων μνήμην καὶ ἐπιπόθησιν.

Ἡ μὲν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρεία, τῇ μακαρίᾳ Τριάδι παρὰ τῶν ὀρθοδόξων ἀπονενέμηται· ταῖς δὲ ἁγίαις εἰκόσιν οὐ λατρεία πάντως, ἀλλὰ προσκύνησις, καὶ ἀσπασμὸς, καὶ τιμή· εἰ γὰρ καὶ ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἀλλ' ἡ λατρεία τῆς μακαρίας μόνης ἐστὶ Τριάδος, καὶ οὐ τῶν σεπτῶν εἰκόνων, ἵνα μὴ κτισματολάτραι, καὶ ὑλολάτραι δόξωμεν.

Ἐπ' αὐτοῦ μὲν τοῦ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις καὶ φυσική· ὁ προσκυνῶν γὰρ αὐτὸν, συμπροσκυνεῖ καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὴν ἐν Τριάδι μίαν φύσιν, ὅπερ ἐστὶν ἡ τριαδικὴ προσκύνησις καὶ λατρεία· ἐπὶ δὲ τῆς εἰκόνος τοῦ Χριστοῦ, σχετικὴ ἡ προσκύνησις, καὶ ὁμώνυμος· ὁ προσκυνῶν γὰρ αὐτὴν, οὐ συμπροσκυνεῖ τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἀλλὰ μόνον

τὸν ἐν αὐτῇ Χριστὸν, τὸν διὰ τὸ σαρκωθῆναι εἰκονιζόμενον κατὰ τὴν σωματοειδῆ θέαν αὐτοῦ, ὅπερ ἐστὶ σχετικὴ προσκύνησις καὶ ὑποστατική.

Ὁ μὲν Χριστὸς ὁρᾶται ἐν τῇ εἰκόνι αὐτοῦ, αὕτη δὲ ὑφίσταται ἐν αὐτῷ, ὅπερ ἡ σκιὰ τῷ σώματι, οὗ καὶ μερισθῆναι ταύτην ἀμήχανον, κἂν μὴ διὰ παντὸς αὕτη φαίνεται· ἀλλ' ὥσπερ ἡ σκιὰ τῇ ἐπιλάμψει δείκνυται τοῦ ἡλίου, οὕτω καὶ ἡ Χριστοῦ εἰκὼν τῇ διατυπώσει τῆς ὕλης.

Οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν, οὐδὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν αὐταῖς ἔχομεν, οὐδὲ τὸ θεῖον σέβας αὐταῖς ἀπονέμομεν, ὡς οἱ Ἑλλήνων παῖδες, ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ἡμῶν ψυχῆς, ἣν ἔχομεν εἰς τὰ πρωτότυπα, διὰ τῆς ταιαύτης προσκυνήσεως ἐμφανίζομεν· ὅθεν τοῦ χαρακτῆρος λυθέντος, ὡς ξύλον ἀργὸν, τὴν ποτὲ κατακαίομεν εἰκόνα.

Περὶ σταυροῦ.

Τὸν τοῦ σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες, ἡνίκα τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσαιεν, ὡς ξύλον προσκυνοῦσι, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον τοῦ σταυροῦ διαλύσαντες, ταῦτα νομίζειν ἀργὰ ξύλα, καὶ τὸν ἄπιστον ἐπιστομίζειν, ὅτι οὐ τὸ ξύλον, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον σεβόμεθα.

Σὺν φόβῳ καὶ ἀληθείᾳ προσιτέον, καὶ προσκυνητέον τὰς ἁγίας εἰκόνας, καὶ πιστευτέον χάριν θείαν ἐπιφοιτᾷν ἐν αὐταῖς, ἁγιασμοῦ μεταδοτικήν.

Διαφορὰ τῶν σεπτῶν εἰκόνων πρὸς τὰ εἴδωλα.

Ἡ σεβασμία εἰκὼν πρὸς τὸ βδελυκτὸν εἴδωλον ταύτην ἔχει τὴν διαφοράν, ὅτι τῶν μὲν εἰδώλων τὰ πρωτότυπα ψευδῆ τυγχάνει, θεῶν γὰρ ἐκτυπώματα εἶναι λεγόμενα, οὐ θεῶν ἀλλὰ δαιμόνων εἰσὶν, ὡς φησιν ὁ προφήτης, ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια· τῶν δὲ τιμίων εἰκόνων ἀληθῆ τὰ ἀρχέτυπα πάντα· τῆς μὲν γὰρ, ὁ Χριστός· τῆς δὲ, ἡ Θεομήτωρ, τῆς δὲ, ὁ Πρόδρομος· καὶ ἑκάστης ἕκαστος τῶν ἄλλων ἁγίων· ὧν δὲ τὰ πρωτότυπα ψευδῆ, τούτων οὐδὲ εἰκόνες, οὐδὲ εἴδωλα λέγοιντ' ἂν δικαίως, ἀλλ' ἁπλῶς ἔργα χειρῶν ἀνθρώπων μάταια καὶ ἄχρη-

στα, καὶ γῆς ὕλη κωφή· καὶ ταῖς μὲν εἰκόσιν αἱ μορφαὶ τῶν πρωτοτύπων ἐμφαίνονται, τοῖς εἰδώλοις δὲ, οὐδαμῶς· τοῦ μὲν γὰρ εἰδώλου τοῦ Διὸς πρωτότυπον ὁ αἰθήρ· τῆς δὲ Ἥρας, ὁ ἀήρ· τοῦ Ποσειδῶνος, τὸ ὕδωρ· τῆς Δήμητρας, ἡ γῆ· τοῦ Ἀπόλλωνος, ὁ ἥλιος· τῆς Ἀρτέμιδος, ἡ σελήνη· τοῦ Ἄρεως, ὁ θυμός· τοῦ Διονύσου, ἡ μέθη· τῆς Ἀφροδίτης, ἡ λαγνεία· καὶ τῶν ἄλλων ὁμοίως· καὶ μᾶλλον τῶν δώδεκα τῶν παλαιοτέρων· τὰ μὲν οὖν εἴδωλα τούτων πάντων ἀνθρωπόμορφα· τὰ δὲ λεγόμενα πρωτότυπα τῶν τοιούτων εἰδώλων, τὰ μὲν ἑτερόμορφα, λέγω δὴ τὰ στοιχεῖα, τὰ δὲ παντελῶς ἄμορφα, φημὶ δὴ τὰ πάθη· πάντα δὲ ἄζωα καὶ ἀναίσθητα.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ ἐμπρησμοῦ.

Νόμος.

Εἴ τις καλάμην τοῦ ἰδίου χωραφίου βουλόμενος καῦσαι, ἐνέβαλε κατ' αὐτοῦ πῦρ, τὸ δὲ πῦρ καὶ περαιτέρω προελθὸν τὰ ἀλλότρια κατέκαυσε χωράφια, ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν· καὶ εἰ μὲν κατὰ ῥᾳθυμίαν ἢ ἀπειρίαν τοῦ ἀνάψαντος τὸ πῦρ τοῦτο γέγονεν, ἢ εἰ μὴ παρεφυλάξατο πάσῃ δυνάμει, τοῦ μὴ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας ὁ τοιοῦτος καὶ ῥᾳθυμήσας καταδικάζεται· εἰ δὲ πάντα μὲν ἐκεῖνος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαφθέντα μετήνεγκεν, ἀνεύθυνος ὁ τὸ πῦρ ἀνάψας διατελεῖ 1).

Ἐὰν ἀπό τινος τύχης οἰκός τινος ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ συμπαρακείμενα ἐμπρήσῃ, οὐδὲν ὑπόκειται ὁ κατ' ἀρχὰς ἐμπρησθείς. Ὁ κατὰ τύχην γενόμενος ἐμπρησμὸς συγγινώσκεται 2).

Ὁ οἰκίαν ἢ σῶρὸν σίτου καύσας ἐν εἰδήσει, τυφθεὶς πρότερον πυρίκαυστος γίνεται 3).

---

1) Ἐκλογὴ ΙΖ΄. 41. Προχ. Ν. ΑΘ΄. 75. — 2) Ἐκλογ. ΙΖ΄. Πρόχ. Ν. αὐτόθι 76. — 3) Πρόχ. Ν. ΑΘ΄. 18.

Ὁ κατὰ δόλον καύσας οἰκόν τινος, κεφαλικῶς τιμωρεῖται.

Εἴ τις ἐμπρησμοῦ γενομένου, διὰ τὸ σῶσαι τὸν ἴδιον οἶκον, καταστρέψει τὸν τοῦ γείτονος, ἀργεῖ ὁ Ἀκουΐλιος, ἤτοι ἡ ζημία, εἴτε τὸ πῦρ ἔρθασεν, εἴτε προεσβέσθη 1).

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ ἐμφυτεύσεως.

Ζήτει ἐν τῷ ις΄. κεφ. τοῦ παρόντος στοιχείου κανόνα ιϐ΄. τῆς ζ΄. Συνόδου.

Νόμος.

Ἡ δὲ ρκ΄. Ἰουστινιάνειος νεαρὰ, Ἀπαγορεύομεν, φησὶ, τοῖς οἰκονόμοις, καὶ διοικηταῖς, καὶ χαρτουλαρίοις τῶν εὐαγῶν οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσί τε καὶ παισὶν, ἢ κατὰ γένος ἄλλως προσήκουσιν, ἐμφυτεύσεις τε καὶ μισθώσεις, ἤγουν ὑποθήκας ἀκινήτων πραγμάτων, τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ὑπεισιέναι, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτων προσώπων, ἐπεὶ ἀνίσχυρον εἶναι κελεύομεν τὸ συνάλλαγμα· καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ ἐκμισθωσάμενον τοῦ ἐμφυτευθέντος πράγματος, ζημιοῦσθαι δὲ καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν· τοὺς δὲ τὴν τοιαύτην ἐμφύτευσιν διαπραξαμένους οἰκονόμους, τοσοῦτον ζημιοῦσθαι καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τιμῆς ὑπέστη ζημίαν. Εἰ δὲ ἡ ἐμφύτευσις κατὰ λόγον πραχθείη, τὸν ἐμφυτευτὴν τὸ πάκτον τελεῖν κατὰ τὴν δύναμιν τῶν ἐμφυτευτικῶν συμβολαίων 2).

Αἱ κτήσεις τῶν εὐαγῶν οἴκων δύνανται μισθοῦσθαι καὶ ἐμφυτεύεσθαι, πάντων τῶν μοναχῶν ἢ τῶν κληρικῶν ἐν τῷ συμβολαίῳ τῆς πράξεως συναινούντων, καὶ φανερούντων συμφέρειν τὸ γινόμενον 3).

Ὁ ἐμφυτευτὴς καὶ ἐκμισθωτὴς, ἐπὶ διετίαν ἢ τριετίαν ἀγνω-

1) ϛ΄. Βασ. Ξ΄. κ΄. — 2) Νεαρ. ΡΚ΄. κ. ἑ. — ϐ΄. Βασ. Ἑ. ϛ΄. — 3) Νεαρ. ρκ΄. κ. ϛ΄. — ς΄. Βασ. Ἑ. ϛ΄.

μονῶν περὶ τὸ ἐτήσιον πάκτον, ἢ χεῖρον ποιῶν τὸ πρᾶγμα, ἐκβαλλέσθω τῆς ἐμφυτεύσεως, μὴ δυνάμενος περὶ τῆς ἐργασίας κινεῖν τοῦ ἀγροῦ· οὐκ ἐκβάλλεται δὲ, ἐφ' ὅσον δίδωσι τὸ ὁρισθὲν πάκτον, εἰ καὶ παρὰ τοῦ δημοσίου ἐνεφυτεύσατο 1).

Οὐ δύναται ἐκβαλεῖν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, κἂν ἄλλος πλείονα τούτου εἰσαγάγῃ μισθώματα, δηλονότι πρὸ τοῦ ὡρισμένου χρόνου, καὶ ἐὰν εὐγνωμονῇ ἐκεῖνος περὶ ὃ ὡμολόγησε δοῦναι μίσθωμα 2).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἐνδυμάτων ἁρμοδίων τοῖς ἱερωμένοις.

Συνόδου ἕκτης κζ'.

Ὁ κζ'. τῆς ς'. Συνόδου κανών, Μηδεὶς τῶν ἐν κλήρῳ κατειλεγμένων, φησὶν, ἀνοίκειον ἀμφιεννύσθω χιτῶνα, μήτ' ἐν πόλει διάγων, μήτε μὴν ἐν ὁδῷ βαδίζων, ἀλλὰ στολῇ κεχρήσθω, ἣν ὁ χρόνος καὶ ἡ συνήθεια συμβαίνειν τῷ τῶν κληρικῶν ἐδίδαξε τάγματι· ὁ δὲ περὶ ἐλαχίστου τιθέμενος τοῦ προσήκοντος τούτου σχήματος τὴν συνήθειαν, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

Συνόδου ἑβδόμης ις'.

Ὁ δὲ τῆς ζ'. ις'. οὐκ οἴεται δεῖν ἱερατικὸν ἄνδρα πολυτελέαιν ἱματίοις κεχρῆσθαι· πᾶσα γὰρ, φησὶ, βλακεία καὶ κόσμησις σωματικὴ, ἀλλοτρίως τῆς ἱερᾶς ἔχουσι τάξεως. Τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ κληρικοὺς ἀνθηραῖς ἐσθῆσι, δέον ἑαυτοὺς διορθοῦσθαι, ἐπιτιμᾶσθαι δὲ τῷ κακῷ ἐπιμένοντας· ὡσαύτως καὶ τοὺς τὰ μύρα χριομένους· πρὸς δὲ, καὶ τοὺς ἐγγελῶντας ταῖς τὴν εὐτελῆ καὶ σεμνὴν περικειμένοις ἀμφίεσιν, τοῖς προσήκουσιν ἐπιτιμίοις διορθοῦσθαι. Ἐκ γὰρ τῶν ἄνωθεν χρόνων, πᾶς ἱερατικὸς ἀνὴρ μετὰ μετρίων καὶ σεμνῶν ἀμφίων ἐπολιτεύετο· πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περιεργείας ἔχει κατηγορίαν, ὁ μέγας ἔφη Βασίλειος· ταύτῃ τοι οὐδ' ἐκ σηρικῶν ὑφασμάτων ἐσθῆτας ἐνε-

1) Νεαρὰ ρκ'. κ. 8. — ἰ. Βασ. Ε. ϛ'. — 2) πγ'. Βασ. Κ'. ά.

δέδυντο, ὑφαντῶν περιεργείᾳ πεποικιλμένας, οὐδέ τινα προσετίθεσαν ἑτερόχροα ἐπιβλήματα τοῖς ἄκροις τῶν ἱματίων· ἤκουσαν γὰρ τῆς θεοφθόγγου γλώττης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσί. Ζήτει τὸ κδ΄. κεφ. τοῦ Γ στοιχείου.

Λαοδικείας κδ΄, κγ΄.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ Συνόδου κδ΄, καὶ ὁ κγ΄, Οὐ δεῖ, φησι, τόν ὑπηρέτην, ἤτοι ὑποδιάκονον, ὡράριον περιβεβλῆσθαι, ἀλλὰ τῶν τῆς Ἐκκλησίας θυρῶν ἔχεσθαι, ὥστε τοὺς κατηχουμένους καὶ τοὺς ἐν μετανοίᾳ εἰσάγειν τε καὶ ἐξάγειν· διά τοι τοῦτο καὶ τὴν τήμερον παρ' αὐτοῖς ἄδεται τὸ, Ὅσοι πιστοί· ἵστασθε δηλονότι, τὴν τῶν ἁγίων μυστηρίων θυσίαν ὀψόμενοι· ἔξιτε δὲ οἱ τούτων ἀμύητοι. Ἀλλὰ μηδὲ ἀναγνώστας ἢ ψάλτας τοῦτο περικεῖσθαι, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν· τοῖς μὲν γὰρ, τοῦ ψάλλειν ἔμελε μόνον· τοῖς γε μὴν ἀναγνώσταις, οὐ τούτου, τοῦ δέ γε τὰς θείας Γραφὰς εἰς κοινὴν ἀναγινώσκειν ἀκρόασιν, εἰ καὶ νῦν ἐπ' ἐλάχιστον αὐτοῖς τοῦτο γίνεται· πολλὰ γὰρ τῶν παλαιῶν ἐθῶν εἰς ἑτέραν τάξιν μετέβαλε· τοῖς διακόνοις γὰρ δέδοται καὶ μόνοις τῷ λαιῷ 1) τῶν ὤμων τοῦτο περιτιθέναι· ἐκλήθη δὲ ὡράριον ἐκ τοῦ ὡρῶ, τὸ φυλάσσω καὶ ἐπιτηρῶ· οἱ γὰρ ἐξαρτῶντες τοῦτο διάκονοι, τοῖς ἱερουργοῦσι παριστάμενοι, καὶ τὰς τῆς ἱερᾶς τελετῆς ἐπιτελοῦντες εὐχὰς, τῷ ὡραρίῳ τοῖς ἐν τῷ ἄμβωνι σημαίνουσι διακόνοις τὸν καιρὸν τῆς ὀφειλούσης γίνεσθαι ἐκφωνήσεως ἐν τῇ ἐκτενεῖ τῶν αἰτήσεων τῶν τε κατηχουμένων καὶ τῶν πιστῶν.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ ἐνεχύρων.

Ζήτει τὸ β΄. Κεφάλαιον τοῦ Δ στοιχείου.

1) λαῷ Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ ὧν ἔχουσιν αἱ Ἐκκλησίαι καὶ οἱ ἐπίτροποι πρεσβείων καὶ προνομίων.

Ἀποστόλων λδ'.

Ὁ λδ'. τῶν ἁγίων Ἀποστόλων κανών, Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους πράττειν μὲν ἰδίᾳ κελεύει τὰς τῶν ὑποκειμένων αὐτοῖς Ἐκκλησιῶν, καὶ λοιπῶν χωρῶν διοικήσεις· περιττῆς δὲ ζητήσεως ἀναφυείσης, τῆς σπανίως μὲν κινεῖσθαι συμβαινούσης δηλαδὴ, εἰς κοινὴν δὲ τῆς Ἐκκλησίας ἀφορώσης κατάστασιν, εἴτε περὶ δογμάτων δεῆσαν ἐξητακέναι τυχὸν, εἴτε ἀρχιερέα χειροτονῆσαι, ἔνθα οὔπω πρότερον ἦν, εἴτε κοινὸν διορθώσασθαι σφάλμα, εἴτε τι τοιόνδε, εἰδέναι χρὴ τοὺς ἐπισκόπους τὸν παρ' αὐτοῖς τὰ πρῶτα φέροντα μητροπολίτην, καὶ ὡς κεφαλὴν τοῦ τῆς Ἐκκλησίας σώματος τοῦτον ἡγεῖσθαι, καὶ συνιόντας περὶ τῶν ἐμπιπτουσῶν ὑποθέσεων συνδιασκέπτεσθαι, καὶ τὸ πᾶσιν ἄριστον δόξαν ψηφίζεσθαι· οὐ μὴν οὐδὲ τὸν μητροπολίτην δέον τῇ τιμῇ καταχρώμενον, εἰς δυναστείαν ταύτην ἀμείβειν, καὶ γνώμης ἄνευ κοινῆς τῶν οἰκείων συλλειτουργῶν, ἕνια πράττειν τῶν εἰρημένων· ἀλλὰ τῇ ὁμονοίᾳ καὶ ἀγάπῃ συνδεδεμένους περὶ τῶν κοινῶν πραγμάτων σκοπεῖν· οὕτω γὰρ κοινὸν παράδειγμα τοῖς ὑπ' αὐτοὺς ἔσονται πλήθεσι, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι· ὡς τοῦ μὲν Υἱοῦ, τὸ ὄνομα τοῦ Πατρὸς φανερώσαντος, καὶ τοῖς ἀνθρώποις τὴν ἀγάπην νομοθετήσαντος, τοῦ δὲ Πνεύματος, διὰ τῶν Ἀποστόλων τὰ ἔθνη φωτίσαντος.

Τούτῳ συμφωνεῖ ἐν ἅπασιν, εἰ καὶ μὴ τοῖς ῥήμασιν, ἀλλά γε τῇ διανοίᾳ, καὶ ὁ θ'. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου. Ζήτει καὶ ἐν τῷ ε. Κεφ. τοῦ Δ στοιχείου, κανόνα ιή. τῆς ά. Συνόδου.

Ἐντεῦθεν ποῖαι τῶν Ἐκκλησιῶν ἰδίοις πρεσβείοις ἠξίωνται.

Συνόδου πρώτης ς', ζ'.

Καὶ ὁ μὲν ς'. τῆς ά Συνόδου κανών, τοὺς ἀρχαίους θεσμοὺς τῶν Πατέρων στέργειν οἴεται δεῖν, οἳ τῷ μὲν Ἀλεξανδρείας τὰ ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει ἐνείμαντο· τῷ δέ γε

Ἀντιοχείας, τά τε τῆς Συρίας, καὶ τῆς Κοίλης Συρίας, καὶ Κιλικίας ἑκατέρας, καὶ Μεσοποταμίας· τῷ δὲ Ῥώμης, νόμος ἀρχαῖος τῶν Ἑσπερίων κρατεῖν· καὶ γνώμης ἄνευ τῶν εἰρημένων, μηδένα τῶν τῆς Ἐκκλησίας θεσμῶν τοὺς ὑπὸ χεῖρα τελεῖν, ὧν ἡ κορωνὶς 1), ἡ τῶν ἐπισκόπων καθέστηκεν ἐκλογή· τοῖς πατριάρχαις καὶ γὰρ τοὺς ὑπ' αὐτοὺς μητροπολίτας, ὁ κανὼν ὑπείκειν νομοθετεῖ, καὶ τούτοις αὖθις τοὺς ἐπισκόπους. Εἰ τοίνυν γνώμης ἄνευ τοῦ μητροπολίτου κατασταίη ἐπίσκοπον, τοῦτον μὴ εἶναι ἐπίσκοπον διατάττεται· εἰ γὰρ καὶ ἦν ὅτε ἦν, τὰ πλήθη τῶν πόλεων τὰς τῶν ἐπισκόπων ποιεῖσθαι ψήφους, ἀλλά γε καὶ τότε ὃν ὁ μητροπολίτης ἐδοκίμασε τῶν ἄλλων ἀπολεξάμενος, τῆς χειροτονίας ἐκεῖνος ἠξίωτο· ψήφου δὲ, φησὶ, γενομένης, ὡς οἱ θεσμοὶ τῆς Ἐκκλησίας διαγορεύουσι, καὶ τῶν μὲν πλειόνων συμφωνούντων, δύο δὲ ἢ τριῶν φιλονείκως ἀντιλεγόντων, ἡ τῶν πλειόνων ψῆφος κραπείτω.

Ὁ δὲ ζ'., τὸν Αἰλίας θεσπίζει ἐπίσκοπον, τῶν ἐν Παλαιστίνῃ, Ἀραβίᾳ τε, καὶ Φοινίκῃ κατάρχειν πόλεων, μηδ' ὁτιοῦν παρευδοκιμουμένης περὶ τὰ οἰκεῖα πρεσβεῖά τε καὶ προνόμια τῆς κατὰ τὴν Παλαιστίνην μητροπόλεως Καισαρείας, ἥπερ καὶ τοῦ Στράτωνος ὀνομάζεται· ταύτῃ γάρ ποτε ἡ Αἰλία ὑπῆκειτο· χρόνοις δὲ ὕστερον ἀποσπασθεῖσα τετίμηται, αἰδοῖ τῶν ἐν αὐτῇ τελεσθέντων σωτηρίων τοῦ Χριστοῦ παθημάτων· καὶ ἐκ παλαιοῦ μὲν ἄχρι τοῦ δεῦρο, ἥ τε Αἰλία, καὶ σύμπασα ἡ περὶ αὐτὴν χώρα, Παλαιστίνη ἐπεφημίζετο· ἡ δέ γε πόλις, τὸ μὲν ἀρχαῖον, Σόλυμα, καὶ Ἱεβοῦς ἐκαλεῖτο· ἀφοῦ δὲ πρὸς τοῦ Σολομῶντος ὁ περιφανὴς ἐκεῖνος ἠγέρθη νεὼς, καὶ τὰ ἱερὰ τῆς παλαιᾶς ἐν αὐτῷ εἰσωκίσθη, τὴν τῶν Ἱεροσολύμων ἀπειλήφει προσωνυμίαν· ἀναστάτου δὲ γενομένης ὑπὸ Ῥωμαίων, ὁ βασιλεὺς Ἀδριανὸς, ὁ καὶ Αἴλιος, αὖθις ἀνεγείρας, Αἰλίαν αὐτὴν ἐπωνόμασεν.

Συνόδου δευτέρας β', γ'.

Ὁ δὲ β'. κανὼν τῆς δευτέρας Συνόδου, τὸν Ἀλεξανδρείας ἐπίσκοπον, τὰ ἐν Αἰγύπτῳ διέπειν θεσπίζει· τοὺς δὲ ἐπισκόπους

1) ὧν ἡ κορωνὶς καὶ ἡ τῶν ἐπισκόπων Γ. ὅστις ἐν περισελίδῳ σημειοῖ, ἀναγνωστέον, μὴ καθέστηκεν.

τῶν ἄλλων ἐπαρχιῶν, πρὸς τῶν ἰδίων Συνόδων κατά τε τὸ παλαιὸν ἔθος χειροτονεῖσθαι· τοῦτο δὲ τοῖς ἔπειτα τῶν θείων κανόνων θεσμοῖς τελέως ἀνήρηται.

Περὶ τῶν πρεσβείων τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας.

Ὁ δὲ γ', Τὸν μέντοι, φησὶ, Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν θεσπίζομεν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην. Ἀρχαία μὲν γὰρ πόλις ἦν τὸ Βυζάντιον, καθ' ἑαυτὸ διοικούμενον· ἐπὶ δὲ Σευήρου, βασιλέως Ῥωμαίων, εἰς τρεῖς ἐνιαυτοὺς ὑπὸ Ῥωμαίων πολιορκηθὲν, ὕστερον ἑάλω, τῶν ἀναγκαίων ἐπιλιπόντων τοῖς ἐν αὐτῷ, καὶ καθῄρητο μὲν αὐτοῦ τὰ τείχη, ἀφῃρέθη δὲ τὰ πολιτικὰ δίκαια, καὶ ὑπετέθη Πειρινθίοις. Πείρινθος δέ ἐστιν ἡ Ἡράκλεια.

Διὰ τί ὑπὸ τοῦ Ἡρακλείας ὁ πατριάρχης χειροτονεῖται.

Παρὸ δὲ καὶ τῷ Ἡρακλείας ἡ χειροτονία τοῦ πατριάρχου ἀπονενέμηται, ἅτε πρότερον ἔθος ὂν πρὸς αὐτοῦ χειροτονεῖσθαι τὸν ἐπίσκοπον Βυζαντίου. Ὁ μέγας δὲ Κωνσταντῖνος τὴν ἐν καλλίῳ τοῦ κόσμου κειμένην ταυτηνὶ πόλιν, καὶ μεγέθους καὶ κάλλους εὖ ἤκουσαν ἀνεγείρας, τὴν ἰδίαν αὐτῇ κλῆσιν ἀπεχαρίσατο, καὶ νέαν προσεπωνόμασε Ῥώμην.

Συνόδου τετάρτης κή.

Ὁ δὲ κή. τῆς δ'. Συνόδου, Τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομεν, φησὶ, τῷ γ'. τῆς β'. Συνόδου κανόνι, καὶ ψηφιζόμεθα, τὸν θρόνον τῆς ἁγιωτάτης Ἐκκλησίας Κωνσταντινουπόλεως τὰ ἴσα φέρειν τῆς πρεσβυτέρας Ῥώμης πρεσβεῖα, ἅτε βασιλεία καὶ συγκλήτῳ τιμηθεῖσαν· ταύτη τοι, καὶ οἷά περ ἐκείνην, ἐν τοῖς ἐκκλησιαστικοῖς δεῖ μεγαλύνεσθαι προνομίοις, πασῶν μὲν τῶν ἄλλων προτιμωμένην, δευτέραν δὲ μετ' ἐκείνην ὑπάρχουσαν, τῶν ἴσων γὰρ ἐν ἅπασιν ἀξιοῦσθαι ταύτην ἀμήχανον· εἰ καί τινες τὴν, μετὰ, πρόθεσιν, πάνυ βεβιασμένως 1), μᾶλλον δὲ ἀπαιδεύτως καὶ ἀ-

1) βεβαιωμένως B.

μαθῶς ἑρμηνεύοντες, οὐχ ὑφεδρίας καὶ ὑποβιβασμοῦ, χρόνου δὲ εἶναι δηλωτικὴν ἀξιοῦσιν· ἐν γὰρ ταῖς τῶν ὀνομάτων ἀναφοραῖς ἀνάγκη, τὸν μὲν, πρότερον, τὸν δὲ, ὕστερον ἐκφωνεῖσθαι· ὡς δὲ κἀν ταῖς καθέδραις, κἀν ταῖς ὑπογραφαῖς συμβήσεται.

Εἰ μήπου τις εἴποι, ὁ ὑπερφυὴς καὶ τοῦτό φησι Ζωναρᾶς, ὅτι τὸ μέλλον, ὡς παρὸν, οἱ θεῖοι Πατέρες ἐνοπτριζόμενοι, ὡς ἀποτμηθήσεται τῆς τῶν ὀρθοδόξων ὁλοκληρίας ἡ τῶν Ῥωμαίων Ἐκκλησία, καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως ἐξοστρακισθήσεται, δόγμασιν ἑτεροδόξοις καθυπαχθεῖσα, πρώτην ἐλογίσαντο ταύτην, καὶ οὕτω τῶν αὐτῶν ἐκείνῃ πρεσβείων ἠξίωσαν, πρεσβεύειν ἐν ἅπασι μέλλουσαν, οἷά περ ἐκείνη ποτέ. Περὶ μὲν δὴ τῶν πρεσβείων τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ἅλις διαταξάμενος ὁ κανὼν, καὶ περὶ τῶν ὑποκειμένων αὐτῇ διέξεισι διοικήσεων. Ταύτας δὲ εἶναι, φησὶ, τὰς τῆς Ἀσίας, τοῦ Πόντου, καὶ Θρᾴκης· καὶ Ἀσιαναὶ μέν εἰσι διοικήσεις αἱ μέχρι τῶν Ταυρικῶν ὀρῶν διήκουσαι· Ποντικαὶ δὲ, αἱ τῷ Εὐξείνῳ Πόντῳ παρακείμεναι, Τραπεζοῦντος ἄχρι καὶ ἐνδοτέρω· Θρᾳκικαὶ δὲ, αἱ μέχρι τοῦ Ἀυράχιου.

Διὰ τί ἦν ὁ Θεσσαλονίκης λεγάτος τοῦ Πάπα.

Εἰ γὰρ καὶ πάλαι τόν τε Θεσσαλονίκης καὶ ἑτέρους δυτικοὺς ἐπισκόπους, τὸν Ἀθηνῶν, φημὶ, τὸν Κορίνθου, τὸν Πατρῶν, τὸν Ῥαβέννης, λεγάτους εἶχεν ὁ Πάπας, οἱονεὶ ἐκ προσώπου αὐτοῦ, τοῦτο γὰρ καθ' Ἕλληνας ἡ λέξις δηλοῖ, ἵν' ὅτε δεήσει παρεῖναί τινας τῶν τοῦ Πάπα ταῖς κοιναῖς συνελεύσεσιν, ἀναπληρῶσιν οὗτοι τὸν ἐκείνου τόπον, ἀλλὰ τῆς ἡμετέρας ἐτύγχανον ὄντες ἀγέλης· οὐ γὰρ τοσούτους εἶχεν ὑπερορίους ἐπισκόπους ὑφ' ἑαυτὸν, ὥστε καὶ χειροτονεῖν αὐτοὺς, ὥς τινες οἴονται· ἐπινενόηται δὲ τοῦτο, διὰ τὸ τῆς ὁδοῦ μῆκος, ἵνα μὴ ἀποκναίωσιν οἱ πρὸς ἡμᾶς ἐκεῖθεν στελλόμενοι διαπόντιοι· καὶ δῆλον ἐκ τοῦ μὴ τούτοις ἀεὶ ἐκ προσώπου τοῦ Πάπα καθίστασθαι, ἀλλ' ἐνίοτε καὶ ἑτέρους, οὓς ὁ κατὰ καιροὺς τῆς Ῥώμης εἵλετο Πάπας.

Περὶ ψήφου καὶ χειροτονίας ἐπισκόπων.

Τούτων τοιγαροῦν τῶν διοικήσεων τοὺς μητροπολίτας μόνους

χειροτονεῖν δίδωσι τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως· καὶ τούτων οὐχ οὕσπερ αὐτὸς κατ' ἐξουσίαν βεβούληται, ἀλλ' οὓς ἂν ἡ ὑπ' αὐτὸν συμφωνήσασα ψηφίσηται Σύνοδος. Εἰθ' οὕτω τῶν ψήφων ἐμφανιζομένων αὐτῷ, ὃν ἂν τῶν ψηφισθέντων, τριῶν ὄντων, ἐκλέξηται χειροτονεῖν· οὐ γὰρ ἐφεῖται τῷ Πατριάρχῃ ταῖς τῶν μητροπολιτῶν παρεῖναι ψήφοις, οὔτε μὴν τῷ μητροπολίτῃ, ταῖς τῶν ἐπισκόπων· πρὸ δὲ τοῦ κανόνος τούτου οὐχ οἱ Πατριάρχαι τοὺς μητροπολίτας ἐχειροτόνουν, ἀλλ' οἱ ἑκάστης ἐπαρχίας ἐπίσκοποι· χειροτονεῖν δ' ἐφίησι τῷ Κωνσταντινουπόλεως καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν ἐπισκόπους, τοῖς ὁμόροις τῶν ἀφωρισμένων αὐτῷ διοικήσεων, ὥσπερ εἰσὶν οἱ Ἀλανοὶ, καὶ οἱ Ῥώς. Οἱ μὲν γὰρ, τῇ Ποντικῇ, οἱ δὲ, τῇ Θρᾳκικῇ παράκεινται διοικήσει· ἑκάστῳ δὲ μητροπολίτῃ χειροτονεῖν ἐπισκήπτει τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, τῶν τῆς ἐπαρχίας ἐπισκόπων παραπλησίως ποιουμένων τὰς ψήφους, ὡς καὶ τοῖς θείοις κανόσι τῶν πρὸ ἡμῶν ἁγίων, φησὶ, διηγόρευται.

Συνόδου ἕκτης λς'.

Τὰ αὐτὰ καὶ ὁ λς'. τῆς ς'. Συνόδου διέξεισι περὶ τῶν πρεσβείων τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, τῷ τῆς ϛ'. Συνόδου ϛ'. κανόνι, πρὸς δὲ καὶ τῷ τῆς δ'. ἐπιψηφιζόμενος, καὶ τοῖς σφῶν ῥήμασι χρώμενος, ὥστε τὸν θρόνον Κωνσταντινουπόλεως τῶν ἴσων ἀπολαύειν πρεσβείων τῷ τῆς πρεσβυτέρας Ῥώμης, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' ὃν ἀριθμεῖται ὁ τῆς Ἀλεξανδρείας, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ ταῦτα ὁ τῶν Ἱεροσολύμων.

Διατί ὁ Πατριάρχης εἰς τὰς τῶν μητροπόλεων ἐνορίας πέμπει σταυροπήγια.

Βαλσ. Ἐπειδὴ τοίνυν τοῖς πέντε Πατριάρχαις ἀπενεμήθησαν αἱ ἐνορίαι τῶν τεσσάρων τῆς Οἰκουμένης κλιμάτων, πλὴν ὀλίγων Ἐκκλησιῶν, καὶ μητροπολίτας ἐφεῖται τούτοις χειροτονεῖν εἰς τὰς ἀφορισθείσας αὐτοῖς διοικήσεις, ἀνακρίνειν τε αὐτοὺς, καὶ κατὰ τοὺς θείους εὐθύνειν κανόνας, καὶ τὴν ἐκφώνησιν καὶ μνήμην ἔχειν τῶν οἰκείων ὀνομάτων, πρὸ πάντων τῶν ἐν ταῖς διοικήσεσι μητροπολιτῶν· ταύτη τοι καὶ σταυροπήγια πέμπου-

σιν εἰς τὰς αὐτῶν ἐνορίας, καὶ κληρικοὺς ἐξ αὐτῶν λαμβάνουσιν οὓς αἱροῦνται· οὐ μὴν ἐφεῖταί τινι τούτων καὶ εἰς χώραν πέμπειν σταυροπήγιον, ἥτις ἑτέρῳ ὑπόκειται πατριάρχῃ, οὔτε κληρικὸν λαβεῖν ἐξ αὐτῆς, ἵνα μὴ συγχέωνται τὰ δίκαια τῶν Ἐκκλησιῶν.

Περὶ τοῦ Βουλγαρίας, τοῦ Κύπρου, καὶ τοῦ Ἰβήρων.

Αἱ δὲ μὴ ὑποκείμεναι Πατριάρχῃ τινὶ, ἡ τῆς Βουλγαρίας ἐςὶν Ἐκκλησία, ἣν ἐτίμησεν ὁ βασιλεὺς Ἰουστινιανὸς, ὡς ἐκ τῆς ῥηθησομένης νεαρᾶς αὐτοῦ γνώριμον ἔσται· ἡ τῆς Κύπρου· ταύτην δὲ ἡ τρίτη Σύνοδος καὶ ἡ ς΄. τετιμήκασιν, ὡς αὐτίκα δὴ μάλα ῥηθήσεται· ἡ τῶν Ἰβήρων, ἣν ἐτίμησε διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, ὑποκειμένην πρώην αὐτῇ· τούτων γὰρ οἱ ἀρχιερεῖς ὑπὸ τῶν ἰδίων ἐπισκόπων χειροτονεῖσθαι εἰώθασιν.

Συνόδου τρίτης ἡ.

Ὁ μέν τοι ἡ. τῆς τρίτης Συνόδου κανὼν, μὴ ἐφ' ἑαυτὸν ἕλκειν τὸν τῆς Ἀντιοχείας ἐπίσκοπον τὰς τῶν Κυπρίων ἐπισκόπων χειροτονίας διακελεύεται, διὰ τὸ πάλαι στρατηγὸν δῆθεν ἐκεῖσε παρὰ τοῦ δουκὸς Ἀντιοχείας πέμπεσθαι· ἀλλὰ κατὰ τὸ ἀρχαῖον ἔθος, διὰ τῶν ἐν τῇ νήσῳ 1) ἐπισκόπων τὰς ἐν ταύτῃ χειροτονίας γίνεσθαι· μηδέ τινα ἕτερον τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν καταλαμβάνειν, τὴν μὴ αὐτῷ ἀνήκουσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς· ἀλλ' εἰ καὶ ὑφ' ἑαυτὸν πεποίηκε βιασάμενος, ταύτην ἀποδιδόναι, ἵνα μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται· μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τύφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ὁ Χριστὸς τῷ οἰκείῳ ἐδωρήσατο αἵματι. Εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις κομίσει, πρόσταγμα βασιλικὸν δηλαδὴ, ἄκυρον εἶναι τοῦτο κελεύει παντάπασιν.

Συνόδου ἕκτης λθ΄.

Ὁ δὲ λθ΄. τῆς ς΄. Συνόδου, νέαν Ἰουστινιανούπολιν τὴν Κυπρίων Ἐκκλησίαν ἐπονομάζει, καὶ τὸ δίκαιον ἔχειν τῆς Κων-

1) κατὰ τὴν νῆσον B.

σταντινουπόλεως δίδωσι, καὶ τὸν τῆς Ἑλλησπόντου καὶ Κυζίκου ἐπίσκοπον ὑπ' αὐτοῦ χειροτονεῖσθαι· εἰ δὲ καὶ εἰς ἔργον ὁ κανὼν ποτε προελήλυθεν, ἔργον εὑρεῖν ἀτεχνῶς.

Καρθαγένης ιθ'.

Ὁ δὲ ιθ'. τῆς ἐν Καρθαγένῃ χωλύει τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον, ἔξαρχον λέγεσθαι τῶν ἱερέων, ἢ ἄκρον, ἢ ἄλλο τι τῶν τοιούτων, ἢ μόνον ἐπίσκοπον, τὸν ἐπιφυόμενον, οἶμαι, τῇ τιμῇ καὶ τῇ ἀρχῇ τύφον, εἰς δύναμιν καθαιρῶν, καὶ νομοθετῶν τὸ ταπεινόν τε καὶ μέτριον· ταύτη τοι καὶ οἱ πλείους τῶν Πατριαρχῶν καὶ λοιπῶν ἀρχιερέων, ταπεινοὺς ἑαυτοὺς καὶ εὐτελεῖς ἐν ταῖς οἰκείαις ὑπογραφαῖς ὀνομάζουσι. Τοῦτο δὲ ἡ οἰκουμενικὴ δ'. Σύνοδος, ὡς ἔοικεν, οὐκ ἀποδεξαμένη, οὐκ ὀλίγον ἐκείνης ὑστερίζουσα, ἐξάρχους τῶν ἐπαρχιῶν τοὺς μητροπολίτας καλεῖ ἐν τῷ θ'. ταύτης κανόνι, ὃν καὶ ζήτει ἐν τῷ θ'. κεφ. τοῦ Δ στοιχείου· οὕτω δὲ καὶ ἕτεραι Σύνοδοι τούτους ἐπονομάζουσι. Ζήτει καὶ ἐν τῷ θ'. κεφ. τοῦ Α στοιχείου κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου νέ.

Νόμοι.

Ἡ δὲ ρλ'. 2) Ἰουστινιάνειος νεαρὰ, Θεσπίζομεν, φησι, κατὰ τοὺς τῶν ἁγίων Συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν, πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι· τὸν δὲ μακαριώτατον ἀρχιεπίσκοπον τῆς πρώτης Ἰουστινιανῆς, τῆς ἡμετέρας πατρίδος, ἔχειν ἀεὶ ὑφ' ἑαυτὸν τοὺς ἐπισκόπους τῶν ἐπαρχιῶν Δακίας Μεδιτερρανίας, καὶ Δακίας Ριπενσίας, Τριβαλλέας, Δαρδανίας 1), καὶ Μυσίας τῆς ἀνωτέρας, καὶ παρ' αὐτοῦ τούτους χειροτονεῖσθαι, αὐτὸν δὲ ὑπὸ τῆς οἰκείας Συνόδου χειροτονεῖσθαι, καὶ ἐν αὐταῖς ταῖς ὑποκειμέναις αὐτῷ ἐπαρχίαις, τὸν τόπον ἐπέχειν αὐτὸν τοῦ ἀποστολικοῦ θρόνου κατὰ τὰ ὁρισθέντα ὑπὸ τοῦ ἁγίου Ἁπα Βιγιλίου. Τὸ αὐτὸ δίκαιον καὶ τῷ ἐπισκόπῳ

1) Καρδανίας 1375. — 2) Νεαρ. φλέ. κεφ. γ'.

Καρχηδόνος τῆς Ἀφρικῆς δεδώκαμεν, ἐξ οὗ περ ὁ Θεὸς ταύτην ἡμῖν ἀποκατέστησεν.

Τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ, οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς αὐτοῦ Συνόδου, ἥτις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης. Ζήτει καὶ τὸ ἡ. κεφ. τοῦ Π στοιχείου.

Θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου.

Ἀλλ' ὧδε τοῦ λόγου γενόμενος, τὸ τοῦ μεγάλου θέσπισμα σιωπήσωμεν Κωνσταντίνου; καὶ πῶς οὐκ ἂν ἀπειροκαλίας μέμψιν ὀφλήσαιμι, ὡς ἔγωγε τῆς ἴσης τίθεμαι ἀτοπίας τό τε φθέγγεσθαι τὰ μὴ δέοντα, καὶ τὸ τὰ καλὰ διδόναι σιγῇ; Τούτου γὰρ οὔτε θεσπεσιώτερον ἴδοι τις ἂν, οὔτε δημοσίᾳ, ὥς γε οἶμαι, κηρύττεσθαι ἀξιώτερον. Συμπάντων γὰρ τῶν ὑπερφυῶς κατορθωθέντων τῷ βασιλεῖ προσήγορον ἀτεχνῶς πεφυκὸς καὶ ὁμόλογον, ἐκ πολλοῦ τοῦ περιόντος, τόν τε θερμὸν περὶ τὴν εὐσέβειαν ἔρωτα δείκνυσι τοῦ ἀνδρὸς, καὶ πάσης ἄμεινον στήλης βοᾷ, οἵοις πρεσβείοις δίκαιοι ἂν εἶεν οἱ μὴ ἐν παρέργῳ τὰ τῆς εὐσεβείας τιθέμενοι βασιλεῖς, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν δωρεῖσθαι· ὁ γὰρ βασιλεὺς οὑτοσὶ, μηδεμιᾶς λειπόμενος ἀρετῆς, εὐσεβὴς μὲν τὰ πρὸς Θεὸν, δίκαιος δὲ τὰ πρὸς ἀνθρώπους ὑπῆρχεν· ὡς καὶ τῷ ἐκτὸς εἶδει τὴν ἔνδον τῆς ψυχῆς ὑπογράφεσθαι ὡραιότητα· καὶ γὰρ ἀξιέπαινον εἶχε τὸ τοῦ σώματος μέγεθος, ὡς ἡ περὶ αὐτοῦ ἱστορία διέξεισιν· ἀξιάγαστον δὲ τὴν ὥραν, θαυμασιωτέραν δὲ τὴν τοῖς μετώποις ἐπικαθημένην· αἰδὼ· πέφυκε γὰρ, ὡς ἐπίπαν, τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασι τὸ τοῦ σώματος ἦθος ἐξεικονίζεσθαι· οὐχ ἥκιστα δὲ τῷ ὑπὲρ εὐσεβείας ζήλῳ πυρούμενος, ἔργῳ πᾶσιν ἐδείκνυεν, οἵοις ἱμέροις κατάκρας ἠλίσκετο τοῦ Χριστοῦ, ἀμέλει καὶ μὴ οἷός τε ὢν, ἀξίως τὸν ἐρώμενον δεξιοῦσθαι· (εἰ γὰρ καὶ πᾶσαν τὴν ἐν ἀνθρώποις εὐπορίαν εἰς ἕν τι συνενεγκὼν, τιμῆσαι θελήσειε, τῆς ἀξίας ἀνάγκη διαμαρτεῖν), ὃ δεύτερον ἦν, τὴν νύμφην αὐτοῦ Ἐκκλησίαν, ἣν τοῦ ἰδίου ἐπρίατο αἵματος, ἐκ τῶν ἐνόντων κοσμεῖν ἔσπευδε, καλὸν ἑαυτὸν εὐσεβείας παράδειγμα τοῖς πᾶσι δημοσίᾳ προθείς. Φησὶ γοῦν·

Θεσπίζομεν σὺν πᾶσι τοῖς σατράπαις, καὶ τῇ συγκλήτῳ τῆς ἡμῶν βασιλείας, τὸν Ῥώμης ἐπίσκοπον καὶ διάδοχον τοῦ κορυφαίου τῶν Ἀποστόλων καὶ κυρίου μου Πέτρου, πλείονα τῆς βασιλείας ἔχειν ἐξουσίαν κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ παρὰ πάντων πολλῷ πλέον ἢ τὸν βασιλέα τιμᾶσθαι καὶ σέβεσθαι, κεφαλήν τε εἶναι τῶν τεσσάρων πατριαρχικῶν θρόνων, κρίνεσθαί τε πρὸς αὐτοῦ καὶ ψηφίζεσθαι τὰ τῇ ὀρθοδόξῳ συμβαίνοντα πίστει· δωρούμεθα δὲ τῷ πατρί μου τῷ μακαρίῳ Σιλβέστρῳ, καὶ τοῖς αὐτοῦ διαδόχοις, τὸ ἡμέτερον παλάτιον, τὸ ἐπὶ τῆς κεφαλῆς διάδημα, ἐκ λίθων τιμίων καὶ μαργάρων συγκείμενον, τὸ κυκλοῦν τὸν τράχηλον ὠμοφόριον, τὴν πορφυρᾶν χλαμύδα, τὸν κόκκινον χιτῶνα, καὶ πάντα τὰ βασιλικὰ ἐνδύματα, τὰ τῶν βασιλικῶν ἵππων ἀξιώματα, τὰ σκῆπτρα, καὶ τὰ λοιπὰ τῆς βασιλείας κοσμήματα, καὶ τὴν δόξαν ἅπασαν τῆς ἡμῶν ἐξουσίας· τοὺς δὲ τῷ κλήρῳ τῆς ἁγιωτάτης Ῥώμης κατειλεγμένους κοσμεῖσθαι κελεύομεν παραπλησίοις τῇ συγκλήτῳ ἡμῶν ἐνδύμασιν, ἵπποις ἐποχουμένους, ὀθόνας περικειμένους λευκὰς, ὡς δὲ καὶ τὰ ὑποδήματα τούτων ὀθονίων εἶναι πεποιημένα λευκῶν· καὶ ὃς ἂν αἱροῖτο κληρικὸς ἐκ τῆς ἡμῶν συγκλήτου γενέσθαι, τοῦτον πρός τινος μηδαμῶς εἴργεσθαι· ὅτι γε μὴν τὴν ἐκ χρυσίου στεφάνην φρονήματος μετριότητι, ὁ πατήρ μου ὁ ἁγιώτατος Σίλβεστρος παραιτεῖται, ταύτῃ τοι τὸν ὑπέρλαμπρον λῶρον, σημαίνοντα τὴν ἁγίαν Ἀνάστασιν, τῇ ἁγίᾳ κεφαλῇ αὐτοῦ ἰδίαις χερσὶν ἐπεθήκαμεν· ἡμεῖς δὲ στράτωρος ὀφφίκιον ὑπελθόντες, καὶ τὰ χαλινὰ τοῦ ἵππου αὐτοῦ κατέχοντες, τῆς αὐλῆς τῶν ἱερῶν αὐτοῦ ἔξιμεν ἀνακτόρων, αἰδοῖ καὶ φόβῳ τοῦ κυρίου μου τοῦ ἁγίου συνεχόμενος Πέτρου· τῶν χρησίμων δὲ κομιδῇ καὶ θεοφιλῶν νενομίκαμεν, ἐκστῆναι μὲν τῆς πόλεως Ῥώμης καὶ τῶν δυτικῶν χωρῶν ἁπασῶν τε καὶ πόλεων, τῷ ἁγιωτάτῳ Πάπᾳ· τὸ δὲ τῆς βασιλείας κράτος πρὸς τὰ τῆς ἑώας μέρη μετενεγκεῖν, καὶ τὴν ἐν καλλίστῳ κειμένην τῆς ὑφ' ἡλίῳ τοῦ Βύζαντος πόλιν καταλαβεῖν, καὶ ἐν αὐτῇ ἱδρύσασθαι τὰ βασίλεια, ἄδικον οἰηθέντες ἐξουσίαν ἔχειν τὸν ἐπὶ γῆς βασιλέα, ἔνθα ἡ ἀρχὴ τῆς τῶν Χριστιανῶν θρησκείας ἐκ τῶν οὐρανῶν ὑπῆρξεν ἡμῖν. Ταῦτα ταῖς ἰδίαις χερσὶ γράψαντες, καὶ τῷ νεκρῷ τοῦ κυρίου μου ἐπι-

θέμενοι Πέτρου, πίστεις ἐνόρκους ποιούμεθα, ἢ μὴν ὅλως πάντα ταῦτα μὴ παραβῆναι· ἀλλὰ καὶ τοῖς τὸ ἡμέτερον διαδεξαμένοις κράτος φυλάττειν ἀπαράθραυστα παρεγγυώμεθα πρὸς τὸν πατέρα ἡμῶν Πάπαν καὶ τοὺς αὐτοὺς διαδόχους.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ Ἐκκλησιῶν οἰκοδομῆς καὶ καθιερώσεως.

Συνόδου ἑβδόμης ζ΄, ιζ΄.

Ὁ δὲ ζ΄. τῆς ιζ΄. Συνόδου κανὼν, τὸν χωρὶς ἁγίων λειψάνων Ἐκκλησίαν καθιεροῦντα, τῆς ἱερωσύνης ἀλλοτριοῖ· Καὶ τοῦτο γὰρ, φησὶ, ποτὲ πρὸς τοῖς ἄλλοις κακοῖς τοῖς εἰκονομάχοις ἐπράττετο καὶ Χριστιανοκατηγόροις, οἷα τοῖς Χριστιανοῖς τὴν τῶν σεπτῶν εἰκόνων, ὡς εἰδωλολατρείαν, ἐπικαλοῦντας προσκύνησιν· ἀλλ' ἡ τοῦ ναοῦ καθιέρωσις οὕτως εἰώθει γίνεσθαι. Πρῶτον μὲν δι' εὐχῆς καὶ σταυροπηγίου τοῦ κατὰ χώραν ἐπισκόπου ὁ τούτου θεμέλιος πήγνυται· τελεσθείσης δὲ τῆς οἰκοδομίας, ἥ τε καθιέρωσις γίνεται καὶ τὰ ἐγκαίνια, καὶ ὁ ἐνθρονισμὸς, καὶ ἡ τοῦ ἀντιμινσίου ἐπὶ τῆς ἁγίας τραπέζης ἐπίθεσις.

Περὶ ἀντιμινσίων.

Λέγονται δὲ ἀντιμίνσια ὡς ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν παλλῶν τοιούτων μίνσων, τῶν καταρτιζόντων ἁγίαν δεσποτικὴν τράπεζαν, εἶτα τῷ ἁγίῳ μύρῳ, ὅτε ναὸς καὶ ταῦτα χρίεται πάντα, καὶ οὕτω τὰ λείψανα τῶν ἁγίων μαρτύρων ὑπὸ τὴν ἁγίαν θησαυρίζεται τράπεζαν.

Ὁ δὲ ιζ΄, τῶν μοναχῶν τοὺς φιλαρχίας πάθει τὸν τῆς ὑπακοῆς ἀποσεισαμένους ζυγὸν, καὶ εὐκτηρίους οἴκους κτίζειν ἐπιχειροῦντας, καὶ ταῦτα πρὸς ἀπαρτισμὸν ἐνδεῶς ἔχοντας, εἴργεσθαι πρὸς τοῦ κατὰ χώραν ἀξιοῖ ἐπισκόπου· τοῦτο δὲ καὶ ἐπὶ κληρικῶν, ἢ λαϊκῶν γίνεσθαι· εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν εὐποροῖεν, τὰ αὐτοῖς βεβουλευμένα εἰς ἔργον καὶ πέρας ἄγεσθαι.

Καρθαγένης πγ΄.

Ὁ δὲ πγ΄. τῆς ἐν Καρθαγένῃ Συνόδου, τὰ δι' ἐνυπνίων, ἢ μαν-

τειῶν, ἢ ἀποκαλύψεων γινόμενα ἐν τοῖς ἀγροῖς εὐκτήρια, καταστρέφεσθαι πρὸς τῶν ἐγχωρίων ἐπισκόπων προστάττει, εἰ μήπου σώματα μαρτύρων ἐν αὐτοῖς ἔχοιεν ὑποκείμενα, ἢ τινα τούτων λείψανα, ἢ ἐξ ἀρχαίων ᾠκοδομημένον ἦν τὸ ἐνταῦθα θυσιαστήριον, μηδὲ τοὺς ὄχλους ἐκεῖσε συνέρχεσθαι, καὶ μνήμας μαρτύρων ἐπιτελεῖν.

Περὶ τῶν ἐνθουσιᾷν ὑποκρινομένων.

Διά τοι τοῦτο καὶ τὰς ἐνθουσιώσας τῶν γυναικῶν κατὰ δαιμονικὴν ἐπήρειαν καὶ ἀπάτην, καὶ προφοιβαζούσας δῆθεν τὰ μέλλοντα, ἢ τῶν ἀνδρῶν τοὺς προσποιουμένους δαιμονᾷν, καὶ τοιαῦτα ληροῦντας, ἀπελαύνειν παντὶ τρόπῳ καὶ ἐπιστομίζειν χρή. Ζήτει καὶ ἐν τῷ β΄. Κεφ. τοῦ Α στοιχείου κανόνα λδ΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

Νόμοι.

Τὸν θέλοντα εὐκτήριον ἢ Ἐκκλησίαν κτίσαι, διαλέγεσθαι δεῖ περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς λυχνοκαΐαν καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφορον τοῦ τόπου τήρησιν, καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων, καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανεροῦντα δημοσίᾳ ἐκεῖσε προσιέναι, καὶ σὺν εὐχῇ πηγνύναι σταυρὸν, καὶ τότε τοῦ ἔργου ἄρχεσθαι 1) τὸν οἰκοδομεῖν ἠρημένον· καὶ ὅτι ὁ ἀρξάμενος νέον κτίζειν, ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται μετὰ τῶν αὐτοῦ κληρονόμων παρὰ τῶν οἰκονόμων, καὶ τοῦ ἐπισκόπου, καὶ τοῦ ἄρχοντος, ὃ ἤρξατο πληρῶσαι· εἶτα καὶ τὰς ὑπεσχημένας ἀποδοῦναι τῷ ναῷ δωρεάς.

Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ, εἴτε καθ' ὑποθήκην ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ΄. ἔτη 2).

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῶν ἐν Ἐκκλησίᾳ προσφύγων.

Νόμοι.

Θεσπίζομεν μὴ ἐξεῖναί τινι, τοὺς ἀφ' οἱασδήποτε τύχης πρόσ-

1) ἔπεσθαι P. — 2) ις΄. Βασ. Ε΄. 6΄.

φυγας ἐκ τῆς ἁγίας ἐξωθεῖν Ἐκκλησίας· τοὺς δὲ τοῦτο τολμήσαντας, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβάλλεσθαι 1).

Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς Ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι· καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν· ὅπλοις δὲ μὴ ἀσφαλιζέσθωσαν ἑαυτοὺς, ἀλλ' ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ 2).

Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν, εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ἔστω ὁ ἐπελθὼν αὐτῷ καὶ κτείνας δεσπότης 3).

Οὔτε δὲ ἀνδροφόνοις, οὔτε μοιχοῖς, οὔτε παρθένων ἅρπαξι, τὴν ἐκ τῶν ἱερῶν φυλάξεις ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις, καὶ τιμωρίαν ἐπάξεις. Οὐ γὰρ τῶν τοιαῦτα ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν περιόντων, ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν· ἄλλως τε καὶ ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου, καὶ οὐκ ἂν εἴη δυνατὸν, ἑκάτερον ἰσχυρίζεσθαι 4) τῇ παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα, καὶ τὸν ἀδικούμενον 5).

Μηδεὶς τὸν ἐπ' Ἐκκλησίας προσφεύγοντα βίᾳ ἀφαιρείσθω· ἀλλὰ τὴν αἰτίαν τοῦ πρόσφυγος 6) δήλην ποιείτω τῷ ἱερεῖ, καὶ παρ' αὐτοῦ ἀσφαλῶς λαμβανέτω τὸν προσπεφευγότα, τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ' αὐτὸν κεφάλαιον.

Εἰ δέ τις δοκιμάσει χειρὶ ἀπὸ τῆς Ἐκκλησίας ἀποσπᾶσαι τὸν πρόσφυγα, ὁ τοιοῦτος δώδεκα ἀλλακτὰ λαμβανέτω· καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ πρόσφυγος ζητείσθω κεφάλαιον.

Δεῖ δὲ παρὰ τοῖς προσφόροις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας, καὶ οὐχὶ παρὰ τῇ Ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι.

---

1) ιδ'. Βασ. Ε'. ά. — 2) ιά. Βασ. Έ. ά. — 3) ιγ'. Βασ. αὐτόθι. — 4) ἀσφαλίζεσθαι Γ. — 5) ιϛ'. Βασ. αὐτόθι. — 6) προσφύγου 1340 καὶ Γ.

Τοῖς θεοφιλεστάτοις ἐπισκόποις ἢ ἐκδίκοις, ἐπιμελὲς ἔστω τῶν προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀπογράφεσθαι, καὶ τοῖς ἄρχουσιν ἐμφανίζειν, κἀκεῖνοι τὴν ἐπιτήδειον δίκην αὐτοῖς διατυπούτωσαν· ὥστε οἱ μὴ ἀπογραφόμενοι οὐκ εἰσὶ πρόσφυγες. Ζήτει καὶ ἐν τῷ ζ΄. κεφ. τοῦ Π στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Ὅτι οὐ δεῖ ἐν Ἐκκλησίαις δύο πόλεων ἕνα εἶναι κληρικόν.

Συνόδου τετάρτης ἱ. κ΄.

Ὁ ἱ. τῆς δ΄. Συνόδου κανὼν, ἔτι δὲ καὶ ὁ κ΄. εἰς δύο πόλεων Ἐκκλησίας ἕνα κληρικὸν καταλέγεσθαι οὐκ οἴεται δεῖν· εἰς ἣν δηλαδὴ τὴν ἀρχὴν κεχειροτόνητο, καὶ πρὸς ἣν ὕστερον κατεπέφευγεν οἷα μείζονος δόξης ἐφέσει κενῆς, ἐξ ἐπισκοπῆς τυχὸν εἰς μητρόπολιν, ἢ ἐκ ταύτης εἰς πατριαρχεῖον, ἀλλ' ἀποκαθίστασθαι τοῦτον ἔνθα πρῶτον τὴν χειροτονίαν ἐδέξατο. Εἰ δέ τις, φησὶ, μετατεθῆναι πρὸ τοῦ κανόνος ἔφθασε τούτου, οὐ δεῖ καὶ τῶν πραγμάτων μεταποιεῖσθαι τῆς Ἐκκλησίας, ἐξ ἧς μετεκινήθη· τοῖς δὲ τοῦτο ποιοῦσιν, ἐκπτώσεως τοῦ οἰκείου τιμᾶται βαθμοῦ. Τοῦτο δὲ οὐκ ἐμποδίζει τοὺς ἐν μιᾷ πόλει εἰς δύο Ἐκκλησίας ταττομένους κληρικούς.

Συνόδου ἑβδόμης ιε΄.

Εἰ καὶ ὁ ιε΄. τῆς ζ΄. Συνόδου, ἐν μὲν ταῖς περιφανέσι τῶν πόλεων τὸν ἕνα κληρικὸν κατατάττεσθαι δυσὶν Ἐκκλησίαις αἰσχροῦ κέρδους χάριν ἀπαγορεύει, συγχωρεῖ δὲ τοῦτο μόνον ἐν ταῖς ἔξω γίνεσθαι χώραις, παρὰ τὸ σπανίζειν ταύτας ἀνθρώπων· Εἰ γὰρ τὸ ἀποχρῶν, φησὶν, ἐκείνῳ τοῦ βίου ἡ τῆς μιᾶς Ἐκκλησίας μὴ πορίζῃ καρποφορία, ἀλλ' ἔνια καὶ τῶν ἑτέρων μετιὼν ἐπιτηδευμάτων, καὶ ἑαυτῷ, καὶ ἄλλοις ἐπαρκείτω· Ταῖς χρείαις μου γὰρ, φησὶν ὁ Ἀπόστολος, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται 1). Ταῦτα δὲ πάντα μετεποίησεν ἡ τοῦ καιροῦ καὶ τῶν πραγμάτων μεταβολή.

1) Πράξ. Κ΄. 34

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι οὐ δεῖ τῆς Ἐκκλησίας ἔνδον τὰς λεγομένας ἀγάπας, ἢ συμπόσια γίνεσθαι, ἢ τῶν ἱερῶν ταύτης ἔνδον περιβόλων καπηλεῖον εἶναι, ἢ τι κατ' ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤ τινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ γ'. κεφ. τοῦ Α στοιχείου.

Συνόδου ἕκτης ος', πή, ϟζ'.

Ὁ δὲ ος'. τῆς ς'. Συνόδου κανὼν, ἔνδον τῶν τῆς Ἐκκλησίας ἱερῶν περιβόλων καπηλεῖον εἶναι, ἢ ἐδώδιμα προτιθέναι εἰς πρᾶσιν, ἢ ἕτερα ἄττα κατ' ἐμπορίαν, τῶν κομιδῇ ἀθέσμων ἡγούμενος, ἀφορισμῷ τὸν οὕτω ποιοῦντα καθυποβάλλει· οὐκ εἴρηκε δὲ τῆς Ἐκκλησίας ἔνδον, τοῦτο γὰρ οὐδ' ἂν εἷς τῶν εὐσεβεῖν αἱρουμένων, καὶ φρενὸς μετρίας μετειληφὼς ἐννοήσειεν· ἀλλὰ τῶν ἱερῶν περιβόλων, ἅπασαν τὴν τῆς Ἐκκλησίας δηλῶν περιοχὴν, τά τε προτεμενίσματα, καὶ τὰ προαύλια. Ἐπὶ τούτῳ γὰρ καὶ ὁ Κύριος ἀγανακτήσας, φραγγελίῳ τοὺς θεοκαπήλους τοῦ ἱεροῦ ἀπήλασε, καὶ τὸ κέρμα, ἤτοι τὸ νόμισμα ἐξέχεε τῶν κολλυβιστῶν, τῶν τὰ λεπτὰ νομίσματα δηλαδὴ πωλούντων.

Ὁ δὲ πή., Τοὺς χωρὶς ἀνάγκης κτῆνος οἱονδηποτοῦν ἐντὸς Ἐκκλησίας εἰσάγοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει· Εἰ δέ τις, φησὶ, χειμῶνος τυχὸν ὁδοιπορῶν, καὶ ἀπορῶν εἰς καταμονὴν οἰκίσκου, εἰς τὸν ναὸν εἰσέδυ, καὶ τὸ κτῆνος ἑαυτῷ συνεισήγαγεν, οὐκ ἂν ὀφλήσειε μέμψιν, οἷα μὴ γνώμῃ, ἀλλ' ἀνάγκῃ τοῦτο πεποιηκώς, ἀγωνιῶν, μὴ ἄρα τοῦ κτήνους διαφθαρέντος τῷ κρύει, καὶ αὐτὸς κινδυνεύσειε, μὴ οἷός τε ὢν χωρὶς ἐκείνου βαίνειν ἐπὶ τὰ πρόσω, εἰ καὶ τὸν ἐκ τοῦ ψύχους θάνατον κατά γε τὸ παρὸν ἔδοξε διαπεφευγέναι· Τὸ σάββατον γὰρ, φησὶ, διὰ τὸν ἄνθρωπον γεγένηται, ἵνα ἀναπαύσηται ὁ δοῦλός σου καὶ τὸ ὑποζύγιον 1)· ὥστε ἡ τοῦ ὑποζυγίου ἀνάπαυσις οὐ δι' αὐτὸ, ἀλλὰ διὰ τὸν ἄνθρωπον νενομοθέτηται, ἵνα ἀναπαυσάμενον ἔχῃ τοῦτο εἰσέπειτα ἀκμαιότερον· ὡς καὶ ὁ μέγας φησὶ Παῦλος· Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ 2); ἀλλ' οὐδὲ

1) Μάρκ. Β', κζ'. — 2) α'. Κορ. Θ'. θ'.

τῶν πετεινῶν ἔνια προσῆκον εἰσάγεσθαι, ἵνα μὴ τῇ ἐκκρίσει τούτων τὰ θεῖα καθυβρίζηται ἀχρειούμενα.

Ὁ δὲ ιζ', τοὺς γυναιξὶ συνοικοῦντας, καὶ περὶ ἐλάττονος τὴν εἰς τὰ θεῖα τιθεμένους αἰδὼ, ἐν τοῖς περὶ τὴν Ἐκκλησίαν ἱεροῖς τόποις ἐσκηνεῖσθαι τολμῶντας, καὶ μὴ διαστέλλοντας ἀνὰ μέσον ἁγίου καὶ βεβήλου κατὰ τὸ λόγιον, τούτων ἁπάντων καὶ τῶν λεγομένων κατηχουμενείων ἐξωθεῖσθαι προστάττει· τοὺς δὲ μὴ πειθομένους, κληρικοὺς μὲν ὄντας, καθαιρέσει, λαϊκοὺς δὲ, ἀφορισμῷ ὑποτίθησι.

Νόμος.

Καὶ γὰρ καὶ ὁ ἀνωτέρω ῥηθεὶς νόμος, οὐδὲ τοὺς πρόσφυγας ἐπιτρέπει ἔνδον τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. Ἀλλὰ καὶ ἡ ογ'. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, τιμωρεῖσθαι κελεύει τοὺς ἐπιτρέποντας ἄλλοις ἐν τοῖς κατηχουμενείοις σκηνοῦν.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Ὅτι τὰ τῶν Ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι δεῖ, καὶ ὅπως δεῖ τοὺς ἐπισκόπους ταῦτα διοικεῖν.

Ἀποστόλων λή.

Ὁ λή. τῶν ἁγίων Ἀποστόλων κανὼν, πάντων μὲν τῶν τῆς Ἐκκλησίας πραγμάτων, τὸν ἐπίσκοπον ἔχειν τὴν φροντίδα κελεύει, καὶ ὡς ὑπὸ Θεῷ μάρτυρι διοικεῖν ταῦτα· μὴ ἐξεῖναι δὲ αὐτῷ, ὁτιοῦν ἐξ αὐτῶν σφετερίζεσθαι, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγεῖν καὶ τούτοις ἐξ ἴσης τοῖς λοιποῖς πένησι· μὴ μέντοι προφάσει τῶν ἐνδεῶν, τὰ τῆς Ἐκκλησίας ἀπεμπολεῖν· ἐκ δέ γε τῶν προσόδων, ἑαυτῷ τε κἀκείνοις ἐπαρκεῖν· τὰ γὰρ τῷ Θεῷ καθιερωθέντα οὐχ ὅσιον ἐκποιεῖν.

Συνόδου ἑβδόμης ιϐ'.

Τοῦτον κατὰ ῥῆμα ἐπεξιὼν ὁ τῆς ζ'. Συνόδου ιϐ'. προσεπάγει· Ἐπίσκοπος 1) ἢ ἡγούμενος, ἔστιν ἃ τῶν τοῦ ἐπισκοπείου ἢ τῶν τοῦ μοναστηρίου κτημάτων ἐκποιούμενος, καὶ ἄρχοντι ἢ

1) εἴτις ἐπίσκοπος Γ.

ἑτέρῳ τινὶ ἐκδιδοὺς, ἄκυρον εἶναι τὴν ἔκδοσιν· εἰ δὲ προφασίζοιτο προσζημιοῦν μᾶλλον ἢ ὀνῖναι τὸν ἀγρὸν, μηδ' οὕτως ἄρχουσι, κληρικοῖς δὲ ἢ γεωργοῖς αὐτὸν ἐκδιδότω· εἰ δὲ πανουργίᾳ χρήσαιτο, καὶ ἐκ τοῦ κλήρου ἢ τοῦ γεωργοῦ ὁ ἄρχων αὖθις ὠνήσατο τὸν ἀγρὸν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶξιν, εἴτε πρᾶσις, εἴτε συνάλλαγμα εἴη, καὶ τὸν ἀγρὸν τῷ ἐπισκοπείῳ ἢ τῷ μοναστηρίῳ ἀποκαθίστασθαι, καὶ ὁ τοῦτο σκαιωρήσας ἐπίσκοπος ἢ ἡγούμενος, ὁ μὲν, τοῦ ἐπισκοπείου, ὁ δὲ, τοῦ μοναστηρίου ἐκβεβλήσθων, ὡς διασκορπίζοντες κακῶς ἃ οὐ συνήγαγον· τῇ ἐκβολῇ δὲ πάντως συνεξακούεται καὶ ἡ καθαίρεσις.

Καρθαγένης κς', λγ'.

Τούτοις καὶ ὁ κς'. τῆς ἐν Καρθαγένῃ ἐπιψηφίζεται, καὶ τῆς Ἐκκλησίας ἀνεκποίητα εἶναι τὰ κτήματα βούλεται, εἰ καὶ μηδόλως τινὰ φέρει πρόσοδον· εἰ δὲ πολλή τις ἀνάγκη ἐπίκειται, τοῖς ὡρισμένοις δώδεκα ἐπισκόποις, καὶ πρὸ τούτων τῷ τῶν ἄλλων πρωτεύοντι, ἀναθεῖναι τὰ περὶ τούτου· εἰ δὲ τοῦτο οὐχ οἷόν τε διὰ τὸ ἀπαραίτητον τῆς ἀνάγκης, τοὺς ὁμόρους γοῦν τῶν ἐπισκόπων διαμαρτύρασθαι, προνοίᾳ τοῦ μὴ ἀγνοῆσαι τὴν Σύνοδον τὰς ἐπισυμβάσας τῇ Ἐκκλησίᾳ τούτου περιστάσεις· ὅπερ εἰ μὴ δρᾶσαι προθυμηθείη, οἷα ὑπεύθυνος τῷ Θεῷ καὶ τῇ Συνόδῳ, τῆς ἰδίας τιμῆς ἀλλοτριωθήσεται.

Ὁ δὲ λγ'. πρεσβυτέροις καὶ λοιποῖς κληρικοῖς ἀπείρηκεν ἔχειν ἃ τῶν τῆς Ἐκκλησίας πιπράσκειν κινητῶν τε καὶ ἀκινήτων, εἰ μὴ ἄρα καὶ ὁ ἐπίσκοπος συναινέσειεν· οὐ μὴν οὐδ' αὐτῷ τοῦτο ποιεῖν ἐφεῖται, τῆς ἐφ' ᾗ τελεῖ ἀγνοούσης Συνόδου, προσέτι καὶ τῶν ὑπ' αὐτῷ πρεσβυτέρων· δεῖ γὰρ ἐπὶ τῆς διοικήσεως τῶν τῆς Ἐκκλησίας πραγμάτων μάρτυρας αὐτοὺς ἀξιοχρέους ἔχειν, ὡς μὴ σκάνδαλα κατ' αὐτοῦ φύοιντο· κινητὰ μέντοι πωλεῖν, σκεύη τυχὸν ἱερὰ, πάντη ἀπείρηται· τὰ δέ γε πρὸς τροφὴν ἐπιτήδεια, σῖτον δήπου, καὶ ἄλλοῖα σπερμάτων εἴδη, νεμεσᾶν οὐδεὶ τῷ ἐπισκόπῳ, καὶ δίχα γνώμης τῶν τοῦ κλήρου πιπράσκοντι.

Ἀγκύρας ιέ.

Ταῦτα καὶ ὁ ιέ. τῆς ἐν Ἀγκύρᾳ διεξιὼν ἐπάγει· Ὡς εἴ γε μὴν συμβαίη πρὸς τῶν κληρικῶν πραθῆναί τι τῶν τῆς Ἐκκλησίας,

ἐπισκόπου χηρευούσης, τῷ τηνικαῦτα ἀνακαλεῖσθαι τὸν εἰσέπειτα χειροτονηθησόμενον τὸ πραθέν· τῇ δὲ τούτου κρίσει ἀνεῖται, εἴτε χρὴ ἀναστραφῆναι τὸ τίμημα τῷ πριαμένῳ, εἴτε καὶ μή· εὐπροσόδου γὰρ ἴσως τοῦ χωρίου τυγχάνοντος, πλείω τῆς καταβληθείσης τιμῆς ἐκαρπώσατο.

Κυρίλλου.

Ὁ δὲ μέγας Κύριλλος, ἐν Κεφαλαίῳ δευτέρῳ τῆς πρὸς Δόμνον ἐπιστολῆς, κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς Ἐκκλησίαις σώζεσθαι κελεύει· τῶν δὲ παρεμπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν, τοὺς τὴν θείαν διέποντας ἱερωσύνην ἔχειν· τὸ γὰρ ἀπαιτεῖσθαι λόγον τὸν ἐπίσκοπον τῆς διοικήσεως τῶν ἐπισυμβαινόντων ἀναλωμάτων, εἴτε ἐκ προσόδων εἶεν τῆς Ἐκκλησίας, εἴτ' οὖν καὶ ἀπό τινων καρποφορίας, λυπήσει σφόδρα, ὡς μηδὲν ἐσχάτης ἀδικίας ἐλλεῖπον, τοὺς ἁπανταχῇ γῆς ὄντας θεοσεβεστάτους ἐπισκόπους· ἕκαστος γὰρ ἡμῶν, τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ δικαίῳ κριτῇ.

Νόμοι.

Τὰς ἐκποιήσεις τῶν κτημάτων, ἃ τοῖς εὐαγέσιν οἴκοις ἀνήκει, ἴσμεν τῇ πείρᾳ, εἰς ἐσχάτην βλάβην καὶ παντελῆ καταστροφὴν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ γινομένας· ψιλούμεναι γὰρ ἐκ τούτου τῆς οἰκείας περιουσίας, εἰς τὸ μηκέτι εἶναι περιίστανται· διὸ ἄμεινον ἀπὸ τοῦ νῦν μὴ συγχωρεῖν προσέρχεσθαι ταύτας, εἰ μήπου ἀπαραίτητος κατεπείγει χρεία.

Οἱ ἀπὸ τῶν εὐαγῶν μοναστηρίων ἢ ἁπλῶς Ἐκκλησιῶν ἐμφυτευόμενοι, ἢ μισθούμενοι, ἢ ἀγοράζοντες, ἢ κατά τινα τρόπον ἐκλαμβανόμενοι κτῆσιν ἀκίνητον, πολλὴν ὀφείλουσι καταβάλλεσθαι φροντίδα, ἵνα τὰ παρ' αὐτῶν καταβαλλόμενα, εἰς ἀναγκαίας χρείας τῶν εἰρημένων Ἐκκλησιῶν, ἢ ἀντεισαγωγὰς ἑτέρων κτημάτων χρησιμευόντων αὐταῖς ἐκδαπανηθῶσιν· ἐὰν δὲ τὰ παρ' αὐτῶν καταβληθέντα μὴ κατὰ τὸν εἰρημένον τρόπον διοικηθῶσιν, ἀλλὰ κατὰ τὸ τυχὸν 1) εἰς ἄλλας τινὰς ἰδίας χρείας, ἢ ἁπλῶς ἔξωθεν τῆς ὠφελείας τῶν εὐαγῶν οἴκων, οἱ ταῦτα πε-

1) τὸ κατὰ τὸ τυχὸν οὐ κεῖται ἐν 1375, 1340, Γ. ἀλλὰ παρὰ Β.

πρακότες, ἢ ἄλλως ὁπωσδήποτε ἐκδεδωκότες τὰ καταβληθέντα καταναλώσουσιν· οἱ μὲν προειρημένοι εὐαγεῖς οἶκοι καὶ αἱ Ἐκκλησίαι, εἴσω τῆς τεσσαρακονταετίας ἀγωγὴν ποιούμενοι, ἀναργύρως τὰ οἰκεῖα παντὶ τρόπῳ ἀπολήψονται· οἱ δὲ τὴν δέουσαν φροντίδα περὶ τῶν παρ' αὐτῶν ἐκληφθέντων μὴ ποιησάμενοι, ἀπὸ μὲν τοῦ εὐαγοῦς οἴκου οὐδόλως, ὡς προείρηται, λήψονται· ἀρκεῖ γὰρ αὐτοῖς, τὸ, καὶ μή τινα ἑτέραν ὑποσχεῖν τιμωρίαν, ὅτι τὰς τοῦ Θεοῦ Ἐκκλησίας, ὅσον τῇ αὐτῶν ἀμελείᾳ, εἰς διαφθορὰν ἐλθεῖν συγκατειργάσαντο· κατὰ μέντοι γε τῶν καταναλωσάντων αὐτὰ εἰς οἰκείαν δαπάνην, ἢ ἁπλῶς ἔξωθεν τῆς τῶν εὐαγῶν οἴκων ὠφελείας, ἀγωγὴν ἔχειν δύνανται 1).

Ἂν δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι, κινητοῖς τε καὶ ἀκινήτοις, ἐνὶ τῶν εὐαγῶν οἴκων, ἀναδίδοσθαι μὲν τῇ αὐτῇ Ἐκκλησίᾳ τὸ πρᾶγμα, ἐφ' ᾧ τοιοῦτό τι παρηκολούθησε μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν· μενέτω δὲ παρ' αὐτῇ καὶ τὸ τίμημα, ἢ τὸ ἀντίδωρον, ἢ τὸ ὑπὲρ ἀμείψεως, ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ δεδομένον· εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικὸν, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν· εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ οἴκῳ ἀποδιδότω· οἱ δὲ τὰ συμβόλαια γράψαντες ἐπὶ τοιούτοις ταβουλλάριοι, παρὰ τόνδε ἡμῶν τὸν νόμον, διηνεκεῖ ἐξορίᾳ καταδικαζέσθωσαν 2).

Ἡ μέντοι ταῦτα νομοθετοῦσα ρκ'. Ἰουστινιάνειος νεαρὰ θεσπίζει, μὴ μόνον ἀπρόσοδα ἀλλὰ καὶ εὐπρόσοδα πολλάκις ἀκίνητα Ἐκκλησιῶν ἢ μοναστηρίων, καὶ αὐτῆς τῆς μεγάλης Ἐκκλησίας, ἐκποιεῖσθαι καὶ ἐκδίδοσθαι, δι' αἰτίας τὰς ἐν αὐτῇ δηλουμένας· πρὸς δὲ, καὶ ἱερὰ σκεύη ἐν τῷ καλοῦντι τοῦ καιροῦ ἐκποιεῖσθαι, ἢ ὑποτίθεσθαι, εἰς ἀνάῤῥυσιν τυχὸν αἰχμαλώτων· εἰ δὲ πλείονα εἶεν σκεύη, μηδεμίαν ἐμποιοῦντα χρῆσιν ἀναγκαίαν, συμβαίνει δέ τινα τῶν εὐαγῶν οἴκων βαρύνεσθαι πλήθει χρεῶν, καὶ μὴ ὕπεσιν ἕτερα κινητὰ πράγματα, ἐξ ὧν ἔνι δοθῆναι τὰ χρέη, ἄδεια ἔσται, συνισταμένης πράσεως ἀζημίως, ἐπισκό-

1) Νεαρ. ρκ'. Κ. ς'. — 2) Νεαρ. ρκ'. Κ. ιά.

που μὲν ἐκποιοῦντος παρὰ τῷ μητροπολίτῃ, τούτου δὲ παρὰ τῷ ἰδίῳ πατριάρχῃ, τὰ περιττὰ σκεύη ἄλλοις εὐαγέσιν οἴκοις χρείαν ἔχουσι πωλεῖν, ἢ χωνεύειν καὶ πιπράσκειν, καὶ τὴν τιμὴν αὐτῶν εἰς τὸ χρέος παρέχειν, ὥστε μὴ τὰ ἀκίνητα αὐτῶν ἐκποιεῖσθαι 1).

Οἱ εὐαγεῖς οἶκοι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις ὑπ' ὄψιν τοῦ μητροπολίτου, συνόντων αὐτῷ τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν· τότε δὲ καὶ τὰ ἀκίνητα ἐκκλησιαστικὰ ἐκποιεῖται, ὅταν μὴ ᾖ παντελῶς κινητά 2).

Παρὰ δὲ τοῖς νόμοις, ἐκποίησις μὲν λέγεται κυρίως ἡ μετάθεσις τῆς δεσποτείας, ἤγουν ἡ δωρεὰ, ἡ πρᾶσις, ἡ ἐμφύτευσις, ἡ ἀνταλλαγὴ, καὶ τὰ ὅμοια· ἔκδοσις δὲ, ἡ ἐπὶ χρόνοις ὡρισμένοις πρός τινας παραπομπή· καταχρηστικῶς δὲ καὶ ἡ ἔκδοσις ἐκποίησις λέγεται, καὶ ἡ ἐκποίησις, ἔκδοσις.

Ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς, ἀγωγὴν ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ ἐπισκόπων.

Ζήτει ἐν τῷ ζ'. Κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνα νή. τῶν ἁγίων Ἀποστόλων.

Νόμοι.

Ἐπίσκοπός ἐστι θεατὴς, καὶ κηδεμὼν πασῶν τῶν ἐκκλησιαζομένων ψυχῶν, τῶν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ, δύναμιν ἔχων τελεστικὴν πρεσβυτέρου, καὶ διακόνου, ὑποδιακόνου, ἀναγνώστου, ψάλτου, καὶ μοναχοῦ 3).

Ἴδιον ἐπισκόπῳ, τοῖς μὲν ταπεινοῖς συγκατέρχεσθαι, καταφρονεῖν δὲ τῶν ἐπαιρομένων, καὶ πρὸς ταπείνωσιν ἔργῳ καὶ λόγῳ τῶν ὑπερηφάνων τὸ φρόνημα καθέλκειν, καὶ προκινδυνεύ-

1) Νεαρ. ρκ'. Κ. ί. — ιϛ'. Βασ. Ε. 6'. — 2) Νεαρ. ρκ'. Κ. ς'. — 3) Ἐπαγγ. Ζ'. Κ. 1.

ειν τοῦ ποιμνίου, καὶ τὴν ἐκείνου στενοχωρίαν οἰκείαν ὀδύνην ποιεῖσθαι 1).

Ὅτι τοῖς ἐπισκόποις ἐντέταλται 2) καταμηνύειν τοῖς ἐν τῇ χώρᾳ πρωτεύουσι, τὰς ἀδικίας τῶν ἀδικούντων.

Οἱ ἐπίσκοποι ἐπισκεπτέσθωσαν τοὺς ἐν φυλακῇ κατὰ τετράδα καὶ παρασκευήν, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι εἶεν, καὶ παρασκευαζέτωσαν τοὺς ἄρχοντας ποιεῖν ἐν αὐτοῖς ὅσα οἱ νόμοι κελεύουσι· μὴ πειθομένων δὲ τῶν ἀρχόντων, μηνυέτωσαν τῷ βασιλεῖ περὶ αὐτῶν 3).

Οἱ ἐπίσκοποι ὀφείλουσι παρασκευάζειν τοὺς ἄρχοντας ἐντὸς ἡμερῶν εἴκοσιν ἐκβάλλειν τοὺς ἐμβεβλημένους ἐν τῇ φυλακῇ οἰκέτας, κἂν μὴ φαίνωνται οἱ δεσπόται εἴσω τῶν εἴκοσιν ἡμερῶν, ἀπολύειν αὐτούς. Ζήτει καὶ τὸ ή. Κεφ. τοῦ Π στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Ὅτι τοὺς ἐπισκόπους χωρίζεσθαι δεῖ τῶν ἰδίων γυναικῶν.

Ζήτει τὸ ιζ'. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ ἐπισκόπων, Ἐκκλησίας λαμβανόντων διὰ προστασίας ἀρχόντων.

Ἀποστόλων λ'.

Ὁ λ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, οὕτω φησὶ κατὰ ῥῆμα· Εἴ τις ἐπίσκοπος, κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένοιτο, καθαιρείσθω, καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες· τὸ τοῦ ἐπισκόπου δὲ μνημονεύσας ὄνομα, ἐκ τοῦ περιέχοντος καὶ τοὺς ὑπ' αὐτὸν συμπεριέλαβε κληρικούς· εἰ δὲ καὶ ἐν τῷ κέ. κανόνι λέλεκται, μὴ δεῖν δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτὸ, ὃν καὶ ζήτει ἐν τῷ ί. Κεφ. τοῦ Δ στοιχείου, ἀλλὰ διὰ τὸ περιὸν τῆς κακίας καὶ τὸ τοῦ ἁμαρτήματος περι-

1) αὐτίθι Κ. ς'. 2. — 2) ἐντέτακται Γ. — 3) 22 Κώδ. 1. 4.

φανῶς ἐξάγιστον, διπλῆν ἐπάγει τὴν τιμωρίαν, ἀφορισμὸν πρὸς τῇ καθαιρέσει, καὶ τούτοις, καὶ τοῖς ἐπὶ χρήμασι μὴ δεδιόσι χειροτονεῖν.

Συνόδου ἑβδόμης γ'.

Τούτου καὶ ὁ γ'. κανὼν τῆς ζ'. Συνόδου, ὡς ἔχει λέξεως, μέμνηται, καὶ ἐπιφέρει, πᾶσαν ψῆφον παρὰ ἀρχόντων γινομένην, ἐπὶ ἐνίων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἄκυρον μένειν· καὶ ἐπὶ μὲν ἐπισκόπων ψῆφόν φησι, τὴν κατ' ἐξουσίαν τῶν ἀρχόντων εἰς ἔργον προβαίνουσαν· ἐπὶ δὲ πρεσβυτέρων καὶ διακόνων, καταχρηστικῶς ἡ ψῆφος ἀντὶ χειροτονίας ἐλήφθη· γίνεσθαι δὲ τὴν τοῦ ἐπισκόπου κελεύει χειροτονίαν κατὰ τὸν δ'. κανόνα τῆς ά. Συνόδου, ὃν καὶ ζήτει ἐν τῷ ά. Κεφ. τοῦ Χ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ ἐπισκόπου χειροτονηθέντος, καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν, ἢ ἀπελθόντος καὶ μὴ δεχθέντος, ἢ μὴ δυνηθέντος ἀπελθεῖν διὰ τὸ ὑπὸ ἐθνῶν τὴν Ἐκκλησίαν κατέχεσθαι.

Ἀποστόλων λς'.

Ὁ λς'. τῶν ἁγίων Ἀποστόλων κανὼν, τὸν χειροτονηθέντα ἐπίσκοπον καὶ ἀφικέσθαι μὴ καταδεχόμενον εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ, καὶ τὴν φροντίδα τοῦ λαοῦ ἀναδέξασθαι, ἀφορίζεσθαι κελεύει, μέχρις ἂν καταδέξηται· εἰ δ' ἀπελθὼν ἀποπεμφθείη, οὐ παρὰ τὴν αὐτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸν μὲν ἐπίσκοπον καὶ οὕτω μένειν, τὸν δὲ κλῆρον τῆς πόλεως ἐκείνης ἀφορίζεσθαι, οἷα καλῶς τὸν λαὸν μὴ παιδεύοντα.

Ἀντιοχείας ιζ', ιη'.

Ταῦτα καὶ ὁ ιζ'. τῆς ἐν Ἀντιοχείᾳ διέξεισιν, ἔτι δὲ καὶ ὁ ιή. ἀλλὰ τὸν μὲν ἀπειθοῦντα, τὴν ἐπίκρισιν ἐκδέχεσθαι κελεύουσι τῆς τελείας Συνόδου, εὐπρόσωπον αἰτίαν τυχὸν προβαλλόμενον· τὸν δὲ πρὸς τοῦ λαοῦ ἀποπεμφθέντα, μετέχειν μὲν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μηδὲν δὲ παρενοχλεῖν τοῖς πράγμασι τῆς Ἐκκλησίας, ἐν ᾗ διάγων τυγχάνει· ὡς γὰρ οὐκ ἐφεῖται τούτῳ

διδάσκειν, ἢ λειτουργεῖν, ἢ χειροτονεῖν ἐν τῇ ἀλλοδαπῇ, εἰ μὴ πρὸς τοῦ ἐγχωρίου ἐπιτραπείη, οὕτως οὐδέ τινα τῶν τῆς Ἐκκλησίας πραγμάτων ἔξεστι σφετερίζεσθαι· ἐκδέχεσθαι δὲ καὶ τοῦτον τὴν γνώμην τῆς τελείας Συνόδου.

Συνόδου ἕκτης λζ΄.

Ὁ δὲ τῆς ς΄. Συνόδου κανὼν λζ΄, τὸν εἰς Ἐκκλησίαν χειροτονηθέντα βαρβάροις ὑπόφορον, καὶ τὴν ἐκεῖσε ἄφιξιν ἀπεγνωκότα, τὸν προῦπτον φυλαττόμενον κίνδυνον, μηδενὸς τῶν τοῖς ἀρχιερεῦσι πρεσβείων παρὰ τοῦτο στέρεσθαι ἀξιοῖ· μηδὲ γὰρ τὴν ἐθνικὴν εἰς τοσοῦτον ἐνδυναστεύειν ἐπήρειαν, ὡς καὶ τὰ τῆς ἱερωσύνης λυμαίνεσθαι δίκαια· μηδὲ τῇ βαρβαρικῇ περιγάσει τὴν τοῦ ἀπεριγράπτου περιγράφεσθαι ἁγιστείαν. Καὶ χειροτονεῖν γὰρ ἐφεῖται τούτῳ κληρικοὺς οἱουσδήποτε, καὶ τοῦ τῆς προεδρίας βαθμοῦ κατὰ τὸν ἴδιον ἔχεσθαι ὅρον, καὶ πάντα τὸ βέβαιον ἕξει, ὅσα δήπου κανονικῶς διαπράξεται, ὥσπερ ἂν εἰ καὶ κατὰ τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν ἐτύγχανεν ὤν.

Ζήτει καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ Δ στοιχείου κανόνα ις΄. τῆς λεγομένης ΑΒ΄. Συνόδου.

Νόμος.

Ὁ δὲ ἀοίδιμος βασιλεὺς Ἀλέξιος ὁ Κομνηνὸς, ἐγγράφῳ ἐπιτάγματι, μεγάλαις εἰσφορῶν δόσεσι δεξιοῦσθαι κελεύει τοὺς χειροτονίαν ἐπισκοπῆς τινος δεξαμένους τῶν κατὰ τὴν ἀνατολὴν Ἐκκλησιῶν, τῶν ὑπὸ βαρβάροις ἔτι κατεχομένων· μοναστηρίων τε γὰρ προστασίας, καὶ ἐπετείους ἐπισιτήσεις, καὶ ἕτερα ἄττα τοιαῦτα τούτοις ἐπιβραβεύει 1).

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

Περὶ ἐπισκοπῶν, μητροπόλεων γινομένων, καὶ ὅτι οὐ δεῖ ἐν μιᾷ ἐπαρχίᾳ δύο εἶναι μητροπολίτας.

Συνόδου τετάρτης ιβ΄, ιζ΄.

Ὁ ιβ΄. τῆς δ΄. Συνόδου κανὼν, τὰ δεινότατα ἐπανατείνεται τῶν ἐπισκόπων τοῖς διὰ γραμμάτων ἐπιχειροῦσι βασιλικῶν εἰς

1) Σύντ. Τόμ. Β΄. σελ. 390.

δὸο τὴν μίαν διαιρεῖν ἐπαρχίαν, καὶ τὴν οἰκείαν ἐπισκοπὴν νέαν πραγματευομένοις καλεῖσθαι μητρόπολιν· τοῦτο δὲ ἄρα πράγματά ποτε παρέσχε καὶ τῷ μεγάλῳ Πατρὶ Βασιλείῳ, τῆς Καππαδοκίας διαιρεθείσης διὰ τὴν νέαν τῶν Τυάνων μητρόπολιν· τοὺς δὲ τοιοῦτόν τι τοῦ λοιποῦ τολμῶντας, τῆς ἱερωσύνης ἐξοστρακίζει. Ὅσαι γε μὴν ἐπισκοπαὶ γράμμασι βασιλικοῖς ὀνόματι πρὸ τούτου τετίμηνται μητροπόλεων, ταύτης μόνης τῆς τιμῆς ἀπολαύειν παρεγγυᾷ, καὶ τοὺς τούτων προέδρους μητροπολίτας καὶ μόνον καλεῖσθαι, τῇ δὲ ἀληθῶς μητροπόλει οὐδὲν ἧττον ἀναλλοίωτα τὰ προτοῦ δίκαια περισώζεσθαι· ἀλλὰ τανῦν οὐ πάντα τὰ τοῦ κανόνος φυλάττεται τούτου· ὁρῶμεν γὰρ τῶν ἐπισκοπῶν καὶ ἐφ' ἡμῶν οὐκ ὀλίγας, βασιλικοῖς ἐπιτάγμασιν εἰς τὴν τῆς μητροπόλεως προεδρίαν ἀναγομένας.

Ὁ δὲ ιζ΄, Εἴ τις ἐκ βασιλικῆς, φησὶν, ἐξουσίας κεκαίνισται πόλις, καὶ ἐκ βάθρων ἀνεγήγερται, ἢ καὶ αὖθις καινισθείη καὶ ἀνεγερθείη, καὶ βασιλικοῖς καὶ δημοσίοις τύποις τιμηθείη, ἐγγράφοις δηλαδὴ προστάγμασι, πρεσβεῖα πολιτικὰ, ἢ τιμὴν ἐπισκοπῆς, ἢ μητροπόλεως ταύτῃ χαριζομένοις, δέον καὶ τὴν τῶν ἐκκλησιαστικῶν παροικιῶν τε καὶ πραγμάτων τάξιν τοῖς βασιλικοῖς τύποις ἀκολουθεῖν, καὶ ἐπισκοπὴν αὐτὴν ἢ μητρόπολιν καταλογίζεσθαι, μονονουχὶ τῶν Πατέρων λεγόντων, ἐπειδὴ τοῖς βασιλεῦσιν ἀντιπίπτειν οὐ δεδυνήμεθα, τοῖς πρὸς αὐτῶν ψηφιζομένοις καὶ ἡ ἐκκλησιαστικὴ τάξις ἀκολουθείτω.

Περὶ προνομίων βασιλικῶν.

Νεαρά.

Ἔξεστι γὰρ τῷ βασιλεῖ περὶ ἐνοριῶν ἐκκλησιαστικῶν διατάττεσθαι, καὶ προνόμιά τινων ἀφαιρεῖσθαι, καὶ ἐπισκοπὰς αὖθις εἰς μητροπόλεις τιμᾶν, καὶ ἡγουμένους προχειρίζεσθαι, καὶ ἕτερά τινα τοιαῦτα ποιεῖν 1).

Ταῦτα καὶ ὁ τῆς ς΄. Συνόδου λή. δίεισι ταῖς αὐταῖς αὐτῷ χρησάμενος λέξεσί τε καὶ ἐννοίαις.

Ὁ δὲ βασιλεὺς Ἀλέξιος ὁ Κομνηνὸς, ἅμα μὲν τὸ ἐκ τῶν κανόνων φυλαττόμενος δέος, ἅμα δὲ καί τινας τῶν Ἐκκλησιῶν

1) Βαλσ. εἰς Καν. ιζ΄. τῆς Δ΄.

τιμᾶσθαι βουλόμενος, χρυσοβούλλῳ γράμματι διορίζεται, μὴ ἄλλως ἐπισκοπὴν εἰς ὑψηλότερον θρόνον ἀνάγεσθαι, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἴκοθεν ὁρμηθεὶς, χάριτος ἀνθρωπίνης οὐκ εὐπρεποῦς μὴ μεσολαβούσης, βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν, ἢ τὸ τῆς πόλεως δυσωπηθεὶς μέγεθος, ἢ πίστει τῇ πρὸς τὴν εὐαγῆ κινηθεὶς Ἐκκλησίαν, ἢ τοῦ προεστῶτος αὐτῆς τὴν ἀρετὴν αἰδεσθείς. Εἰ γὰρ ἐξ εὐπροσώπου τοιαύτης αἰτίας ὁ βασιλεὺς προεδρίαν Ἐκκλησίᾳ τινὶ χαρίσαιτο, καὶ τὸν Πατριάρχην εἰκὸς τῷ ταύτης ἀρχιερεῖ τὸν προσήκοντα βαθμὸν ἐν τῇ ὑπ' αὐτὸν ἀπονέμειν Συνόδῳ, εἰς μητροπολίτου τυχὸν, ἢ ἀρχιεπισκόπου τόπον ἀνηνεγμένῳ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι δεῖ τοὺς ἐπισκόπους, τὰς ἐπισκοπὰς καὶ τὰ μοναστήρια ἀνακαλεῖσθαι, εἰ κοινὰ γένοιντο καταγώγια.

Συνόδου ἑβδόμης ιγ'.

Ὁ τῆς ἑβδόμης Συνόδου ιγ'. κανὼν, Τοὺς κοινὰ καταγώγια πεποιηκότας Ἐκκλησίας τινὰς, ἢ ἐπισκοπὰς, ἢ μοναστήρια, ἐξίστασθαι τούτων κελεύει, ὡς ἂν αὖθις τὸ ἀρχαῖον λάβωσι σχῆμα· εἰ δὲ μὴ βούλοιντο, κληρικοὺς μὲς ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι, καὶ τῷ ἀτελευτήτῳ σκώληκι, καὶ τῷ μὴ σβεννυμένῳ πυρὶ παραπέμπεσθαι, ὡς τὸν τοῦ Θεοῦ οἶκον ἐμπορίου ποιοῦντας οἶκον· οὐ μὴν τὸ τοῦ χρόνου προβαλοῦνται μῆκος οἱ τὰς ἐπισκοπὰς εἰς κοσμικὰ μεταθέντες καταγώγια· οὐ γὰρ ἀποκλείει τοὺς ἀνακαλουμένους ταῦτα ὁ μεταξὺ χρόνος· τὰ δέ γε μοναστήρια μετὰ τεσσαράκοντα ἔτη οὐκ εὐχερῶς ἀποκαθίστανται τοῖς ἀναζητοῦσιν, εἰ καὶ διὰ ῥᾳθυμίαν τῶν προκατεχόντων εἰς αὐτοὺς περιῆλθον.

Ὅτι οὐ κωλύονται οἱ κοσμικοὶ μοναστήρια ἐκλαμβάνειν.

Τὰ τοῦ κανόνος μέντοι οὐκ ἐμποδὼν ἔσται τοῖς ἐκλαμβάνουσι κοσμικοῖς μοναστήρια, εἴ γε πρὸς βελτίω κατάστασιν, καὶ πρὸς ἐπίδοσιν κρείττω τὰ τῆς μονῆς γενέσθαι τούτοις μελήσειε· τοῦτο

1) Συντ. Τ. Β'. σελ. 393, 394 καὶ Τ. Ε'. σελ. 62—75.

γὰρ καὶ ὁ τόμος τοῦ Πατριάρχου Σεργίου ἐφίησιν· ἀλλὰ τοὺς ποιοῦντας αὐτὰ κοσμικὰ καταγώγια, τῆς κατοχῆς αὐτῶν ἐξωθεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ τῶν τοῦ ἐπισκόπου ἰδικῶν πραγμάτων, καὶ ὅπως δεῖ τὰ τῆς Ἐκκλησίας διοικεῖν αὐτόν.

Ἀποστόλων μ΄, μά.

Ὁ μ΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, Τὸν ἴδια κεκτημένον πρὸ τῆς χειροτονίας ἐπίσκοπον, κελεύει δῆλα ταῦτα ποιεῖν, καὶ μὴ τοῖς τῆς Ἐκκλησίας μιγνύειν, ἵν' ἐξουσίαν ἔχῃ τελευτῶν, οἷς βούλεται καὶ ὡς βούλεται ταῦτα καταλιπεῖν, ὀρθοδόξοις μέντοι Χριστιανοῖς· καὶ μὴ προφάσει τῶν τῆς Ἐκκλησίας πραγμάτων ἀπόλλυσθαι τὰ τοῦ ἐπισκόπου, γυναῖκα καὶ παῖδας ἔσθ' ὅτε κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας· δίκαιον γὰρ παρὰ Θεῷ καὶ ἀνθρώποις, μήτε τὴν Ἐκκλησίαν ζημιοῦσθαι ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῶν τῆς Ἐκκλησίας, ζημίαν ὑπομένειν, βάρει χρεῶν ἴσως ὑποκειμένης, καὶ εἰς πράγματα τούτοις ἐμπίπτοντας, τῷ αὐτοῦ διαλοιδορεῖσθαι θανάτῳ· εἰ γὰρ μὴ δῆλα τά τε πρὸ τῆς χειροτονίας, καὶ τὰ μετὰ ταύτην αὐτῷ περιελθόντα, ἐξ αἰτίας εὐπροσώπου ποιήσαιτο, τῶν αὐτοῦ πάντων ὁ μετ' αὐτὸν χειροτονηθεὶς ἀνθέξεται, ἀναδεδεγμένος πάντως καὶ τὴν τῶν χρεῶν ἔκτισιν.

Ὁ δὲ μά, Τὸν ἐπίσκοπον τὴν ἐξουσίαν ἔχειν τῶν τῆς Ἐκκλησίας ἐπιτάττει πραγμάτων, καὶ κατὰ τὴν αὐτοῦ ταῦτα διοικεῖσθαι γνώμην, διακόνοις χρώμενον τῶν κληρικῶν τοῖς ἐξηλεγμένοις ἐπ' ἀρετῇ καὶ ὑπολήψει χρηστῇ. Εἰ γὰρ τῶν τιμίων καὶ ἀθανάτων ψυχῶν ἐπιτέτραπται τὴν διοίκησιν, πολλῷ γε δὴ πιστευτέον αὐτῷ τὴν τῶν ὑλικῶν τε καὶ φθειρομένων, ὥστε χορηγεῖν ταῦτα τοῖς δεομένοις καὶ τοῖς ἐπιξενουμένοις τῶν ἀδελφῶν, καὶ μηδενὸς ἐνδεῶς ἔχοντας καθιστᾷν· ἐπείτοι γε καὶ φιλόξενον εἶναι δεῖ τὸν ἐπίσκοπον πρὸς τοῖς ἄλλοις· χρῆσθαι δέ τισι τούτων καὶ εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, διατρο-

φάς τε, φημὶ, καὶ σκεπάσματα 1), κατὰ τὸν θεῖον Ἀπόστολον· οὐ μὴν εἰς τρυφὰς καὶ βλακείας, καὶ περιττὰς ὀρέξεις καὶ ἀνοήτους· καὶ γὰρ ὁ νόμος διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρευόντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι· ἐπεί περ οὐδὲ στρατιώτης δήπουθεν ἰδίοις ὀψωνίοις ὅπλα κατὰ τῶν πολεμίων ἄρασθαι προθυμηθήσεται 2).

Τοῖς δυσὶ τούτοις ἀποστολικοῖς κανόσιν ἑπόμενοι, ὅ,τε κδ΄. καὶ ὁ κέ. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐκείνοις ἐπιψηφίζουσι, καὶ ἐπάγουσιν· Ἂν δὲ τοῖς ἀποχρῶσιν ὁ ἐπίσκοπος μὴ αἱρῆται βιῶναι, μήτε μὴν εἰδήσει τῶν ἐν τῷ κλήρῳ τὰς προσόδους τῶν τῆς Ἐκκλησίας πραγμάτων εἰσδέχεσθαι, καὶ τὴν χορηγίαν αὖθις ᾗ δέον ποιεῖσθαι· οὐ μὴν ἀλλὰ καὶ τοῖς γένει προσήκουσι διαιτηταῖς τούτων χρώμενος, εἰς οἰκείας ἐκφέρει τὰ πλείω χρείας, ὡς λελῃθότως βλάπτεσθαι τοὺς λογισμοὺς τῶν πραγμάτων τῆς Ἐκκλησίας, εὐθύνας ἂν εἴη δίκαιος ὑποσχεῖν, οἷα λογισταῖς ἀπαραλογίστοις, τῇ Συνόδῳ τῆς ἐπαρχίας. Εἰ δ' αὖθις ὁ ἐπίσκοπος διαβάλλοιτο, καὶ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς ἂν τὰ τῆς Ἐκκλησίας εἰς ἑαυτοὺς καὶ οὐκ εἰς τὸ δέον δαπανῶντες, ὡς θλίβεσθαι μὲν τοὺς πένητας μὴ τὰ πρὸς χρείαν πορίζομένους, βλασφημίαν δὲ τῷ τε λογισμῷ τῶν πραγμάτων καὶ τοῖς ταῦτα διοικοῦσι προστρίβεσθαι, καὶ ταῦτα διορθώσεως τυγχανέτω, τὸ πρέπον τῆς ἁγίας δοκιμαζούσης Συνόδου. Ζήτει καὶ τὸ δ΄. Κεφάλ. τοῦ Δ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Ὅτι τὸν ἐπίσκοπον, καὶ οἰκονόμον ἔχειν δεῖ τῶν τῆς Ἐκκλησίας πραγμάτων.

Συνόδου τετάρτης κς΄.

Ὁ κς΄. τῆς δ΄. Συνόδου κανὼν, Δεῖ, φησι, τὸν Ἐκκλησίαν λαχόντα ἰθύνειν ἐπίσκοπον, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ κλήρου, τοὺς τρόπους ἐπιεικῆ, καὶ παντὸς κέρδους καὶ λήμματος ὑπάρ-

1) ά. Τιμόθ. ε΄, 8. — 2) ά. Κορ. Θ΄, 7.

χοντα ὑψηλότερον, οὐ μὴν ἐκ τοῦ λαοῦ, οὐδέ τινα τῶν αὐτῷ προσηκόντων, ὥστε μετὰ τῆς αὐτοῦ γνώμης τὰς προσόδους τῶν ταύτης πραγμάτων εὖ μάλα διέπειν, καὶ μὴ καπηλεύειν τὸν ἔρανον τῆς χρηστότητος· εἰ γὰρ καὶ ἀνεῖται τῷ ἐπισκόπῳ πάντων ἡ ἐξουσία, ἀλλ' οὐτινοσοῦν τοῦ ἐπιμαρτυροῦντος χωρὶς, ἥκιστα τὴν τούτων οἰκονομίαν γίνεσθαι δεῖ, ἵνα μὴ μάτην καὶ εἰκῇ τὰ τῶν πενήτων σκεδαννύμενα ὑποπτεύηται, ὥστε καὶ λοιδορίαν ἐντεῦθεν τῇ ἱερωσύνῃ προστρίβεσθαι, ὡς δῆθεν ἀθέσμως τούτοις τοῦ ἐπισκόπου χρωμένου· τὸν δὲ μὴ οὕτω ποιοῦντα, ταῖς εὐθύναις ὑποτίθησι τῶν θείων κανόνων.

Συνόδου ἑβδόμης ιά.

Ταῦτα παρεγγυᾶται καὶ ὁ ιά. κανὼν τῆς ζ'. Συνόδου, καὶ προστίθησιν, ὡς, εἰ μὴ βούλοιτό τις τῶν μητροπολιτῶν, αὐθέκαστος ὢν, οἰκονόμον ἐκ τοῦ κλήρου τοῖς πράγμασιν ἐπιστῆσαι, ἀλλ' ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης, ὑπ' αὐτὸν τελούσης τῆς μητροπόλεως, τῷ περιόντι τῆς ἐξουσίας, καὶ οἰκονόμον ἐπ' αὐτῇ προχειρίσεται· ταῦτα δὲ καὶ τῷ μητροπολίτῃ πράττειν ἐφεῖται κατὰ τῶν ὑποκειμένων αὐτῷ ἐπισκόπων· τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναστηρίων φυλαχθήσεται.

Θεοφίλου Ἀλεξανδρείας θ', ί.

Ὁ δὲ Θεόφιλος Ἀλεξανδρείας, ἔν γε τῷ θ'. καὶ ί. αὐτοῦ κανόνι, κρίσει παντὸς τοῦ ἱερατείου τὸν τῆς ἐπισκοπῆς οἰκονόμον ἐπισκήπτει προβάλλεσθαι, εἰ καὶ τὴν γνώμην ἔχουσι τοῦ ἐπισκόπου σύμψηφον, ἵνα τὰ τῆς Ἐκκλησίας εἰς δέον δαπανῶνται τῇ ἐκείνου φροντίδι, χήραις καὶ πένησι, καὶ τοῖς ἐπιδημοῦσι ξένοις διανεμόμενα, καὶ μηδὲν τούτων αὐτὸν ἐξιδιοῦσθαι· ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν τοῦ Θεοῦ λειτουργὸν, καὶ οἰκονόμον τῶν αὐτῷ ἀνατεθειμένων. Ζήτει νόμους ἐν τῷ ή. κεφ. τοῦ Ε στοιχείου.

Νόμος.

Ἡ δὲ γ'. Ἰουστινιάνειος νεαρὰ, Προσήκει, φησὶ, τὸν κατὰ καιροὺς ἁγιώτατον Πατριάρχην, καὶ τοὺς εὐλαβεστάτους οἰκονόμους, τὰς γινομένας δαπάνας ἐκ τῶν ἐκκλησιαστικῶν πόρων, περὶ εὐσεβεῖς δαπανᾶν πράξεις, καὶ Θεῷ ἀρεσκούσας, καὶ εἰς

ἐκείνους ταῦτα χορηγεῖν τοὺς ταῖς ἀληθείαις δεομένους, καὶ οὐκ ἔχοντας ἐτέρωθεν τροφῆς ἀφορμήν· ταῦτα γὰρ τὸν δεσπότην Θεὸν θεραπεύει 1)· ἀλλὰ μὴ εἰς ἀνθρώπους εὐποροῦντας, ὡς ἐντεῦθεν τοὺς ἀπορουμένους μὴ τυγχάνειν τῶν ἀναγκαίων· ἵστωσαν γὰρ οἱ θεοφιλέστατοι οἰκονόμοι, ὡς, εἰ παρὰ ταῦτα πράξαιεν, ταῖς ἐκ Θεοῦ ποιναῖς ὑποκείσονται, καὶ ἐκ τῆς αὐτῶν οὐσίας τὸ ἀζήμιον τῇ ἁγιωτάτῃ περιποιήσουσιν Ἐκκλησίᾳ 2)· ὥστε καὶ τὰ διδόμενα ἀδελφάτα, καὶ τὰ λοιπὰ σιτηρέσια πρὸς εὐποροῦντας καὶ παραδυναστεύοντας, οὐκ ἔχουσι τὴν ἐκ τῶν νόμων ἰσχύν· τὰ πρὸς ἐνδεεῖς δὲ, πάντως βέβαια.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον μοναστήριον κτίζειν ἐπὶ λύμῃ τῶν τῆς Ἐκκλησίας αὐτοῦ πραγμάτων.

Συνόδου ά. καὶ ϛ'. ζ'.

Ὁ ζ'. τῆς ά. καὶ ϛ'. Συνόδου κανὼν, Μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι διορίζεται, μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς οἰκείας ἐπισκοπῆς νεουργεῖν· εἰ δέ τις τοῦτο τολμῶν φωραθείη, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι, τὸ δὲ νεουργηθὲν ὑπ' αὐτοῦ, τῇ ἐπισκοπῇ προσκυρωθῆναι, ἴδιον ἐσόμενον αὐτῆς κτῆμα, ὥσπερ εἰ μηδὲ τὴν ἀρχὴν ὑπῆρξε μοναστήριον· τὰ γὰρ παρανόμως γινόμενα, οὐκ εἰς ἀνατροπὴν τῶν κανονικῶς πραττομένων εἶναι δεῖ. Καὶ εἰ μὲν τῶν ὁρίων ἐντὸς τῆς αὐτῆς ἐπισκοπῆς τὸ νεουργηθὲν καθεστήκει, λόγος οὐδείς· εἰ δὲ ὑπερόριον εἴη, τοῦ μὲν μοναστηρίου καὶ τῶν αὐτῷ προσόντων ἡ ἐπισκοπὴ ἐκείνη ἔσται κυρία· ὁ δὲ ἐγχώριος ἐπίσκοπος τὰ ἀρχιερατικὰ καὶ μόνα δίκαια ἕξει· εἰ μέντοι τὰ τῆς ἐπισκοπῆς οὐ λυμαίνεται, εἴτε ὁ ἐκ βάθρων μοναστήριον ἀνεγείρων, εἴτε ὁ τῷ χρόνῳ παλαιωθὲν ἀνακαινίζων, ἐπαίνων οὐχ ἧττον ἢ μέμψεως ἄξιος.

---

1) Θεραπεύειν πέφυκε. B. — 2) Νεαρ. γ'. κεφ. γ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι δεῖ τὸν ἐπίσκοπον χορηγεῖν τοῖς ἐνδεῶς ἔχουσι τῶν κληρικῶν ἐκ τῶν τῆς Ἐκκλησίας πραγμάτων.

Ἀποστόλων νθ'.

Ὁ νθ'. τῶν ἁγίων Ἀποστόλων κανών, Τὸν μὴ ἐπιχορηγοῦντα ἐπίσκοπον ἢ πρεσβύτερον ἐκ τῶν τῆς Ἐκκλησίας πραγμάτων κληρικῷ ἐνδεεῖ, ἀλλ' ὑπερορῶντα πενίᾳ πιεζόμενον, ἀφορίζεσθαι κελεύει· ἐπιμένοντα δὲ, καθαιρεῖσθαι, οἷα τὸν ἀδελφὸν φονεύσαντα, ὅσον τὸ ἐπ' αὐτῷ, εἰ καὶ ἄλλοθεν ἐκεῖνος προνοίᾳ θειοτέρᾳ τὰ πρὸς τροφὴν ἐπορίσατο.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὅτι τοῦ ἐπισκόπου τελευτήσαντος οὐ χρὴ τὰ τούτου πράγματα ὑπὸ τῶν κληρικῶν αὐτοῦ ἢ τοῦ μητροπολίτου ἁρπάζεσθαι, ἀλλὰ φυλάττεσθαι τῷ χειροτονηθήσεσθαι μέλλοντι.

Συνόδου ἕκτης λέ.

Ὁ λέ. τῆς ς'. Συνόδου κανών, Μὴ ἐξεῖναι, φησὶ, τινὶ τῶν ἁπάντων μητροπολιτῶν, τελευτήσαντος τοῦ ὑπ' αὐτὸν ἐπισκόπου, τὰ ἐκείνου πράγματα, ἢ τῆς αὐτοῦ Ἐκκλησίας, ἁφαιρεῖσθαι ἢ σφετερίζεσθαι· ἀλλ' ἢ παρὰ τῷ κλήρῳ τῆς Ἐκκλησίας ἐκείνου ταῦτα φυλάττεσθαι, ἢ, κληρικῶν ἐνδεῶς ταύτης ἐχούσης, τὸν μητροπολίτην ταῦτα· τηρεῖν τῷ χειροτονηθήσεσθαι μέλλοντι ἐπισκόπῳ, ἀμείωτα παντάπασιν ἀποδώσοντα.

Συνόδου δευτέρας κβ'.

Τοῦτο καὶ ὁ κβ'. τῆς δ'. ἐπιτάττει Συνόδου, Μὴ ἐξεῖναι μήτε κληρικοῖς μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου ἁρπάζειν τὰ ἐκείνῳ διαφέροντα πράγματα, μήτε τοῖς ταῦτα παραλαβοῦσιν, ἀλλὰ τῷ χειροτονηθησομένῳ ταῦτα τηρεῖν, ἐλλείποντος μηδενὸς, ἢ τοὺς ἐκ τούτων νοσφισαμένους, περὶ τοὺς ἰδίους κινδυνεύειν βαθμούς.

Νόμος.

Τούτους καὶ ὁ εὐσεβέστατος βασιλεὺς Μανουὴλ τοὺς κανόνας ἐπικυρῶν, νόμον βασιλικοῖς ἐξέθετο γράμμασι, μὴ ἁρπάζεσθαι πρὸς τῶν τὰ δημοσία διοικούντων τὰ τοῖς ἐπισκόποις προσόντα, θανάτῳ τὸν βίον μεταλλάττουσι 1). Ζήτει καὶ τὸ γ'. κεφ. τοῦ Χ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Ὅτι οὐ δεῖ ἐπίσκοπον εἰς πρεσβυτέρου κατιέναι βαθμόν.

Συνόδου τετάρτης κθ'.

Ὁ κθ'. τῆς δ'. Συνόδου κανὼν, Ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμὸν οὐκ οἴεται δεῖν· ἱεροσυλία γὰρ ἄντικρυς, φησὶ, τοῦτό γε, οἷα τὴν ἱερωσύνην, ὁ ταύτης οὐκ ἐνδίκως στερούμενος, ὡσανεὶ συληθείς· τῷ μέντοι προφανῶς ἐγκλήμασι περιπεπτωκότι, τῆς ἱερωσύνης αὐτὸν ἀφαιροῦσιν, οὐδὲ ἱερέως δοθήσεται τόπος· ἐγκλημάτων δὲ ὧν ἀθῷος, οὔτε τῆς ἐπισκοπῆς, οὔτε τῆς ἱερωσύνης δίκαιος ἂν εἴη στέρεσθαι· ἑκατέρου γὰρ ἑκάτερον ἔχεται.

Περὶ παραιτήσεως ἐπισκόπων.

Κυρίλλου γ'.

Τούτοις καὶ ὁ ἅγιος ἐπιψηφίζεται Κύριλλος, ἐν τῷ γ'. κεφ. τῆς πρὸς Δόμνον ἐπιστολῆς· Τὸ παραιτεῖσθαι γὰρ, φησὶ, τοὺς ἱερουργοῦντας τὰς ἑαυτῶν Ἐκκλησίας, τοῖς τῆς Ἐκκλησίας οὐκ ἀρέσκει θεσμοῖς· ἄξιοι μὲν γὰρ ὄντες λειτουργεῖν, οὐ δεῖ ποιεῖσθαι παραίτησιν· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξιέτωσαν, ἀλλ' ἐκ τῶν ἀποδειχθέντων κατ' αὐτῶν ἐγκλημάτων.

Εἰ δὲ καὶ παραιτήσασθαί τινα 2) τὴν ἐπισκοπὴν συμβαίη, καὶ ἣν ἐπιστεύθη ποίμνην καταλιπεῖν, ἀντέχεσθαι τῆς λειτουργίας εἰσαῦθις, οὐκ ἂν εἴη δίκαιον· ἄγνωμον γὰρ, τὸ μὲν μοχθηρὸν καὶ ἐπίπονον 3) παραιτεῖσθαι τῆς προεδρίας, τὴν διδα-

1) Συντ. Τόμ. Β'. σελ, 383. — 2) παραιτεῖσθαι Β. 1340—3) καὶ ἐπίπονον ἐπίσκοπον Β.

καλίαν, φημὶ, καὶ τὴν τοῦ λαοῦ πρὸς τὸ κρεῖττον ἐπίδοσιν, καὶ τὸ εἰς δύναμιν εἴργειν τὴν πρὸς τὰ χείρω τούτου φοράν· ὅσα δὲ τιμὴν φέρει καὶ σέβας, παρακατέχειν καὶ οἰκειοῦσθαι, τὴν ῥᾳστώνην περὶ πλείονος τῆς τῶν ψυχῶν ἐπιμελείας πεποιημένον.

Δείκνυται δὲ καὶ ἐκ τοῦ ις'. κανόνος τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου ἡ περιττὴ τῶν οὕτω ψηφιζομένων ἄνοια, τὸ δύνασθαι δηλαδὴ τοὺς ἀρχιερεῖς, τὰς μὲν ἐπισκοπὰς παραιτεῖσθαι, τὴν ἱερωσύνην δὲ καὶ αὖθις παρακατέχειν· οὗτος γὰρ ὁ κανὼν, τὸν πλέον τῶν ἓξ μηνῶν τῆς οἰκείας ἀποδεδημηκότα ἐπισκοπῆς, ἀναγκαίᾳ οἱᾳδήτινι προφάσει μὴ κωλυόμενον, ἐκπίπτειν κελεύει καὶ τῆς ἐπισκοπῆς, καὶ τῆς ἱερωσύνης· εἰ δὲ ὁ τὸ ἔλαττον ἁμαρτὼν οὕτω καταδεδίκασται, πῶς ὁ καθάπαξ παραιτησάμενος τὴν ἐπισκοπὴν, καὶ τῆς τοῦ ποιμνίου φροντίδος διὰ βίου καταφρονήσας, οὐκ ἐπὶ πλέον τιμωρηθήσεται, ὅσον τὸ ἐπ' αὐτῷ ἦκον, τοῖς λύκοις ἀνεὶς τὸ ἐμπιστευθὲν αὐτῷ παρὰ τοῦ πρώτου ποιμένος Ἰησοῦ Χριστοῦ ἱερὸν ποίμνιον, μὴ ὅτι γε καὶ ὥσπερ γέρας αὐτῷ νέμειν τὰ τῆς ἱερωσύνης πρεσβεῖα, περὶ οὗ καὶ ὁ ί. κανὼν τοῦ ἁγίου Διονυσίου διέξεισιν. Εἰ γοῦν τοὺς τὴν ἀρχὴν εἰς προστασίαν λαοῦ καλουμένους, οἱ κανόνες ἀφορίζεσθαι, εἰ μὴ πείθοιντο, ἀξιοῦσιν, τίς ἂν τῶν νοῦν ἐχόντων, ἀπραγμόνως τῶν καθεστώτων δέξαιτο τὴν παραίτησιν, ἀλλ' οὐκ ἐσχάτως, ὡς ἂν οἷός τε ᾖ, τούτους κολάσειεν; Ἄλλως τε τὸ τῆς ἐπισκοπῆς ὄνομα, πράγματός ἐστι καὶ ἐνεργείας δηλωτικόν· ὁ δ' ἀποσεισάμενος ἑκοντὶ τὴν ἐνέργειαν, ἐκπέπτωκε δηλαδὴ καὶ τῆς κλήσεως· ἐπίσκοπος δὲ καλεῖσθαι μὴ πεφυκὼς, πῶς τῆς ἱερωσύνης ἀνθέξεται; πῶς δὲ καὶ ἱεράρχης κληθήσεται ὁ κλῆρον μὴ κεκτημένος ὑφ' ἑαυτὸν, μήτε μὴν ἄρχων ἱερωμένων; ᾧ δὲ μὴ πρόσεστιν ἱεραρχίας ὄνομα, πολλοῦ γε δεῖ ταύτης ἡ ἐνέργεια· ὁ γὰρ τοῦ ὀνόματος μὴ μετέχων, σχολῇ γε τοῦ πράγματος. Οὐ δεκτέον τοίνυν ἁπλῶς τὴν παραίτησιν, εἰ μὴ ἀνάξιόν τις ἑαυτὸν τῆς ἱερωσύνης ὁμολογήσει· τούτου δὲ ἀποδεδειγμένου, ἅμα τῇ παραιτήσει, καὶ πάσης ἱερατικῆς ἀξίας ὁ παραιτούμενος ἐκπεσεῖται.

Ἐπιστολὴ τῆς γ'. Συνόδου πρὸς τοὺς ἐν Παμφυλίᾳ.

Ἀλλὰ καὶ ἐκ τῆς πρὸς τοὺς ἐν Παμφυλίᾳ ἐπιστολῆς τῆς ἁ-

γίας καὶ οἰκουμενικῆς τρίτης Συνόδου περί τινος Εὐσταθίου, δείκνυται τοῖς ὀρθῶς ἐπιβάλλουσι, τοὺς παραιτουμένους τῆς Ἐκκλησίας, ἀμφοτέρων ἅμα ἐκπίπτειν, καὶ τῆς ἐπισκοπῆς, καὶ τῆς ἱερωσύνης· προσέτι γε μὴν καὶ τὸ ὅλως παραιτεῖσθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπάς, μὴ εἶναι ἀνεπίκλητον 1)· οὗτος γὰρ ὁ Εὐστάθιος, ἐπίσκοπος ὢν Παμφυλίας, καὶ περιστάσεσιν ἐμπεπτωκὼς, καὶ ἀπειρηκὼς ἀπὸ μικροψυχίας καὶ ἀπραγμοσύνης, ἐγγράφως παρητήσατο τὴν ἐπισκοπήν· κἀκεῖ μὲν ἄλλος κεχειροτόνητο· ὁ δὲ, κλαίων τῇ ἱερᾷ προσῆλθε μετὰ ταῦτα Συνόδῳ, οὐ τὴν Ἐκκλησίαν ἀνακαλούμενος, οὐδὲ τῷ κεκτημένῳ ταύτην ἀμφισβητῶν, ὄνομα δὲ καὶ τιμὴν ἔχειν ἐπισκόπου μόνον ἐπιζητῶν· οἳ καὶ τὰ δάκρυα καὶ τὸ βαθὺ γῆρας δυσωπηθέντες τοῦ Εὐσταθίου, καὶ μή τι αὐτῷ συμβαίη ἐκ τῆς ἀμέτρου λύπης εὐλαβηθέντες, τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐτὸν ἐδικαίωσαν, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν, ὥστε ἐντὸς τοῦ ἁγίου θυσιαστηρίου εἰσιόντα μεταλαμβάνειν· μήτε δὲ ἱερουργεῖν αὐτὸν, μήτε χειροτονεῖν, εἰ μὴ ἐπιτραπείη 2) πρὸς τοῦ ἐγχωρίου ἐπισκόπου· ταῦτα δὲ οὐ κανονικῶς εἴρηται τοῖς ἁγίοις, ἀλλ' οἰκονομίᾳ χρησαμένοις καὶ ἀσυνήθει συγκαταβάσει, ὡς ὁ τὴν ἐπιστολὴν ἀκριβῶς μετιὼν σαφῶς εἴσεται 3).

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅτι ὁ ἐπίσκοπος κατὰ μοναχοὺς ἀποκαρεὶς, τῆς ἱερωσύνης ἐκπίπτει.

Συνόδου ἁγίας Σοφίας β'.

Ὁ β'. κανὼν, ἧς ὁ πατριάρχης Φώτιος ἦρχε Συνόδου, οὐκ

1) ἀνεπίληπτον Γ.— 2) παρὰ τοῦ οἰκείου τοῦ τόπου, ἤγουν κτλ. Γ.—3) Ἐν 1375 ἀναγινώσκεται· Ἀνατολίου Κωνσταντινουπόλεως. Οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπικῆς ἀξίας εἰς πρεσβυτέρου τάξιν κατεληλυθέναι, εἰ μὲν ἀπὸ εὐλόγων αἰτιῶν καταδικάζονται, εἰκότως οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμὸν, δίκαιοι τυγχάνουσιν, εἴ γε ἀνεύθυνοι φανεῖεν, τὴν τῆς ἐπισκοπῆς ἀναλαμβάνειν ἀξίαν τε καὶ ἱερωσύνην.

ἐφίησι τοῖς ἀρχιερεῦσι, μοναδικὴν περιθεμένοις στολὴν, τῆς ἀρχιερωσύνης αὖθις μεταποιεῖσθαι· μετανοίας γὰρ ὁ τῶν μοναχῶν βίος ἐπαγγελία, καὶ κατανύξεως διηνεκὴς ὑπόθεσις. Οἱ τοίνυν περὶ ἐλαχίστου τὴν τῶν ἀρχιερέων περιωπὴν τῆς τῶν μοναχῶν θέμενοι ταπεινότητος, καὶ τοῦ διδασκαλικοῦ ἀξιώματος τὴν τῶν μετανοούντων καὶ μαθητευομένων τάξιν προκρίναντες, πῶς ἂν εἶεν δίκαιοι, πρὸς ἐκεῖνο αὖθις ἐπαναστρέφειν ὅπερ ἔργοις ἠθέτησαν; Ἀλλ' οὐδὲ ὁ μοναχικὸν ἔσθημα ἐνδεδυμένος ἀρχιερεὺς, εἶτα τὸ μέγα καὶ ἀγγελικὸν ὑποδὺς σχῆμα, ἔτι τῆς ἱερωσύνης μεταποιηθήσεται· εἰ γὰρ τὸ μικρὸν σχῆμα, ὅπερ ἀῤῥαβὼν τοῦ τελείου τυγχάνει, τὴν ἀρχιερωσύνην δύναται παύειν, πολλῷ γε μᾶλλον ἡ τελεία ἀπόκαρσις. Τοῦτο δὲ τοῖς ἱερεῦσιν οὐκ ἐμποδὼν ἔσται, οὐ γὰρ διδασκάλου τόπον ἐπέχουσι· διά τοι τοῦτο, καὶ μετὰ τὴν ἀπόκαρσιν ἱερουργεῖν οὐ κωλύονται, οἷον τοῦ κανόνος χώραν ἐπὶ τούτοις μὴ ἔχοντος.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Ὅτι οὐ δεῖ γίνεσθαι ἐπίσκοπον ἐν πόλει, ἣ κώμῃ μικρᾷ.

Σαρδικῆς ς΄.

Ὁ ς΄. τῆς ἐν Σαρδικῇ Συνόδου κανὼν, οὐκ οἴεται δεῖν ἐπίσκοπον ἐν κώμῃ προχειρίζεσθαι, ἢ ἐλαχίστῃ πόλει, ᾗ δὴ καὶ εἷς ἀρκέσει πρεσβύτερος, ἵνα μὴ τὸ τοῦ ἐπισκόπου ἀξίωμα εὐτελές τι χρῆμα καὶ εὐκαταφρόνητον λογίζηται τοῖς πολλοῖς, ἀλλὰ χειροτονεῖσθαι ἔνθα καὶ μόνον παλαιὸν ἔθος ἦν· εἰ δέ τις τῶν πόλεων λαοῖς μὴ πλήθουσα πρότερον, πολλοὺς ἔπειτα τοὺς οἰκήτορας σχοίη, καὶ ἀξία ἐπισκόπου κριθείη, λαμβανέτω ἐπίσκοπον μετὰ γνώμης ὅμως συνοδικῆς, κατὰ τὸν λέγοντα ἀποστολικὸν κανόνα, μηδέν τι περιττὸν γίνεσθαι παρὰ τοῦ ἐπισκόπου ἄνευ γνώμης συνοδικῆς, ὃν καὶ κατὰ τὸ ιά. ζήτει κεφάλαιον τοῦ παρόντος στοιχείου. Τό γε μὴν ψηφίζεσθαι τοὺς ἐπισκόπους παρὰ τοῦ πλήθους τῶν πόλεων, καὶ παρὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονεῖσθαι, εἴρηται μὲν καὶ ἐν ἑτέροις διαφόροις κανόσιν, ἀλλὰ τὸ τήμερον ἔχον οὐ γίνεται· οἱ γὰρ

τούτους χειροτονοῦντες, καὶ τὰς ἐκείνων ψήφους διὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων ποιοῦνται.

Λαοδικείας νζ'.

Ταῦτα καὶ ὁ νζ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου διορίζεται, Ἐν ταῖς κώμαις καὶ ταῖς χώραις ἐπισκόπους μὴ καθίστασθαι, ἀλλὰ περιοδευτὰς, οὓς ἡμεῖς ἐξάρχους φαμὲν, ὡς περιϊόντας, καὶ τοὺς πιστοὺς καταρτίζοντας, καθέδραν δὲ οἰκείαν μὴ κεκτημένους· Εἰ δέ τινες, φησὶ, πρό γε τουτουὶ τοῦ κανόνος ἐνταῦθα κατέστησαν ἐπίσκοποι, μηδὲν ἄνευ γνώμης τοῦ τῆς πόλεως ἐνεργείτωσαν ἐπισκόπου, δι' οὗ καὶ τοῦ τοιούτου βαθμοῦ ἠξίωνται, μήτε μὴν οἱ πρεσβύτεροι.

Τούτοις ἀκόλουθα καὶ ὁ νή., πρὸς δὲ καὶ ὁ ιή. τῆς ἐν Καρθαγένῃ Συνόδου θεσπίζουσιν, ἐν ταῖς φαύλαις καὶ μικραῖς παροικίαις ἐπισκόπους μὴ γίνεσθαι· εἰ δὲ καὶ γενέσθαι συμβαίη, ἀλλὰ μὴ ἄνευ γνώμης τῶν ἐχόντων αὐτὰς ἐπισκόπων, καὶ τὸν γεγονότα ἐν αὐτῇ καὶ μόνῃ ἀρκεῖσθαι, καὶ μὴ περαιτέρω ταύτης προβαίνειν, καὶ ἑτέρων ἐθέλειν ἀντιποιεῖσθαι, ὡς ἀνηκόντων δῆθεν αὐτῷ, ἀλλὰ τὸ ἀμεταθέτως μὲν ἔχειν τὰ τῶν ἐπισκοπῶν ὅρια, εἰσέτι διατηρεῖται, κατὰ τὴν τῶν κανόνων ἀκρίβειαν· ἐπισκοπὰς δὲ ἐκ νέου ἐν παροικίαις ἑτέροις ἐπισκόποις ὑποκειμέναις, οὐκ εἴωθε γίνεσθαι, εἰ μὴ βασιλεὺς γράμμασι τοῦτο ἐφῇ· ἀλλ' οὐδὲ τῇ μεγάλῃ Συνόδῳ καινίζειν ἐπισκοπὴν ἐφεῖται, χωρὶς βασιλικοῦ ἐπιτάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ χωρεπισκόπων.

Ἐπειδὴ τοίνυν οὐκ ἠξίουν οἱ θεῖοι Πατέρες ἐπίσκοπον ἐν εὐτελεῖ καὶ σμικρᾷ κώμῃ καθίστασθαι, δεῖν ἔκριναν χωρεπισκόπους ἐν ταύταις χειροτονεῖσθαι. Οὐκ ἄκαιρον δὲ οἶμαι βραχέα καὶ περὶ τούτων κατὰ τὸ παρῆκον ἐνθάδε διεξελθεῖν, εἰ καὶ τῷ βαθμῷ τούτῳ σιγὴν ὁ χρόνος ἀρτίως ἐπέταξεν.

Νεοκαισαρείας ιθ'.

Ὁ οὖν ιθ'. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανών, Οἱ χωρεπίσκο-

ποι, φησὶ, τύπον τῶν ἑβδομήκοντα φέρουσιν Ἀποστόλων, ὥσπερ ἄρα οἱ ἐπίσκοποι τῶν δώδεκα, οἷς ἐμφυσήσας ὁ Κύριος ἔφησε· Λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ τὰ ἑξῆς, οἳ δὴ καὶ ἄλλοις διανέμειν τὴν τοῦ ἁγίου Πνεύματος ἐπορίσαντο χάριν· ταῦτα δὲ καὶ τοῖς ἑβδομήκοντα οὐκ ἦν δεδομένα· καὶ δῆλον ἐκ τοῦ τὴν βίβλον ἱστορῆσαι τῶν Πράξεων, τὸν Φίλιππον, τῶν ἑπτὰ τυγχάνοντα διακόνων, εἰς Σαμάρειάν τε κατελθεῖν, καὶ πολλοὺς τῶν ἐκεῖ βαπτίσαι, Πνεύματος δὲ ἁγίου τούτους μὴ κοινωνῆσαι· ταύτῃ τοι καὶ Πέτρος ἀπεστάλησαν παρὰ τῶν Ἀποστόλων καὶ Ἰωάννης, οἳ καὶ τὰς χεῖρας ἐπιθέντες τοῖς βαπτιζομένοις, τὸ Πνεῦμα ἐχορήγησαν, μήπω αὐτοῖς ἐπιπεπτωκός· τὸν τύπον οὖν οἱ χωρεπίσκοποι πληροῦντες τῶν ἑβδομήκοντα, οὐδὲ πρεσβυτέρους, ἢ διακόνους ἐχειροτόνουν, οἷα μηδὲ τὴν χάριν τοῦ Πνεύματος παρέχειν δυνάμενοι· τούτῳ δὲ μόνον, φησὶ, τετίμηνται, τῷ τὰ θεῖα δῶρα προσφέρειν, διὰ τὸ σπουδαίως τοῖς πένησι διανέμειν τὰ εἰς τὸ Κυριακὸν συναγόμενα.

Περὶ ἱερέων πνευματικῶν.

Εἰ οὖν οἱ χωρεπίσκοποι οὔτε ἁμαρτιῶν ἄφεσιν, οὔτε Πνεῦμα ἅγιον ἐδύναντο χορηγεῖν, οἱ πλείω τῶν πρεσβυτέρων τὰ προνόμια κεκτημένοι, σχολῇ γ' ἂν οὗτοι λογισμοὺς δέξασθαι δυνηθεῖεν, καὶ ἁμαρτήματα λύειν τε καὶ δεσμεῖν, ἂν μὴ παρὰ ἐπισκόπου τὴν ἐξουσίαν λάβωσι ταύτην.

Ἀντιοχείας ἱ.

Ὁ δὲ ἱ. τῆς ἐν Ἀντιοχείᾳ, ὑπὸ μὲν τοῦ τῆς πόλεως ἐπισκόπου, ἐν τῇ ὑποκειμένῃ τούτῳ χώρᾳ, τοὺς χωρεπισκόπους χειροτονεῖσθαι κελεύει· ὑπὸ δὲ τούτων, μήτε πρεσβύτερον, μήτε διάκονον, εἰ μὴ μόνον ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστάς· τοὺς δὲ ταῦτα παραβαίνοντας ἀφαιρεῖ τῆς ἱερωσύνης.

Ἀγκύρας ιγ΄.

Τὰ αὐτὰ καὶ ὁ ιγ΄. τῆς ἐν Ἀγκύρᾳ διέξεισι, πρεσβυτέρους ἢ διακόνους τὸν χωρεπίσκοπον μὴ χειροτονεῖν· εἰ δὲ διὰ γραμ-

μάτων τοῦ ἐπισκόπου ἐπιτραπείη, πρεσβύτερον καὶ ἐν ἑτέρᾳ χειροτονήσει κώμῃ.

Βασιλείου ί.

Ὁ δὲ μέγας Βασίλειος τοῖς ὑπ' αὐτὸν ἐπιστέλλει χωρεπισκόποις, γνώμης αὐτοῦ χωρὶς μὴ χειροτονεῖν ὑπηρέτας, ἤτοι ὑποδιακόνους, ὅτι πολλοῖς καὶ τῶν ἀναξίων ἀνεξετάστως ἐπετίθεσαν τὰς χεῖρας· ἢ γινώσκετε, φησὶν, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ γνώμης ἡμετέρας εἰς ὑπηρεσίαν καταλεγείς· τῶν δὲ ἄλλων τῆς τοῦ ἁγίου ἐπιστολῆς, τίς ἂν ἀξίως ἀγάσαιτο;

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Περὶ ἐπιορκίας.

Ἀποστόλων κέ.

Ὁ κέ. τῶν ἁγίων Ἀποστόλων κανὼν, τὸν ἐπιορκίας ἁλόντα, ἢ πορνείας, ἢ κλοπῆς ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, καθαιρεῖσθαι καὶ μὴ ἀφορίζεσθαι ἀξιοῖ· οὐ γὰρ πρὸς ἡμῶν ἐστι, δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό.

Βασιλείου ί.

Ὁ δὲ ί. τοῦ μεγάλου Βασιλείου κανὼν, Οἱ ἐξομνύμενοι, φησὶ, τὴν χειροτονίαν μὴ καταδέχεσθαι, μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν· εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν ἐξεῖναι λύειν αὖθις ἑαυτοὺς τοῦ δεσμοῦ, ὃν σφίσιν αὐτοῖς ἀνοήτως ἐπέβαλον, ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ἥκιστα τοὺς ἐπιορκήσαντας εὐδοκεῖσθαι, καὶ εὐαρέστους εἶναι Θεῷ· σκοπεῖν γε μὴν δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν, ἀφ' ἧς ὀμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας, μὴ ἄρα ἐκ μικροψυχίας τυχὸν, καὶ οὐκ ἐξ ἀμεταθέτου γνώμης, ὀμόσαι προήχθησαν· μηδεμιᾶς δὲ παραμυθίας φαινομένης, ἐατέον αὐτούς· τὰ δὲ ἑξῆς, Λογγίνῳ τινὶ ἀγρὸς ἦν, καλούμενος Μίνδαλα, τῇ ἐπισκοπῇ Μισθίας ὑποκείμενος. Σεβῆρος δέ τις, Μασάδων ἐπίσκοπος, Κυριακόν τινα εἰς τὸν ἐν ἀγρῷ ναὸν πρεσβύτερον κεχειροτόνηκεν, ὀμόσαντα παραμένειν τε τῷ ναῷ καὶ τῇ ἐπι-

σκοπῇ αὐτοῦ ὑποκεῖσθαι· ἀλλ' ὁ τῆς χώρας ἐκείνης ἐπίσκοπος ἱερουργεῖν ἐκώλυε τὸν Κυριακόν, οἷα παρ' ἑτέρου χειροτονηθέντα ἐν Ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ· τοιγάρτοι καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς ᾤχετο· ὁ δὲ Λογγῖνός λυπούμενος ἠπείλει τὸν ναὸν ἐρημώσειν, καὶ εἰς ἔδαφος καθαιρήσειν· ἐρωτηθεὶς οὖν ὁ ἅγιος, ἀξιοῖ τὸν ἀγρὸν, ἐν ᾧ ἐπεκηρύχθη ὁ Κυριακὸς, τῇ ἐπισκοπῇ Μασάδων ὑποτεθῆναι, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν ἐκεῖσε αὖθις ἐπαναστρέψαι· οὕτω γὰρ, φησὶ, καὶ ἡμεῖς οὐ δόξομεν παρὰ κανόνας ποιεῖν, τῷ Κυριακῷ συμπεριφερόμενοι, καὶ ἐκεῖνος τὸν ὅρκον οὐ παραβήσεται· οὐδὲ γὰρ πρόσκειται τῷ ὅρκῳ, ὡς οὐδὲ βραχὺ τοῦ ἀγροῦ ἀναχωρήσει· καὶ ὁ Λογγῖνος τὴν Ἐκκλησίαν οὐκ ἐρημώσει, καὶ τὴν ἑαυτοῦ οὐ βλάψει ψυχήν. Ὅρα πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως τὸν νοῦν ἐθήρευσεν ὁ ἅγιος, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. Τοῦ δὲ Σεβήρου ἐγκαλουμένου τὸ παρ' ἐνορίαν χειροτονῆσαι, καὶ λήθην προβαλλομένου, τῷ Θεῷ μὲν, φησὶν ὁ ἅγιος, τὴν ἐκδίκησιν ἀνατίθεμεν, τῷ τῶν κρυπτῶν γνώστῃ καὶ ἐξεταστῇ· ἡμεῖς δὲ ἀδιακρίτως τοῦτον δεχόμεθα, συγγνώμην διδόντες ἀνθρωπίνῳ πάθει, τῇ λήθῃ (οὐ γὰρ ἐσμὲν τῶν καρδιῶν κριταὶ, ἀλλ' ἐξ ὧν ἀκούομεν κρίνομεν), εἰ καὶ τὴν Ἐκκλησίαν πολυτρόπως ἐλυμήνατο, χειροτονήσας μὲν παρ' ἐνορίαν ἀκανονίστως, ὅρκῳ δὲ καταδεσμήσας παρὰ τὰ εὐαγγέλια, ἐπιορκεῖν δὲ διδάξας δι' ὧν μετετέθη ὁ πρεσβύτερος, ψευδόμενος δὲ νῦν δι' ὧν τὴν λήθην σχηματίζεται.

Ἐν δὲ τῷ ιζ'. κανόνι ταῦτα διείληπται· Ἄπιστός τις λαχὼν ἄρχειν Ἀντιοχέων, ἀπειλαῖς καταπλήξας τῶν ἐνταῦθα ἱερέων ἑνίους, εἰς τοῦτο βίας ἤγαγε καὶ ἀνάγκης, ὥστε ὀμόσαι τῆς ἱερωσύνης πεπαῦσθαι· τούτων εἷς τις, Βιάνωρ ὄνομα, εἰς τὸ Ἰκόνιον μετῳκίσθη, περὶ οὗ τὸν μέγαν Βασίλειον, τοῦ θείου ἐρομένου Ἀμφιλοχίου, φάναι, ὅτι κοινὸν ἐξεθέμην ὅρον καὶ κανόνα περὶ τῶν ἐν Ἀντιοχείᾳ ὀμωμοκότων πρεσβυτέρων, ἵνα τῶν μὲν κοινῶν συλλόγων ἀπέχωνται, ἰδίᾳ δὲ τὰ τῶν πρεσβυτέρων ἐνεργῶσιν, ὅπως μὴ τοῖς εἰδόσιν αὐτοὺς τὰ τῆς ἱερουργίας ἐξομοσαμένους, αἴτιοι σκανδάλου γένοιντο· τούτῳ δὲ τῷ Βιάνορι μᾶλλον ἄδειαν παρέχει πρὸς τὴν ὑπηρεσίαν, ὅτι οὐκ ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐν Ἰκονίῳ τὰ τῆς ἱερουργίας μέλλει πράττειν· δεκτὸς οὖν

ἐστιν ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βασάσαι τὴν ὄχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς. Ἀλλ' ἐν μὲν τῷ ξδ'. τοὺς ἐπιόρκους τῶν λαϊκῶν ἀπροσδιορίστως ἐπὶ δεκαετίαν τῶν ἁγιασμάτων ἀπείργει· ἐν δέ γε τῷ πϐ', διαιρέσει χρησάμενος, τοὺς μὲν ἐξ ἀνάγκης καὶ βίας ἐπιορκήσαντας, μετὰ ἑξαετῆ χρόνον δέχεσθαι διωρίσατο· τοὺς δὲ χωρὶς ἀνάγκης τὴν ἑαυτῶν πίστιν προδόντας (ἐπιορκία γάρ ἐστι Θεοῦ ἄρνησις), μετὰ ἐνδέκατον ἔτος τῆς θείας ἀξιοῖ κοινωνίας, μετάνοιαν ἀξιόλογον ἐπιδειξαμένους. Τούτοις δὲ τοῖς ἐπιτιμίοις ὑπόκεινται οἱ ἑκοντὶ τὸ ἁμάρτημα τῇ ἐξομολογήσει θριαμβεύσαντες, καὶ τὴν θεραπείαν ἐπιζητήσαντες, οὐ μὴν οἱ τοῖς ἑτέρων ἐλέγχοις φωραθέντες ἐπίορκοι· ἐκεῖνοι γὰρ, ἅμα τῇ εἰς χρήματα ποινῇ, καὶ πλειόνως ὑπὸ τῆς Ἐκκλησίας ἐπιτιμῶνται· ὁ γὰρ ἔλεγχος, ὡς πολλάκις εἴρηται, διπλασιάζει τὸ τοῦ ἁμαρτήματος ὄφλημα, ὥσπερ οὖν ἡ μετάνοια κουφίζει τῆς τιμωρίας τὴν πλάστιγγα. Πολυειδὲς δέ ἐστι τὸ τῆς ἐπιορκίας ἁμάρτημα, παρὸ καὶ δυσχερῶς θεραπεύεται· ἄλλως γὰρ ἐπιτιμᾶται ὁ κατ' ὀλιγωρίαν ὀμόσας καὶ ἐπιορκήσας· ἄλλον τρόπον ὁ κατὰ βίαν· ὁ μεταμέλῳ χρησάμενος, ἄλλως ἢ οὗτοι· ἑτέρως ὁ τινὶ ἀμυνόμενος· τὸν δὲ κατὰ δόλον τοῦτο πεποιηκότα ποῦ θήσεις; ὁ δὲ κατά τι παιγνιῶδες καὶ ἀπόβλητον τὸν ὅρκον ἠθετηκὼς ποῦ τετάξεται; ὁ δὲ σωματικὸν ὅρκον παραβεβηκώς, ὁ δὲ ἔγγραφον, περὶ τούτων τί χρὴ προσδοκᾶν; Ἐξεταστέον τοίνυν ἀκριβῶς τὰ τοιαῦτα, καὶ εἰς δύναμιν θεραπευτέον.

Ἐν δὲ τῷ κθ'. τοὺς ὀμνύοντας τῶν ἀρχόντων, ἐνίους τῶν ὑπὸ χεῖρα τιμωρίαις ὑποβαλεῖν, διττῶς ἴασθαι κελεύει· τῇ μὲν, μὴ προχείρως ὀμνύναι διδάσκεσθαι· τῇ δὲ, μὴ εἰς ἔργον τὴν πονηρὰν καὶ ἀπάνθρωπον κρίσιν ἐκφέρειν· ἀλλὰ τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδείκνυσθαι, μὴ μέντοι προσχήματι εὐλαβείας, τῆς περὶ τὸν ὅρκον δηλαδὴ, τὴν πονηρίαν ἑαυτῶν βεβαιοῦν· οὐδὲ γὰρ τῷ Ἡρῴδῃ συνήνεγκεν εὐορκῆσαι, ὃς τὴν πάγην 1) δῆθεν τῆς ἐπιορκίας φυλαττόμενος, τῷ τοῦ φόνου ἑάλω, ἔργον

1) πλάνην, ε.

μαχαίρας τὸν τοῦ παντὸς ἄξιον προφήτην θέμενος. Καθάπαξ μὲν γαρ ἅπας ὅρκος ἀπείρηται καὶ κατακέκριται, πολλῷ δὲ δήπου πλέον εἰκὸς, ὁ ἐπὶ κακώσει τινῶν προαχθείς· ὥστε μεταγινώσκειν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν τὸ ἀνόσιον. Καὶ γὰρ εἴ τις ὀφθαλμούς τινος ἐξορύξειν ὀμόσει, ἢ φονεύσειν, ἢ τῶν ἐντολῶν ἡντιναοῦν ἀθετήσειν, ἐξεταστέον, τί ἄρα βέλτιον, παρ' οὐδὲν θέσθαι τὸν ὅρκον, ἢ εἰς ἔργον τὸ κακὸν ἀγαγεῖν, καὶ τὴν ἐντολὴν παραβῆναι· Ὤμοσα γὰρ, φησὶν ὁ Δαυὶδ, καὶ ἔστησα τοῦ φυλάξαι τὰ κρίματα τῆς δικαιοσύνης σου 1), οὐχὶ τὴν ἁμαρτίαν· ὥσπερ γὰρ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσήκει βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως ἀκυροῦσθαι καθήκει καὶ ἀφανίζεσθαι 2)· ἀλλὰ καὶ ὁ χωρὶς ἀνάγκης ἔννομον ἀθετήσας ὅρκον, πλέον εὐθύνεται, ἢ ὁ βίαν παθών· εἰ δὲ μὴ ἔννομος εἴη ὁ ὅρκος, ἀλλ' ἐφ' ᾧ τινα δράσειν κακῶς, ἢ στερήσειν τινὸς ἀγαθοῦ, ἢ πάλιν, εἴτις ὀμόσειε πρᾶγμα μὴ ὂν ἄξιον εἰς ὅρκον ἄγεσθαι, τότε ἡ ἀθέτησις κολάσει μὲν οὐχ ὑπόκειται, μετρίαν δὲ πρὸς τοῦ ἐπισκόπου τὴν ἐπιτίμησιν δέχεται.

Ἀλλ' ἐπεί περ εὐθύνονται μὲν οἱ ἐπίορκοι 3), οἱ δὲ εὐορκοῦντες ἀφίενται, καὶ τὸ ὀμνύναι ἄρα δέδοται, εἴποι τις ἄν, καὶ ποῦ τὴν εὐαγγελικὴν θήσομεν ἐντολὴν, τὴν μὴ ὀμνύναι ὅλως διακελευομένην;

Ἀλλ', οἶμαι, τὸ εὐαγγέλιον ὥσπερ τῶν ἁμαρτημάτων τὴν πρώτην, ὡς εἰπεῖν, βλάστην ἐσπούδακεν ἐκριζοῦν, οὕτω δὴ καὶ τὸν ὅρκον, ὡς τῆς ἐπιορκίας ὄντα θύραν, ἀπείρηκεν· ἄλλως τε, ἐκεῖνο μὲν τῶν εἰς τὸ τέλειον ἐφθακότων ἂν εἴη, ὥσπερ τὸ πωλῆσαι τὰ ὑπάρχοντα καὶ δοῦναι πτωχοῖς· εἰ γὰρ πάντες πωλεῖν ἀνάγκην ἔξουσι, τίνες ἂν εἶεν οἱ ὠνούμενοι; πρὸς δὲ καὶ τὸ, τὴν παρειὰν παιομένους, τῆς ἑτέρας μὴ φείδεσθαι· καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαποδύεσθαι, καὶ ὅσα τῆς εὐαγγελικῆς νομοθεσίας ἕτερα, ἅπερ οὐκ ἀνάγκην ἔχει τοῖς ἐπιτασσομένοις, αἵρεσιν δέ· καὶ φυλάττουσι μὲν, τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάττουσι δὲ, οὐδ' ὁντιναοῦν κίνδυνον· ὁ δὲ ἔννομος ὅρκος δεύτερον ἐκείνου καὶ οὐκ ἀπόβλητον. Ἔνθεν τοι καὶ τῶν βασιλέων οἱ τὴν τῆς εὐσεβείας

1) Ψαλ. ριή, 105. — 2) ἀφορίζεσθαι, ε. — 3) ὅρκοι ε.

πορφύραν ἠμφιεσμένοι, τοῦτον μὲν ἔστιν οὗ προβαίνειν ἐπέτρεψαν, τὸν δὲ παράνομον καὶ ἀπαίδευτον, παντάπασι κεκωλύκασι.

Περί τινος ὁμόσαντος τὴν τρίτην νηστεύειν.

Τῶν εὐπατριδῶν δέ τινος ὁμωμοκότος τὴν τρίτην τῆς ἑβδομάδος καθάπαξ τοῦ κρέως ἀπέχεσθαι, τιμᾷν ἐντεῦθεν ἐγνωκότος τὸν τίμιον Πρόδρομον, καὶ τῇ Συνόδῳ προσαναθεμένου, εἰ ἀνάγκην ἔξει καὶ κατὰ τὴν ἑορτὴν τῆς τοῦ Χριστοῦ γεννήσεως, τρίτην τῷ τηνικαῦτα τελουμένην ἡμέραν, τὸν ὅρκον τῆς νηστείας τηρῆσαι, ὁ ἁγιώτατος πατριάρχης Λουκᾶς ἐκεῖνος μετὰ τῆς ὑπ' αὐτὸν Συνόδου ἀπεκρίνατο, ὅτι, εἰ καὶ εἰς πάντα καιρὸν ἡ νηστεία ἀγαθὸν, ἀλλ' οὐ χρὴ τὸν τοιοῦτον ὅρκον προχειρίσθαι τῆς δεσποτικῆς ἑορτῆς· εἰ γὰρ οἱ Ἀπόστολοι κολάζουσι τὸν ἐν σαββάτῳ ἢ κυριακῇ νηστεύοντα, ἢ γόνυ κλίνοντα, τίς ἀνάσχοιτο ἂν τοῦ προτιμῶντος τὸν ἰδίᾳ γεγονότα καὶ αὐθαίρετον τῆς νηστείας ὅρκον τῆς δεσποτικῆς ἑορτῆς καὶ πνευματικῆς εὐφροσύνης; Ζήτει καὶ ἐν τῷ θ'. Κεφαλ. τοῦ Β στοιχείου κανόνα τοῦ ἁγίου τούτου κή. καὶ ἐν τῷ ά. Κεφ. τοῦ Α στοιχ. κανόνα πά.

Συνόδου ς'. ιδ'.

Οὗ δὴ καὶ μεμνημένος ὁ ιδ'. τῆς ς'. Συνόδου κανὼν, Ἐπειδὴ, φησὶ, τοὺς ὀμνύοντας ὅρκους ἑλληνικοὺς, οἷον μὰ τὸν Ἥλιον καὶ τοὺς τοιούτους, ὁ τοῦ μεγάλου Βασιλείου πά. κανὼν ἐπιτιμήσει καθυποβάλλει, καὶ ἡμεῖς τούτοις ἀφορισμὸν ὁρίζομεν.

Νόμοι.

Ἐπὶ ἐπισκόπων καὶ κληρικῶν μέχρι καὶ ἀναγνωστῶν, τὸ ὀμνύναι ὅλως κεκώλυται· διὰ δὲ τῆς ἐγγράφου ὁμολογίας τὰ τοῦ ὅρκου τούτοις πληροῦται 1).

Ἐν ταῖς ψήφοις δὲ τῶν ἀρχιερέων καὶ μόνον, ὁ ἐπίσκοπος καθαιρεῖται ἀρνούμενος τὴν ἰδίαν ὑπογραφὴν, ἐν ἑτέραις δὲ ὑποθέσεσιν οὐ καθαιρεῖται, ἀλλὰ ζημιοῦται κατὰ τοὺς νόμους.

Λέγει δὲ καὶ ἡ οβ'. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ· Πᾶν ἔγγραφον, ᾧ ἐπιγέγραπται ὁ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ

1) Δ. 25 Κώδ. I. 3.

τύπος διὰ χειρὸς τοῦ συνθεμένου αὐτὸ, ἔχειν ὀφείλει τὸ ἰσχυρὸν καὶ ἀμετάπτωτον, εἰ καὶ κατησφαλισμένον οὐκ ἔστι διὰ προστίμου.

Οὐδεὶς κατὰ Θεοῦ ὀμόσας κινδυνεύει· ἱκανὸν γὰρ ὁ ὅρκος τιμωρὸν ἔχει τὸ θεῖον· ὁ δὲ κατὰ βασιλέως ὀμόσας κατά τινα θερμότητα συγχωρεῖται· πλὴν ὁ ἐν διαλύσει ἐπιορκῶν κατὰ τοῦ βασιλέως, τὸ πρόστιμον δίδωσι, καὶ ἐκπίπτει τῆς ἰδίας ἀγωγῆς, καὶ ἀτιμοῦται 1).

Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ἐπιφέρειν ὅρκον, καὶ οὕτω ψηφίζεσθαι 2).

Καλῶς ἐπιφέρω σοι κατὰ τῆς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ θεμιτὸς ἐξ ἐπαγωγῆς ὅρκος φυλάττεται, καὶ ὃν τις ὀμόσῃ κατὰ τὴν ἰδίαν θρησκείαν· ὁ δὲ κατὰ ἀδοκίμου θρησκείας γεγονὼς ὅρκος οὐ φυλάττεται 3).

Ὁ ἐκ δικαστικῆς ψήφου, ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδίκου ὅρκον ὑπέχων ἐπ' Ἐκκλησίας, τῶν ἀχράντων ἐφαπτόμενος εὐαγγελίων, ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθείς, γλωσσοκοπείσθω· τὸ αὐτὸ καὶ ἐπὶ μαρτύρων 4).

Ὅρκος ἐστὶ λόγος πιστούμενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Περὶ ἐπιτρόπων καὶ κουρατόρων.

Συνόδου τετάρτης γ΄.

Ὁ γ΄. τῆς δ΄. Συνόδου κανὼν, κληρικοὺς ἢ μονάζοντας ἀπείρηκεν ἀλλότρια κτήματα μισθοῦσθαι δι' αἰσχροκέρδειαν, ὅπερ ἐστὶ πράγματα ἐργολαβεῖν κοσμικὰ 5), τῆς θείας λειτουργίας καταμελοῦντας, εἰ μήπου ἐκ τῶν νόμων καλοῖτό τις εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπήν· τοῖς μὲν γὰρ ἀνήβοις ἐπίτροποι δίδονται, τοῖς δὲ ἀφήλιξι κουράτορες. Καὶ ἄνηβοι μέν εἰσιν ἄρ-

1) μδ΄. Βασ. ΚΒ΄, ε΄, καὶ μέ. Βασ. ΙΑ΄, β΄. — 2) λά. Βασ. ΚΒ΄. ε΄. — 3) Προοίμ. καὶ ε΄. Θέμ. ά. καὶ γ΄. Βασ. ΚΒ΄, ε΄. — 4) Πρόχ. Ν. ΛΘ΄. Κεφ. μς΄. — 5) Τὸ ἐργολαβεῖν ἐστι τὸ αἰσχρὰ κέρδη λαμβάνειν, καὶ ἀλλότρια πράγματα καὶ ὑποθέσεις μεταχειρίζεσθαι· σημείωσις ἐν Χ. 1375 δι' ἐρυθρᾶς γραφῆς.

ρενες, οἱ τῶν ιδ'. ἥττους ἐτῶν· ἄνηβοι δὲ θήλειαι, αἱ ἥττους τῶν ιβ'. ἐτῶν· ἀφήλικες δὲ, οἱ τὴν ἥβην ὑπεραναβάντες, ἥττους δὲ τῶν κέ. ἐτῶν, κἂν ἄῤῥενες ὦσι, κἂν θήλειαι. Δύναται καὶ ὁ τῆς πόλεως ἐπίσκοπος ἐπιτρέπειν τοῖς τοιούτοις ἐκκλησιαστικῶν φροντίζειν πραγμάτων, ἢ ὀρφανῶν καὶ χηρῶν ἀπροστατήτων, καὶ τῶν μάλιστα ἐκκλησιαστικῆς δεομένων βοηθείας, διὰ τὸν φόβον τοῦ Κυρίου, ὡς ἐν ταῖς Πράξεσιν ἱστόρηται, προχειρισαμένων τῶν Ἀποστόλων τοὺς ἑπτὰ διακόνους, ἵνα μὴ ἐν τῇ καθημερινῇ διακονίᾳ αἱ χῆραι παραθεωρῶνται· οὐ μὴν ἑαυτοὺς ταῖς τοιαύταις ἐπιῤῥίπτειν διοικήσεσιν ἐφεῖται κέρδους χάριν ἢ δόξης· οἱ δὲ βοηθείας δεόμενοι, οὗτοι ἂν εἶεν οἱ τῇ Ἐκκλησίᾳ προσπεφευγότες, ἐπηρείας δυναστῶν ἐκτρεπόμενοι, ἢ οἱ περί τι πταίσαντες, ἢ εἰς δουλείαν ἀδίκως ἑλκόμενοι, καὶ ζητοῦντες ἐπικουρίαν, δι' οὓς καὶ οἱ ἔκδικοι γίνονται· τὸν δὲ παραβαίνοντα, τοῖς προσήκουσιν ἐπιτιμίοις καθυποβάλλεσθαι βούλεται. Πάντες τοίνυν κληρικοί τε καὶ μοναχοὶ, κατ' ἐπιτροπὴν τοῦ σφῶν ἐπισκόπου, οὐ μόνον ἐκκλησιαστικὰ, ἀλλὰ καὶ πολιτικὰ ἐνεργῆσαι δύνανται πράγματα, οὐ μὴν ἀλλὰ καὶ ἐπιτροπὴν ὑπελθεῖν καὶ κουρατορείαν· ἐπιτροπῆς δὲ τῆς ἔξωθεν δίχα, ἐπισκόποις καὶ μοναχοῖς, οὔτε ἐπιτροπὴν, οὔτε κουρατορείαν ἔξεστι δέξασθαι, καὶ εἰ ἐκ τῶν νόμων καλοῦνται· οἱ δὲ κληρικοὶ, ὅτε καλοῦνται παρὰ τῶν νόμων, καὶ τὰ ἀμφότερα ὑπελθεῖν οὐ κωλύονται· πάντες δὲ κοινῇ ἐκκλησιαστικὰ πράγματα ἐνεργεῖν οὐκ ἐμποδίζονται, καὶ δίχα προτροπῆς ἐπισκόπου.

Νόμος.

Τοὺς θεοφιλεστάτους ἐπισκόπους ἢ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν· ἐπιτροπεύειν δὲ τῶν ὑπὲρ ψυχῆς ὀφειλόντων δίδοσθαι, καὶ διοικεῖν προσκαλουμένους, οὐ κωλύομεν· καὶ γὰρ τοῖς ἀρχιερεῦσι μᾶλλον ὁ ὑπὲρ τῶν πλημμελημάτων ἱλασμὸς ἀφιέρωται 1).

Τοὺς πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, τῷ δικαίῳ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ εἰς κουρατορείαν καλουμένους, τὴν λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν 2).

1) ἐκ Βασ. Γ, ἀ. — Ν. ξή Λέοντ. — 2) Βασ. αὐτόθι.

Ἐπιτροπεύονται δὲ κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι, οἱ διὰ τὴν ἡλικίαν ἐκδικεῖν ἑαυτοὺς μὴ δυνάμενοι. 1)

Ἀλλότριος οἰκέτης ἐν διαθήκῃ ἀχρήστως ἐπίτροπος δίδοται 2).

Οὐκ ἐπιτροπεύει οὐδὲ κουρατορεύει ὁ μείζων τῶν ἑβδομήκοντα ἐτῶν, οὐδὲ ὁ ἐλάττων τῶν κέ. ἐτῶν· πῶς γὰρ ὁ δεόμενος ἄλλου κηδεμονίας 3);

Ἄσωτοι καὶ μαινόμενοι, κἂν μείζονες ὦσι τῇ ἡλικίᾳ, κουρατορεύονται ὑπὸ τῶν ἰδίων συγγενῶν 4).

Οὐδεὶς ἐγχειρίζει πλέον τῶν τριῶν ἐπιτροπῶν 5).

Τῷ υἱῷ τοῦ αἰχμαλώτου ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ· ὑποστρέφοντος γὰρ τοῦ πατρὸς, γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ἠχμαλωτίσθη 6).

Τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα, ἢ γέροντα, δίδοται κουράτωρ παρὰ τοῦ ἄρχοντος 7).

Ἐὰν κλέψωσιν οἱ ἐπίτροποι πράγματα ἀφηλίκων, ἕκαστος αὐτῶν εἰς τὸ διπλοῦν ἐνέχεται.

Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες, τελείας ἡλικίας ὑπάρχοντες· γυνὴ γὰρ οὐ κουρατορεύει, οὐδὲ τὰ τῆς ἐπιτροπῆς ὑπέρχεται λειτουργήματα, εἰ μήπου μήτηρ ἢ μάμμη εἴη 8).

Ὁ πλησιέστερος συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, πάντες ἐπιτροπεύουσιν 9).

Ζήτει καὶ ἐν τῷ ιέ. Κεφ. τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ εὐτούχων.

Ἀποστόλων κά, κβ΄. κγ΄, κδ΄.

Ὁ μὲν κά. τῶν ἁγίων Ἀποστόλων κανὼν, Εὐνοῦχος, φησὶν, εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων τις ἐγεγόνει, ἢ ἐν διωγμῷ τὰ τῶν ἀνδρῶν ἀφῃρέθη, ἢ οὕτως ἔφυ, εἰ καὶ ὁ βίος αὐτῷ σεμνὸς εἴη καὶ ἄμεμπτος, εἰς ἱερωσύνην προβιβαζέσθω.

---

1) Πρόχ. Ν. Λς΄, ά.— 2) λζ΄. Βασ. ΛΖ, β΄. — 3) Θ΄. Βασ. ΛΖ΄. δ΄. — 4) ιή. Βασ. ΛΗ. Ί. — 5) πζ΄. Βασ. ΛΗ΄, Ί.—6) ς΄. Βασ ΛΖ΄. ά. — 7) ί. Βασ. αὐτόθι. — 8) Πρόχ. Ν. λς΄, κεφ. ϛ. — 9) δ΄. αὐτόθι.

Ὁ δὲ κβ΄. Ὁ ἑαυτὸν ἀκρωτηριάσας, κληρικὸς μὴ γινέσθω, αὐτόχειρ γὰρ αὐτοῦ γέγονε τῷ παραβόλῳ τοῦ πράγματος, ἑαυτῷ τὸν θάνατον ὥσπερ προμνώμενος, καὶ τῇ τοῦ Θεοῦ δημιουργίᾳ πολεμῶν ἄντικρυς.

Ὁ δὲ κγ΄. Εἴ τις, κληρικὸς ὤν, ἑαυτὸν ἀκρωτηριάσειεν, ὡς προδηλότατα θανατῶν, καθαιρείσθω.

Ὁ δὲ κδ΄. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, εἰς ἔτη ἀφοριζέσθω τρία, ὡς ἐπίβουλος τῆς ἑαυτοῦ ζωῆς· ἄλλως τε καὶ εἰς ἀνδρῶν φύσιν τοῦ Θεοῦ τούτους δημιουργήσαντος, εἰς ἑτέραν ἀλλόκοτον αὐτοὶ ἑαυτοὺς μεταπλάττουσιν, ὥστε μήτε ἄνδρας εἶναι, καὶ σπερματικὴν καὶ τοῦ ὁμοίου γενετικὴν δύναμιν ἀποβεβληκότας, μήτε γυναῖκας, οὐ γὰρ τίκτειν ἔχουσι φύσιν.

Συνόδου πρώτης ά.

Τὰ αὐτὰ καὶ ὁ ά. τῆς ά. Συνόδου κανὼν διορίζεται, τὸν ἐν νόσῳ ὑπὸ ἰατρῶν χειρουργηθέντα, ἢ ὑπὸ βαρβάρων τῶν παιδογόνων μορίων ἀφαιρεθέντα, τοῦ κλήρου μὴ διαπίπτειν· ὅστις γε μὴ ὑγιαίνων, ἐπίτηδες ἐξέτεμεν ἑαυτὸν, τοῦτον μὴ ὅτι κληροῦσθαι, ἀλλὰ καὶ τῷ κλήρῳ ἐξεταζόμενον, ἐξωθεῖσθαι· προσίεσθαι δὲ εἰς κλῆρον τοὺς ὑπὸ βαρβάρων ἢ δεσποτῶν 1) εὐνουχισθέντας, εἰ συμβαίνοντα τῇ ἱερωσύνῃ καὶ τὸν βίον μετιόντες εἶεν.

Συνόδου πρώτης καὶ δευτέρας ς΄.

Ὁ δὲ τῆς λεγομένης ά. καὶ β΄. Συνόδου κανὼν ή. καὶ τὸν ἑτέρους ἐκτέμνοντα, ὡς τῆς τοῦ Θεοῦ δημιουργίας ὑβριστήν, εἴτε αὐτοχειρίᾳ, εἴτε ἐξ ἐπιτάγματος, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι κελεύει, λαϊκὸν δὲ, ἀφορίζεσθαι· εἰ μήπου νόσημά τινι προσπεσὸν, πρὸς τὴν ἐκτομὴν τοῦ πεπονθότος ἠνάγκασεν· οὔτε γὰρ ἱερέας αἰτιατέον, τοῖς νοσοῦσιν ἐξ ἐπιτάγματος ἐφιστάντας τὸν εὐνουχίζοντα, οὔτε μὴν λαϊκοὺς αὐτοχειρίᾳ χρωμένους· τοῦτο γὰρ ἰατρείαν τοῦ νοσήματος, ἀλλ' οὐκ ἐπιβουλὴν τοῦ πλάσματος, ἢ τῆς πλάσεως ὕβριν λογιζόμεθα.

Ζήτει καὶ ἐν τῷ ιθ΄. κεφ. τοῦ Γ στοιχείου κανόνα έ. τῆς ς΄. Συνόδου.

1) δυναστῶν Β.

Νόμοι

Κελεύομεν μηδένα Ῥωμαίων εὐνουχίζεσθαι, μηδὲ ἔξω τῶν Ῥωμαίων γῆς, μηδὲ ἀγοράζειν μηδένα τὸν εὐνουχισθέντα Ῥωμαῖον· ἀλλὰ καὶ τὸν εὐνουχίσαντα, καὶ τὸν ἀγοράσαντα, καὶ τὸν συμβολαιογράφον, καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τι ὑπὲρ τούτου, τιμωρεῖσθαι· τὰ δὲ ἔξω τοῦ Ῥωμαϊκοῦ ἐδάφους εὐνουχιζόμενα ἀνδράποδα βάρβαρα, ἐξεῖναι πᾶσιν ἐμπόροις ἀγοράζειν τε καὶ πιπράσκειν· ἂν δέ τις παρ' ἡμῖν εὐνουχισθῇ δοῦλος, αὐτίκα τούτῳ τὴν ἐλευθερίαν δίδοσθαι, κἂν διὰ νόσον εὐνουχισθῇ 1).

Ὁ δι' ἡδονὴν ἢ ἐμπορίαν εὐνουχίσας τινὰ, εὐγενὴς μὲν ὤν, δημεύεται· εὐτελὴς δὲ, ξίφει καὶ θηρίοις ὑποβάλλεται.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, τὸν γυναικὶ νόμῳ γάμου συναφθέντα εὐνοῦχον, τῇ τῆς πορνείας ὑποκεῖσθαι κολάσει κελεύει, καὶ τὸν ἀνιέρως συναρμόσαντα ἱερέα, τῆς ἱερατικῆς ἀξίας ἀπογυμνοῦσθαι· ἐφίησι δὲ τοῖς εὐνούχοις, οὓς βούλονται εἰσποιεῖν, καὶ εἰς μοῖραν τάττειν υἱῶν 2).

ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

Περὶ εὐχῶν εὐταξίας.

Συνόδου ἕκτης οἰ.

Ὁ οἰ. τῆς ς΄ Συνόδου κανὼν, τοὺς εὐχομένους ἐν Ἐκκλησίᾳ καὶ ψάλλοντας, μὴ ἀτάκτους προΐεσθαι καὶ ἐπιτεταμένας ἐπισκήπτει φωνὰς, ἀλλ' ἐν συντετριμμένῃ καρδίᾳ, καὶ ἤθει κατεσταλμένῳ, καὶ νοῦ προσευχῇ τὰς εὐχὰς ποιεῖσθαι καὶ ψαλμῳδίας, ἐφ' ᾧ τῷ τε ἐντὸς ἤθει, καὶ τῷ ἐκτὸς εἴδει, τοῦ Θεοῦ τὸν ἔλεον ἐπὶ τοῖς ἡμαρτημένοις ἑλκύσαι· Εὐλαβεῖς γὰρ, φησὶν ἡ τοῦ Λευϊτικοῦ βίβλος, ποιεῖτε τοὺς υἱοὺς Ἰσραὴλ 3)· μηδὲ τοῖς κεκλασμένοις καὶ ἀσέμνοις μέλεσι χρῆσθαι, καὶ τῇ περιττῇ τῇ τῶν ἀσμάτων ποικιλίᾳ, καὶ ᾠδῶν τερετίσμασιν, ἃ θυμελικοῖς οὐχ ἥκιστα, καὶ τοῖς ἐπὶ τῆς σκηνῆς ἡ Ἐκκλησία προσῆκε Θεοῦ, πολλάκις δὲ ταῦτα καὶ πρὸς πολλῶν κεκώλυνται Πατριαρχῶν μετὰ σφοδρῶν

1) πέ. Βασ. Ιθ΄, ά.—Νεαρ. Ἰουστ. ρμβ΄. Κεφ. ϐ΄.—2) Ν. Λέοντ. Κς΄.—3) Λευϊτ. ΙΕ΄, 31.

τῶν ἐπιτιμίων· παρήγγελται δὲ τὸ ἁπλοῦν καὶ ἀποίκιλον τῆς ψαλμῳδίας ἀσπάζεσθαι, ἔν γε ταῖς παννυχίσι καὶ ταῖς τελεταῖς τῶν ἀποιχομένων, ὡς τὸ ἀρχαῖον ἔθος καὶ θεοφιλὲς εἶχεν, ἀλλ' οὐδὲν γέγονε πλέον.

Περὶ τοῦ τρισαγίου ὕμνου.

Ὁ δὲ πά. τοὺς τῷ τρισαγίῳ ὕμνῳ τὴν τοῦ Πέτρου τοῦ Κναφέως φωνὴν παρενείρειν μὴ αἰδουμένους, τὴν τῷ, ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς, προστιθεῖσαν, τῇ ἐλεθρίῳ τοῦ ἀναθέματος ἐφήσι κατα δίκῃ· ἢ γὰρ τέταρτον ἡ τοιαύτη πρόσωπον εἰσάγει φωνὴ, ἀνὰ μέρος τιθεῖσα τὸν τοῦ Θεοῦ Υἱὸν, τὴν ἐνυπόστατον τοῦ Πατρὸς δύναμιν, καὶ ἀνὰ μέρος τὸν ἐσταυρωμένον Χριστὸν, ὡς ἄλλον ὄντα παρὰ τὸν ἰσχυρὸν, ἢ παθητὴν, τὴν Τριάδα δοξάζει, συσταυροῦσα τῷ Υἱῷ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα. Ἴσμεν δὲ, ὡς ἡ ἐκκλησιαστικὴ δίεισιν ἱστορία, ὅπως λιτανεύοντος τοῦ λαοῦ ἐν Κωνσταντινουπόλει ἐπί τινι θεηλάτῳ πιεζομένου πληγῇ, Πρόκλου ἀρχιερατεύοντος, αἰθέριον ἁρπαγείη παιδίον, καὶ τὸν ὕμνον τουτονὶ μυηθείη, καὶ κατενεχθὲν, τοῖς παροῦσι τὸ μυηθὲν ἀπαγγείλειεν· ἄσαντος δὲ τοῦ λαοῦ τῆς προσθήκης χωρὶς, ἡ θεήλατος σταίη πληγή. Ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος οὕτως ἆδεσθαι τὸν τρισάγιον ὕμνον ἐθέσπισεν· εἰ καὶ τὸ κρυπτὸν γένος τῶν Ἀρμενίων καὶ ὕφαλον, τῆς βδελυρᾶς ταύτης εἰσέτι καὶ νῦν οὐ μεθίενται πλάνης. Ζήτει καὶ ἐν τῷ ιά κεφ. τοῦ Β στοιχείου κανόνα ιέ. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

Λαοδικείας ις', ιζ', ιή.

Ὁ δὲ ις'. ταύτης, ἐν τοῖς σάββασι μετὰ τῶν ἑτέρων Γραφῶν καὶ Εὐαγγέλιον κελεύει ἀναγινώσκεσθαι. Πρὸ γὰρ τῆς γινομένης τὴν τήμερον τάξεως ἐν ταῖς εὐχαῖς τε καὶ ψαλμῳδίαις, εὐχαὶ μόνον ἐγίνοντο ἐν σαββάτῳ, καὶ οὕτω τὴν ἀναίμακτον προσέφερον οἱ ἱερεῖς θυσίαν. Εὐαγγέλιον δὲ ἡ ἄλλη τις Γραφὴ ἐπ' Ἐκκλησίας οὐκ ἀνεγινώσκετο, οἷα τηνικαῦτα παντηγυρίζειν εἰωθὸς κατὰ τοὺς λέγοντας κανόνας, μήτε νηστεύειν, μήτε γόνυ κάμπτειν ἐν σαββάτῳ.

Ὁ δὲ ιζ΄. κηδεμονικώτερόν τι ποιῶν, καὶ εἰς καθίσματα μερισθῆναι τοὺς Δαυϊτικοὺς ψαλμοὺς ἐπέταξε, καὶ ἀναγνώσεις μεταξὺ γίνεσθαι, ἵνα μὴ ἀκηδιῶν ὁ λαὸς τῷ συνεχεῖ τῆς ψαλμῳδίας τῆς Ἐκκλησίας ἀποπηδῶσιν.

Ὁ δὲ ιή, τὰς παραδεδομένας εὐχὰς λέγειν ἐν ταῖς ἐννάταις τε καὶ ἑσπέραις, καὶ μὴ τὸν βουλόμενον ἰδίας εὐχὰς συντιθέναι, καὶ ταύτας λέγειν ἐν ταῖς συνάξεσιν.

Καρθαγένης ργ΄.

Τούτοις ἐπιψηφίζεται καὶ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου ργ΄, τὰς ὑπὸ τῶν συνετωτέρων συντεταγμένας καὶ ὑπὸ τῆς Συνόδου κεκυρωμένας εὐχὰς λέγεσθαι μόνας, ἐν ταῖς λιταῖς, φημι, τῆς λειτουργίας ἁπάσης, ἐν τοῖς προοιμίοις, ἄχρι δηλαδὴ τῶν θείων Εὐαγγελίων, ἐν ταῖς τῶν κατηχουμένων παραθέσεσι, δι' ὧν τῷ Θεῷ τούτους οἱ ἱερεῖς παρατίθενται, καὶ ἐν ταῖς ἐπιθέσεσι τῶν χειρῶν ἐπί τε τῶν χειροτονουμένων καὶ τῶν ἐν μετανοίᾳ γενομένων· τὰς δὲ παρ' ἑνίων εἰσαγομένας νέας εὐχὰς μὴ προσίεσθαι· ἅπερ γὰρ οἱ Πατέρες οὐκ ἐδοκίμασαν, τὸ ἀμφίβολον δήπουθεν ἔχει, καὶ δέος ὑποτρέχει, μὴ ἄρα τὰ τῇ ὀρθῇ μὴ συμβαίνοντα παρενείρωσι πίστει.

Λαοδικείας ιθ΄.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ιθ΄. κανών, τὰς ὑπὲρ τῶν κατηχουμένων, φησὶν, εὐχὰς πρῶτον, καὶ τῶν ἐν μετανοίᾳ, εἶτα τῶν πιστῶν γίνεσθαι δεῖ· εἶτα μόνοις ἐξεῖναι θεσπίζει τοῖς ἱερατικοῖς εἰς τὸ ἅγιον εἰσιέναι θυσιαστήριον, καὶ κοινωνεῖν. Ζήτει καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ Β στοιχείου κανόνα έ. καὶ κ΄. τῆς ἐν Γάγγρᾳ Συνόδου.

Καρθαγένης ριδ΄.

Ὁ δὲ ριδ΄. τῆς ἐν Καρθαγένῃ Συνόδου, τοῦ ἀναθέματος ἀξιοῖ τὸν οἰόμενον μὴ ἀληθῶς, ἀλλὰ ταπεινώσεως χάριν παραινοῦντα ἡμᾶς τὸν ἅγιον Ἀπόστολον Ἰωάννην λέγειν, Ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν 1). Ἐκ γὰρ τῶν ἑξῆς ῥημάτων τῆς ἐπιστολῆς δείκνυται προδήλως τοῦ Ἀποστόλου ἡ ἔννοια, ἐπάγοντος· Ἐὰν δὲ ὁμολογῶ-

1) ά. Ἰω. Α΄. Κ. 9.

σωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ταύτας ἡμῖν, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

Ὁ δὲ ριέ. καὶ ριστ΄. τὸν ὑπειλήφοτα τοὺς ἁγίους λέγειν μὲν τὸ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ἑαυτοὺς δὲ τῶν ὀφλημάτων ἐξαίρειν, οὐδὲ γὰρ αὐτοῖς εἶναι ταύτην τὴν παραίτησιν πάνυ τι ἀναγκαῖον, ἀλλὰ τοῖς ἐν τῷ λαῷ ἁμαρτάνουσι, τῷ ἀναθέματι παραπέμπουσιν· ὅτι γὰρ οὐκ εὐχῆς πρόσχημα οὐδ' ὑπόκρισις ταπεινότητος τοῖς ἁγίοις ὑπῆρξέ ποτε, ἀλλ' ἀληθὴς καρδίας συντριβή, δηλοῖ ὁ μέγας Ἰάκωβος, ὧδέ πη λέγων· Ἐν πολλοῖς ἁμαρτάνομεν πάντες· καὶ ὁ Δαυὶδ· Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν 1)· καὶ ἐν τῇ εὐχῇ ὁ Σολομών· Οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἥμαρτε· καὶ ὁ Ἰώβ· Ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ 2)· καὶ ὁ Δανιήλ· Ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ ἑξῆς 3)· τίς γὰρ τῆς εἰρωνείας ἀνέσχοιτο τῶν τἀναντία τοῖς σφῶν λόγοις φρονούντων· οἳ περ χείλεσι μὲν ἄφεσιν αἰτοῦσιν ἁμαρτιῶν, ὡς ἀθῶοι δὲ τούτων τῇ καρδίᾳ διάκεινται, καὶ μὴ ἀνθρώποις, ἀλλ' αὐτῷ ψευδόμενοι τῷ Θεῷ. Ζήτει καὶ ἐν τῷ λζ΄. Κεφ. τοῦ Κ στοιχείου κανόνα τῆς ς΄. Συνόδου.

Νόμοι.

Κελεύομεν πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους, μὴ κατὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης, τὴν θείαν προσκομιδὴν, καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι; πρὸς τὸ κἀντεῦθεν τῶν ἀκουόντων τὰς ψυχὰς εἰς πλείονα κατάνυξιν καὶ τὴν πρὸς τὸν Δεσπότην Θεὸν διανίστασθαι δοξολογίαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΣ΄.

Περὶ ἐφορκιστῶν.

Λαοδικείας κς΄.

Ὁ κς΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανὼν, ἐφορκίζειν οὐ δεῖ, φησὶν, ἤγουν κατηχεῖν, τοὺς ὑπὸ ἐπισκόπων εἰς τοῦτο μὴ χειροτονηθέντας.

1) Ψαλ. 142. — 2) γ΄. Βασ. ή. 46. — 3) Ἰώβ, λζ΄. 7. — 4) Δαν. Θ΄, 5.

Ἀντιοχείας ί.

Ὁ δὲ τῆς ἐν Ἀντιοχείᾳ δέκατος, καὶ χωρεπισκόπους ἐφίησιν ἐφορκιστὰς χειροτονεῖν, ὃν καὶ ζήτει ἐν τῷ λά. Κεφαλ. τοῦ Ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ζ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ ζέοντος ὕδατος, τοῦ τοῖς θείοις μυστηρίοις ἐμβαλλομένου.

Ζήτει ἐν τῷ ή. Κεφαλαίῳ τοῦ Κ στοιχείου κανόνα λϐ'. τῆς ς'. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ζωγραφίας δι' ἡδονῆς τὰς ψυχὰς λυμαινομένης. Συνόδου ἕκτης ρ'.

Ὁ ρ'. τῆς ς'. Συνόδου κανὼν, ζωγραφίας ἀσέμνους, αἳ τοὺς ὁρῶντας 1) πρὸς ἀτόπους ἐρεθίζουσιν ἡδονὰς, ἐν τοίχοις χαράττειν ἀπαγορεύει παντάπασι· καθότι ῥᾳδίως αἱ αἰσθήσεις τοῖς μὴ προσέχουσι τὰ δι' αὐτῶν ὁρώμενα, ὥς γε δὴ καὶ τὰ ἀκουόμενα, ἐπὶ τὴν ψυχὴν εἰσκρίνουσι καὶ εἰσωθοῦσι· ταύτῃ τοι καὶ, Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, ἡ σοφία φησί· καί· Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν 2).

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ζωοφθόρων ἤτοι κτηνοβατῶν καὶ ἀλογευσαμένων.

Ζήτει τὸ έ. Κεφάλαιον τοῦ Α στοιχείου.

1) τῶν ὁρώντων τὰς ψυχὰς Β.—2) Παροιμ. Δ'. 23, 25.

ΑΡΧΗ ΤΟΥ Η ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἡγουμένων.

Ζήτει τὸ ς'. Κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων κληρικῶν.

Ζήτει ἐν τῷ έ. Κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνας τῆς μὲν ς'. Συνόδου τεσσαρεσκαιδέκατον καὶ πεντεκαιδέκατον, καὶ τῆς τετάρτης πεντεκαιδέκατον, καὶ τῆς ἐν Καρθαγένῃ Συνόδου ις'. οἳ καὶ διατάττονται, τὸν μὲν πρεσβύτερον τριάκοντα ἐτῶν χειροτονεῖσθαι, πέντε δὲ καὶ εἴκοσι τὸν διάκονον, τὴν διάκονον δὲ μ'. καὶ τὸν ὑποδιάκονον κ'. οἱ δὲ ῥηθέντες τῆς ς'. Συνόδου, καὶ καθαιρεῖσθαι κελεύουσι τοὺς ἐν τούτῳ τῆς ἡλικίας χειροτονεῖσθαι μὴ ἀναμένοντας.

Τὰ αὐτὰ περὶ τῆς τῶν πρεσβυτέρων ἡλικίας καὶ ὁ ιά τῆς ἐν Νεοκαισαρείᾳ φησίν· ὃν καὶ ὁ ῥηθεὶς τῆς ς'. Συνόδου ιδ', ἐπὶ λέξεως λαβών, δίεισι.

Νόμος.

Ἡ δὲ ρκγ'. Ἰουστινιάνειος νεαρὰ, Πρεσβύτερον, φησὶν, ἐλάττονα τῶν τριάκοντα ἐνιαυτῶν γίνεσθαι οὐκ ἐπιτρέπομεν· οὐδὲ διάκονον τῶν κέ., καὶ ὑποδιάκονον τῶν κ', οὔτε ἀναγνώστην τῶν ιή. διάκονον δὲ γυναῖκα μὴ χειροτονεῖσθαι, ἥτις ἐλάττων ἐστὶ τῶν μ'. ἐτῶν, ἢ εἰς δεύτερον ἦλθε γάμον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ τῆς ἡμέρας διαστήματος.

Νόμος.

Ἡ ἡμέρα ἀπὸ ἑβδόμης ὥρας τῆς νυκτὸς ὁρίζεται μέχρι τῆς ς'. ὥρας τῆς ἑπομένης νυκτός· καὶ τὸ γινόμενον ἐν οἱᾳδήποτε ὥρᾳ τῶν κδ'. ὡρῶν ἐν ἡμέρᾳ δοκεῖ γίνεσθαι.

ΑΡΧΗ ΤΟΥ Θ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν θεάτρων καὶ θυμελικῶν διαφόρων παιγνίων.

Λαοδικείας νδ΄.

Ὁ νδ΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανὼν, ἱερατικοὺς ἢ κληρικοὺς εἰς γάμους, ἢ εἰς ἑορτὰς ἑτέρας ἑστιωμένους, κελεύει ὅλως μὴ ἐπιστρέφεσθαι καὶ τὸν νοῦν προσέχειν ταῖς εἰωθυίαις ἐν τούτοις γίνεσθαι καταγελάστοις πρὸς γέλωτα θεωρίαις, ἀλλὰ, πρὶν τοὺς ἐκ τῆς θυμέλης εἰσιέναι, τούτους ἀναχωρεῖν.

Συνόδου ἕκτης κδ΄. νά.

Συνῳδὰ τούτῳ καὶ ὁ κδ΄. τῆς ς΄. Συνόδου διατάττόμενος κωλύει τοὺς ἱερωμένους καὶ μοναχοὺς εἰς ἱπποδρομίας ἀπιέναι καὶ θυμελικῶν παιγνίων ἀνέχεσθαι· ἐκτίθησι δὲ καὶ τὸν ῥηθέντα κατὰ ῥῆμα κανόνα τῶν ἐν Λαοδικείᾳ Πατέρων· τοὺς δὲ τούτοις προσανέχειν ἁλόντας, ἢ παύσασθαι παραγγέλλει, ἢ ἐπιμένοντας καθαιρεῖσθαι. Ζήτει καὶ τὸ ζ΄. Κεφ. τοῦ Γ στοιχείου.

Ὁ δὲ νά. τῆς αὐτῆς ἕκτης Συνόδου, τοὺς λεγομένους μίμους, καὶ τὰ τούτων θέατρα, καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, τελέως ἀργῆσαι νομοθετεῖ· τοὺς γὰρ πιστοὺς ἡ τῆς εὐαγγελικῆς πολιτείας ἀκρίβεια μὴ ἀνειμένως βιοῦν βούλεται, μηδὲ τὰ χαυνοῦντα τὸν τῆς ψυχῆς τόνον ἐπιτηδεύειν, ἀλλ᾽ ἃ πρέπει ἁγίοις· μίμους δέ φησι, τοὺς ἐνίων ἀπομιμουμένους φωνὰς καὶ ἦθη, πρὸς τὸ γελᾶν ἀκρατῶς τοὺς παρόντας παρασκευάσαι· κυνηγίων δὲ θεωρίαν, οὐ τὸ θηρᾶν λέγει διὰ κυνῶν ἢ ἄλλως πως, τοῦτο γὰρ ἔργον οὐ θεωρία ἐστὶν, ἀλλ᾽ ἐν ταῖς μεγίσταις τῶν πόλεων θηρία ἐτρέφοντο, λεόντές τε καὶ ἄρκτοι, ἃ δὴ καὶ κατά τινας ἐξῆγον καιροὺς ἐπὶ τὰ θέατρα, καὶ νῦν μὲν ταύροις προσπαλαίειν ἐφίεσαν, νῦν δὲ ἀνθρώποις δορυαλώτοις ἢ κατακρίτοις, ὥστε τούτους διασπαράττειν πρὸς ἡδονὴν τῶν θεωμένων, ὅ γε καὶ πολλὴν ὠμότητα κατηγόρει τῶν οἰκείαν χαρμονὴν τὰς ἑτέρων συμφορὰς ποιουμένων, καὶ ὁμοφυῶν ἀνθρώπων αἵμασιν ἡδομένων· σκηνὴ δέ ἐστιν ἡ προσποίητος ὑπό-

κρισις, ὅθεν καὶ σκηνικοὶ λέγονται οἱ ὑποκρινόμενοι, καὶ ἀπειρκάζοντες ἑαυτοὺς, ποτὲ μὲν δούλοις, ποτὲ δὲ δεσπόταις, ἢ στρατηγοῖς, καὶ ἄρχουσι. Τὰς οὖν ἐπὶ σκηνῆς ὀρχήσεις ἀνδρῶν τε καὶ γυναικῶν, ἀναιδῶς λυγιζομένων καὶ ἀσχημονούντων, καὶ εἰς ἀκολασίαν τοὺς ὁρῶντας ἐκκαλουμένων, καὶ τὰ ἐπὶ κόρρης ῥαπίσματα καὶ ψοφήματα ἀπαγορεύων ὁ κανὼν, τοῖς πρός τι τούτων ἑαυτοὺς ἐκδεδωκόσι, κληρικοῖς μὲν οὖσι, καθαίρεσιν ἐπάγει, λαϊκοῖς δὲ, ἀφορισμόν.

Ζήτει καὶ τὸν τῆς Συνόδου ταύτης ξϐ΄. κανόνα καὶ ξέ. ἐν τῷ γ΄. Κεφαλαίῳ τοῦ Ε στοιχείου.

Καρθαγένης ιέ, ξ΄, ξά.

Ὁ δὲ ιέ. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, τοῖς παισὶ τῶν ἱερέων ἀπείρηκε θεώρια ἐκτελεῖν· ἐνίοις γὰρ τῶν πολιτῶν, οἷς ἔμελλεν ἡ περὶ τὰ θέατρα μανία, ἵπποι ἐτρέφοντο εἰς ἅμιλλαν ἠσκημένοι δρόμων, καὶ θηρία, εἰς θηριομαχίαν· ταῦτα οὖν τοὺς παῖδας τῶν ἱερέων μὴ ὅτι τελεῖν κελεύει, ἀλλὰ μηδὲ ἀφικνουμένους ἐκεῖσε θεωρεῖν· δεῖ γὰρ αὐτοὺς ἐν παιδείᾳ τρέφεσθαι καὶ νουθεσίᾳ Κυρίου· καθ' ἃ δὴ καὶ Παῦλος ὁ μέγας, πρὸς Τίτον γράφων περὶ πρεσβυτέρων φησίν· Εἴ τις τέκνα ἔχει πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα· 1) καὶ πρὸς Τιμόθεον· Τὸν ὀρεγόμενον ἐπισκοπῆς, τέκνα δεῖ ἔχειν, ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος· 2) τὰ δὲ θεάτροις σχολάζοντα, ἀσωτίας ὑπόληψιν οὐ διαπέφευγε· ἀλλὰ καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται τελέως τούτων ἀπέχεσθαι, καὶ τοὺς βλασφημεῖν αἱρουμένους ἐκτρέπεσθαι, ἀσέμνοις χρωμένους ῥήμασί τε καὶ πράγμασι.

Ὁ δὲ ξ΄. καὶ τὰ ἐν ταῖς μνήμαις τῶν ἁγίων μαρτύρων κωλύει συμπόσια γίνεσθαι, καὶ τὰς ἐν τούτοις μυσαρὰς ὀρχήσεις· συμβαίνει γὰρ καὶ τὰς εὐσχήμονας τῶν γυναικῶν παρὰ τοῦτο εἰς τὰς Ἐκκλησίας μὴ ἀφικνεῖσθαι, διὰ τὸ λάγνως κατ' αὐτῶν ὁρμᾷν τοὺς τὰ αἰσχρὰ μὴ αἰσχυνομένους ἐπιτηδεύειν.

Ὁ δὲ ξά. θεώρια καὶ ἱπποδρομίας ἐν κυριακαῖς ἢ ἑτέραις ἑορτασίμοις ἡμέραις, ἢ τῇ ἑβδομάδι τοῦ Πάσχα, κωλύει γίνεσθαι, ἵνα μὴ τούτοις σχολάζοντες οἱ Χριστικνοὶ, τῶν ἐν ταῖς Ἐκκλη-

1) Τίτ. Α΄, 6.—2) ά. Τιμοθ. Γ΄. 4.

σίαις ὀλιγωρῶσι συνάξεων· κελεύει δὲ μὴ ἀναγκάζεσθαί τινα τῶν πιστῶν ἀνιέναι εἰς θέατρα.

Συνόδου ἕκτης ξς'.

Ὁ δὲ ξς'. τῆς ς'. Συνόδου κανὼν, τὴν ὅλην ἑβδομάδα τοῦ Πάσχα ἐν ταῖς Ἐκκλησίαις σχολάζειν ἀπαιτεῖ τοὺς πιστοὺς, ψαλμοῖς καὶ ὕμνοις εὐφραινομένους· τὰ δὲ θέατρα καὶ τὰς ἱπποδρομίας, τῷ τηνικαῦτα κεκώλυκεν· ὃν καὶ ζήτει ἐν τῷ ζ'. Κεφ. τοῦ Π στοιχείου. Ζήτει καὶ ἐν τῷ θ'. Κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου ρκθ'.

Νόμος.

Ὁ δὲ νόμος, ἀτίμους ἡγεῖται πάντας τοὺς διὰ πόρον εἰς ἀγῶνα κατιόντας, καὶ τοὺς διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς προϊόντας· ὁ δὲ μισθώσας ἑαυτὸν εἰς παιγνίων τέχνην καὶ μὴ ἐπιδειξάμενος, οὐκ ἀτιμοῦται· ὁ δὲ μισθώσας ἑαυτὸν εἰς τὸ θηριομαχῆσαι, κἂν μὴ θηριομαχήσῃ, ἄτιμος γίνεται, ὡς αἰσχροῦ κέρδους τὴν ἑαυτοῦ ζωὴν προϊέμενος 1).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ θεολογίας καὶ ὀρθοδόξου πίστεως.

Ζήτει τὸ περὶ πίστεως Κεφάλαιον εἰς τὴν ἀρχὴν τοῦ βιβλίου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ἁγίων Θεοφανείων.

Ζήτει ἐν τῷ λζ'. Κεφ. τοῦ Κ στοιχείου κανόνα τοῦ Θεοφίλου Ἀλεξανδρείας.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν θυσιαστήρια ἱστώντων κληρικῶν παρὰ γνώμην τῶν οἰκείων ἐπισκόπων.

Ζήτει τὸ ιϐ'. Κεφάλαιον τοῦ Σ στοιχείου.

1) β'. Βασ, ΚΑ', ϵ', γ'.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι εἰς τὸ ἅγιον θυσιαστήριον ἱερωμένοις μόνοις εἰσέρχεσθαι
1) ἀσφαλές· εἰσέρχονται δὲ καὶ βασιλεῖς, ὅτε τὰ δῶρα τῇ
θείᾳ τραπέζῃ προσοίσειν μέλλουσι· λαϊκοῖς δὲ,
ἢ γυναιξὶν, εἰσιέναι ἀπείρηται.

Ζήτει τὸ ς'. Κεφάλαιον τοῦ Β στοιχείου, καὶ τοῦ Γ στοιχείου τὸ κδ'. Κεφάλαιον, καὶ ἐν τῷ λέ. Κεφ. τοῦ Ε στοιχείου κανόνα ιθ' τῆς ἐν Λαοδικείᾳ Συνόδου.

ΑΡΧΗ ΤΟΥ Ι ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἱερῶν σκευῶν καὶ ἱεροσυλίας.

Ἀποστόλων οβ', ογ'.

Ὁ οβ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, ἀλλὰ δὴ καὶ ὁ ογ'., τὸν ἀπὸ τῆς Ἐκκλησίας ἀφελόμενον κηρὸν, ἢ ἔλαιόν, ἔτι δὲ σκεῦος ἁγιασθὲν, χρυσοῦ ἢ ἀργύρου πεποιημένον, ἢ ὀθόνην εἰς οἰκείαν χρῆσιν σφετεριζόμενον καὶ κοινοῦντα, εἴγε μὴ ἱεροσυλίας, ὡς δ' οὖν παρανομίας δίκας ὑπέχοντα, ἀφορισμῷ ὑποβάλλουσιν. Ὁ Ἄχαρ δὲ, καὶ ἅπερ οὐδέπω Θεῷ προσήνεκται, οὔτε μὴν ἡγίασται, ἀλλὰ μόνον ἐπήγγελται ὑφελόμενος, τὴν ἐσχάτην ἔδωκε δίκην καταλευσθεὶς παγγενής.

Συνόδου Α'. καὶ Β'. ι'.

Ὁ δὲ ι. τῆς λεγομένης Α' καὶ Β'. Συνόδου, ἐκδηλότερον τῶν κανόνων τουτωνὶ τὸν νοῦν ἑρμηνεύων, τοὺς σφετεριζομένους τὰ ἐκτὸς, φησὶ, τοῦ θυσιαστηρίου σκεύη ἢ ἄμφια, ἃ δὴ πρὸς κόσμον τοῦ ναοῦ ἀφιέρωται, λυχνίας τυχὸν, ἢ ἔπιπλα, καὶ εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς ἢ ἑτέροις παρέχοντας, ὁ ἀποστολικὸς ἀφορίζει

1) ἐμβαίνειν. Β. ε.

κανὼν, καὶ ἡμεῖς συναφορίζομεν· τοὺς μέντοι τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ τὴν λαβίδα, ἢ τὴν σεβασμίαν ἐνδυτὴν, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς ἕν τι τῶν ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ ἱερῶν καὶ ἁγίων σκευῶν ἢ ἀμφιεσμάτων εἰς ἴδιον κέρδος ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν χρωμένους ἀνίερον (τὸ μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ, συλῆσαι τὰ ἅγια), παντελεῖ καθαιρέσει καθυποβάλλομεν, ὡς δυσσεβὲς ἔργον διαπραξαμένους.

Νύσσης ἡ.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος, ἐν τῷ ἡ. κανόνι, Ἡ ἱεροσυλία, φησὶ, παρὰ μὲν τῇ ἀρχαίᾳ καὶ θείᾳ Γραφῇ οὐδὲ ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα· ὁμοίως γὰρ ὅ,τε φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον· ἡ δὲ τῆς Ἐκκλησίας συνήθεια, συγκαταβάσει οὐκ οἶδ' ὅπως χρησαμένη, ἀνεκτότερον τὸ τῆς τοιαύτης νόσου καθάρσιον ἐλογίσατο· ἐλάττονι γὰρ χρόνῳ τοὺς ἱεροσύλους ἢ τοὺς μοιχοὺς ἐκολάσατο· τοὺς οὖν μοιχοὺς εἰς ιή. ἔτι τῆς κοινωνίας ἀπείργει. Ζήτει καὶ ἐν τῷ ις΄. Κεφαλ. τοῦ Ε στοιχ. κανόνα β΄. τοῦ ἁγίου Κυρίλλου, καὶ τῶν ἐκεῖσε κειμένων νόμων τὸ δ΄. Κεφάλαιον.

Νόμοι.

Τὸ περὶ ἱεροσυλίας ἔγκλημα ὅμοιόν ἐστι τῷ τῆς καθοσιώσεως.

Ὁ περὶ τῆς ἱεροσυλίας κινεῖται νόμος κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν χρημάτων, ἢ χρησαμένου τούτοις εἰς ἰδίας χρείας, ἢ παρασκευάσαντος κατὰ δόλον γενέσθαι τι τούτων.

Ὁ κλέπτων τὸ μήπω Θεῷ καθιερωθὲν, ὡς κλέπτης ἐνάγεται· τὸ γὰρ ὑφελέσθαι ἀπὸ τοῦ ἱεροῦ χρήματα ἰδιωτικὰ, οὐκ ἔστιν ἱεροσυλία, ἀλλὰ κλοπή· ὁ δὲ τὰ ἀνατεθειμένα τῷ Θεῷ κλέπτων, κἂν ἐξ ἰδιωτικοῦ τόπου κλέψῃ, ὡς ἱερόσυλος ἐνέχεται. Ἐπεὶ δέ εἰσί τινα ἱερὰ μὴ ἀνατεθειμένα τῷ Θεῷ, ὡς τὰ ἰδικῶς 1) ἡμῖν διαφέροντα εἰκονίσματα, μήπω ναοῖς ἢ μοναστηρίοις ἀνατεθέντα, κατὰ τοῦτό φησιν ὁ νόμος, τὸν τόπον ποιεῖν τὴν κλοπὴν ἢ τὴν ἱεροσυλίαν· ὁ γὰρ τὴν ἐν τῷ οἰκίσκῳ ἡμῶν οὖσαν ἁγίαν

1) ἰδιωτικῶς Γ.

εἰκόνα κλέπτων, οὐκ ἔστιν ἱερόσυλος, ἀλλὰ κλέπτης· εἰ δὲ μή, εἴποιμεν ἂν καὶ τὸν νομίσματα κλέπτοντα, εἰκόνα ἔχοντα τοῦ Χριστοῦ ἢ τῆς Θεοτόκου, ὡς ἱερόσυλον ἐνάγεσθαι· ὅπερ ἄτοπον καὶ ψευδές.

Ὁ ἱερόσυλος ἐν νυκτὶ τῷ θυσιαστηρίῳ ἐπιβαίνων, καὶ τὰ ἀνατεθειμένα τῷ Θεῷ ἱερὰ μολύνων ἢ ἀφαιρούμενος, ξίφει τιμωρείσθω· ἐν ἡμέρᾳ δὲ μέτριόν τι ἀφαιρούμενος ἀπὸ τῆς Ἐκκλησίας διὰ πτωχείαν, τυπτόμενος ἐξοριζέσθω 1).

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ὅτι οὐ δεῖ ἔνδον τῶν ἱερῶν περιβόλων τὰς λεγομένας ἀγάπας ποιεῖν, ἢ καπηλεῖα εἶναι, ἤ τι κατ' ἐμπορίαν προτιθέναι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤ τινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ ιέ. Κεφαλ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῆς θείας ἱερουργίας.

Ζήτει ἐν τῷ έ. Κεφ. τοῦ Τ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ Ἰουδαίων, καὶ ὅτι μετ' αὐτῶν κοινωνίαν ὅλως ἔχειν οὐ δεῖ 2).

Ζήτει ἐν τῷ β΄. Κεφ. τοῦ Α στοιχείου κανόνα ξδ΄. τῶν ἁγίων Ἀποστόλων.

Ἀποστόλων ὁ, οά.

Ὁ δὲ ὁ, τὸν μετὰ Ἰουδαίων νηστεύοντα, ἢ συνεορτάζοντα, ἢ παρ' αὐτῶν τὰ τῆς ἑορτῆς δεχόμενον ξένια, ἢ ἄζυμα, ἤ τι τῶν

1) ιϐ΄. Βασ. Ξ΄, μέ. — 2) τοὺς πιστοὺς, προστίθησι Β.

τοιούτων, κληρικὸν μὲν ὄντα, καθαιρεῖ, λαϊκὸν δὲ, ἀφορίζει· κἂν γὰρ μὴ τὰ ἐκείνων, εἰ καὶ οὕτω δρῴη, φρονῶν ἰσχυρίζεται, ἀλλὰ πολλοῖς σκανδάλου δίδωσιν ἀφορμὴν καὶ ὑπόνοιαν καθ' ἑαυτοῦ, ὡς τὰς Ἰουδαϊκὰς τιμᾷ τελετὰς, ἃς πρό γε τῆς Χριστοκτονίας ὁ Θεὸς φαίνεται βδελυττόμενος, Νηστείας, λέγων, καὶ ἀργίας, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου 1)· οὐ γὰρ τοῖς Ἰουδαϊκῶς ζῶσιν ἐπιτιμᾷ ὁ κανὼν, ἀλλ' οἷς οὐ περὶ πλείστου γίνεται, τῷ ἀδιαφόρως βιῶναι, τῆς ἐκείνων ἀποδιΐσασθαι κοινωνίας.

Περὶ ἀζύμων· κατὰ Λατίνων.

Ἐκ τούτου πάρεστι γνῶναι, μὴ κατὰ μικρὸν παρανομοῦντας τοὺς δι' ἀζύμων τὴν μυστικὴν ἐπιτελοῦντας θυσίαν· εἰ γὰρ τοῖς ἁπλῶς ἐσθίουσιν ἄζυμα ἐξ Ἰουδαϊκῆς ἑορτῆς καθαίρεσιν ἐπάγει καὶ ἀφορισμὸν, τὸ μεταλαμβάνειν τούτων ὡς Κυριακοῦ σώματος, δι' αὐτῶν τε τὸ Πάσχα ἐπιτελεῖν, ποίαν ἔχει παραίτησιν εὐπρεπῆ; οὐ γὰρ τὸ ἁπλῶς ἐσθίειν ἄζυμα κεκώλυκεν, ἀλλὰ τὸ δι' ἀζύμων κατὰ Ἰουδαίους ἑορτάζειν· τίς δὲ μείζων τῆς ἀναιμάκτου θυσίας ἑορτὴ, ἣν ὁ Κύριος ἡμῖν, τὸν σωτήριον μέλλων ὑπέρχεσθαι θάνατον 2), πρὸ τῆς τοῦ Πάσχα ἑορτῆς παραδέδωκεν; Ὅτι γε μὴν οὐδὲ εἰς νοῦν τοῖς θείοις ἐπῆλθε Πατράσι τὸ δι' ἀζύμων ἑορτάζειν ἡμᾶς, δῆλον ἐκ τοῦ πᾶσαν σπουδάσαι τούτους Ἰουδαϊκὴν περιελεῖν ἑορτὴν, καὶ τἀναντία τοῖς αὐτῶν ἔθεσιν ἐπιτάξαι καὶ νόμοις, ὥσπερ δὴ τὴν ἐν τοῖς σάββασι νηστείαν καὶ ἀργίαν λελύκασι· προσέτι καὶ ἣν εἰς ἀνάμνησιν τῆς τῶν Νινευϊτῶν τελοῦσι νηστείας, καὶ τ' ἄλλα, ἃ κατὰ μέρος διεξιέναι οὐ τοῦ παρόντος καιροῦ.

Ὁ δὲ οά. καὶ τὸν κομίζοντα Χριστιανὸν ἔλαιον εἰς τὰ τῶν ἐθνῶν ἱερὰ, ἢ εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἢ λύχνους ἅπτοντα, τῇ τοῦ ἀφορισμοῦ δίδωσι δίκῃ· τιμᾷν γὰρ ἐκ τούτου τὰ ἐκείνων ὄργια λογισθήσεται.

Λαοδικείας λζ', λή, λθ'.

Τούτων ἀφίστασθαι πάντων παρεγγυῶσι καὶ ὁ τῆς ἐν Λαοδι-

1) Ησ. Α', 13. — 2) τὸ μυστήριον τὸ σωτήριον μέλλων ὑπέρχεσθαι, ἤγουν ἑκούσιον θάνατον Β.

κείᾳ λζ′. κανὼν, καὶ ὁλή, καὶ ὁ λθ′. ἀμφοτέρων τῶν ἀποστολικῶν μεμνημένοι κανόνων αὐτοῖς ῥήμασι καὶ ὀνόμασιν.

Συνόδου ἕκτης ιά.

Ὁ δὲ ιά. τῆς ς′. Συνόδου, Τὸν τὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθίειν μὴ παραιτούμενον, ἢ τὴν τούτων φιλίαν οὐκ ἀτιμάζοντα, ἢ ἐν νόσοις πρὸς ἰατρείαν αὐτοὺς προσκαλούμενον, ἢ ἐν βαλανείῳ τούτοις συλλουόμενον, κληρικὸν μὲν ὄντα, καθαιρέσει, λαϊκὸν δὲ, ἀφορισμῷ ὑποτίθησι. Ζήτει καὶ τὸ δ′. Κεφ. τοῦ Β στοιχείου.

Λαοδικείας κθ′.

Ὁ δὲ κθ′. τῆς ἐν Λαοδικείᾳ Συνόδου, Οὐ δεῖ, φησὶ, τοὺς Χριστιανοὺς, τοὺς τὸν εὐαγγελικὸν νόμον δεξαμένους, καὶ τελεώτερον τοῖς ἔτι τὸν σκιώδη καὶ ἀτελῆ διώκουσι προσέχειν Ἰουδαίοις, καὶ τὸ σάββατον, ὡς ἐκεῖνοι, τιμῶντας, ἀπραξίαν ἐν τούτῳ παντὸς ἔργου καταψηφίζεσθαι· ἀλλ᾽ ἐν τούτῳ μὲν ἐργάζεσθαι, τὴν δὲ κυρίαν τῶν ἡμερῶν προτιμῶντας, εἴγε δύναιντο σχολάζειν ὡς Χριστιανοὶ, τῶν ἔργων ἀφεμένους προσεδρεύειν ταῖς Ἐκκλησίαις· τὸν γὰρ ἐκ πενίας, ἢ ἡστινοσοῦν ἄλλης ἀνάγκης καὶ κατὰ τὴν Κυριώνυμον ἔργον ἀπαραίτητον ὑπελθόντα, ὡς ἄγνωμον, μὴ συγγνώμης τυγχάνειν· τοῖς δὲ τὰ Ἰουδαϊκὰ μὴ παραιτουμένοις ἔθη, φανερῶς τιμᾶται τοῦ ἀναθέματος.

Νόμοι.

Οἱ Ἰουδαῖοι ἐν σαββάτῳ καὶ ταῖς ἄλλαις αὐτῶν ἑορταῖς, οὔτε σωματικῶς λειτουργοῦσιν, οὔτε τι ποιοῦσιν, οὔτε διὰ δημοσίαν ἢ ἰδιωτικὴν αἰτίαν ἐνάγονται, ἢ Χριστιανοῖς ἐνάγουσιν 1).

Ἐὰν Ἰουδαῖος Χριστιανὸν ἢ κατηχούμενον ἀνδράποδον κτήσηται, καὶ περιτέμῃ, ἢ τολμήσῃ τινὸς διαστρέψαι χριστιανικὸν λογισμὸν, κεφαλικῶς τιμωρείσθω 2).

1) 1 Κώδ. Ι′, IX. — 2) νέ. Βασ. Α′, ά.

ΑΡΧΗ ΤΟΥ Κ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α.

Περὶ τῶν καθαιρεθέντων ἤδη ἐπισκόπων καὶ κληρικῶν, καὶ ὑπὸ πόσων ἐπισκόπων καθαιροῦνται.

Ζήτει ἐν τῷ θ'. Κεφ. τοῦ Δ στοιχείου περὶ τῶν ἐνδίκως καθαιρεθέντων· ἀλλὰ δὴ καὶ τὸν ιϐ'. κανόνα, καὶ τὸν ιέ. τῆς ἐν Καρθαγένῃ Συνόδου, οὓς εὑρήσεις, ὑπὸ δώδεκα μὲν ἐπισκόπων χρῆναι κελεύοντας καθαιρεῖσθαι τὸν ἐπίσκοπον· ὑπὸ ἓξ δὲ, τὸν πρεσβύτερον, καὶ τριῶν, τὸν διάκονον· καὶ ἐν τῷ ιή. Κεφ. τοῦ Α στοιχείου κανόνα ιά. τῶν ἁγίων Ἀποστόλων· καὶ ἐν τῷ θ'. Κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα κζ'. τοῦ μεγάλου Βασιλείου.

Συνόδου ἕκτης κά.

Ὁ δὲ κά. τῆς ς'. Συνόδου οὕτω κατὰ λέξιν φησίν· Οἱ ἐπ' ἐγκλήμασι κανονικοῖς ὑπεύθυνοι γινόμενοι κληρικοὶ, καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ ὑποβαλλόμενοι καθαιρέσει, καὶ εἰς τὸν τῶν λαϊκῶν τόπον ἀπωθούμενοι, εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες ἀθετοῦσι τὴν ἁμαρτίαν, δι' ἣν τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους ἑαυτοὺς καθιστᾶσι, τῷ τοῦ κληρικοῦ κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοὶ τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς αἰωνίου προτετιμηκότες ζωῆς· φιλανθρωπότερον γὰρ ὁ κανὼν τοῖς ἀληθεῖ μεταμέλῳ χρησαμένοις διατίθεται· οἱ μὲν γὰρ διά τινα περιφανῆ ἐγκλήματα καθαιρούμενοι, μοιχείᾳ τυχὸν, ἢ ἱεροσυλίᾳ περιπεσόντες, εἰς τὴν τῶν λαϊκῶν ἐκβάλλονται χώραν, καὶ ἐνεργεῖν οὐδ' ὁτιοῦν αὐτοῖς ἔξεστι τῶν τοῖς κληρικοῖς ἀνηκόντων· οἱ μέν τοι δευτέροις γάμοις προσομιλήσαντες συγγινώσκονται διὰ τὸν γάμον, καὶ τὰ ἔξω μετιέναι τοῦ βήματος οὐκ ἀπείργονται, ὡς ἡ οϑ'. νεαρὰ τοῦ βασιλέως Λέοντος διορίζεται, ἣν καὶ ζήτει ἐν τῷ δ'. Κεφ. τοῦ Γ στοιχείου. Ζήτει καὶ ἐν τῷ ις'. Κεφαλαίῳ τοῦ Π στοιχείου τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανόνας θ' καὶ ί, καὶ ἐν τῷ ζ'. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνα ά. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῶν καινιζομένων ἐκ βασιλέων Ἐκκλησιῶν ἢ πόλεων.

Ζήτει τὸ κά. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ καινοτομιῶν.

Νόμοι.

Καινὸν ἔργον ποιεῖ τις ἢ οἰκοδομῶν, ἢ καταλύων ὁτιοῦν, καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσων 1).

Ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν, τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω, μήτε ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχοι κατὰ συμφωνίαν ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἢ ἐπιτρέπουσαν, ὡς βούλεται, τὸ παλαιὸν ἀμείβειν σχῆμα. Ἡνίκα δὲ δύο οἶκοι ἀπαντικρὺ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ἀπὸ τῶν θεμελίων μέχρι παντὸς τοῦ ὕψους· τούτου γὰρ φυλαττομένου τοῦ διαστήματος, ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον, καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν· ὁ δὲ νέον οἶκον οἰκοδομῶν μὴ ἀφαιρείσθω τὴν ἄποψιν τοῦ γείτονος, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θάλασσαν ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις, ἢ καθεζόμενος ἐν αὐτοῖς· καὶ μὴ ἀναγκαζέσθω παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ᾽ ᾧ ἰδεῖν θάλασσαν· ἐὰν δὲ ρ΄. ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων ὑπάρχῃ διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ, καὶ τὴν ἐπὶ θάλατταν ἄποψιν ἀφαιρεῖσθαι τοῦ γείτονος· εἰ δὲ σύμφωνόν ἐστιν ἐπιτρέπον τινὶ τὴν οἰκοδόμησιν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτει τὸν γείτονα περὶ τὴν τῆς θαλάσσης ἄποψιν· οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀφαιρεῖσθαι 2).

Ὅτι δὲ μέσου ὄντος στενωποῦ ἢ πλατείας, οἰκοδομεῖ τις τὸν

1) Πρ. Ν. ΑΗ΄, ά. — 2) αὐτ. δ΄.

ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν δώδεκα ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν, καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέτω· οὐ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς δώδεκα πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενώτερον τῶν δώδεκα ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα· ὅτε δὲ πλέον τούτων εὑρίσκεται, μηδεὶς ἐξ αὐτῶν ἀφαιρείσθω, ἀλλὰ τῇ πόλει περισωζέσθω τὰ οἰκεῖα. Εἰ μέν τοι πόδες δέκα εἰσὶν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ποιείτω ὁ κτίζων, εἰ μὴ πρότερον εἶχεν αὐτὰς, φωταγωγοὺς δὲ ποιείτω ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας 1).

Δουλείαν ἐπιθεῖναι τοῖς ἐπικοίνοις οἰκήμασιν, ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην τοῦ ἑτέρου οὐ δύναται, οὐδὲ τὸν ἐπίκοινον καταλύειν τοῖχον, ἢ ἀνανεοῦν παρὰ γνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἔστι μόνος δεσπότης 2).

Κατὰ δένδρων μέντοι ἢ κήπων δουλεία ἀπόψεως οὐ φυλάττεται 3).

Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ ἱστάμενον, μεγάλας ἐκτεῖναν ῥίζας, τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτῃ, προνοίᾳ τοῦ ἄρχοντος ἀναγκαζέσθω ὁ γείτων ἐκτέμνειν 4).

Οὐ καλῶς κωλύει τις τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλεῶνα κατὰ τῆς δημοσίας ὑποκάτω τοῦ σταλαγμοῦ τῶν κεράμων αὐτοῦ, ἐν ᾧ μὴ βλάπτῃ τὴν πάροδον 5).

Ἐὰν ἡ πηγὴ, ἀφ' ἧς ἕλκει τις ὕδωρ, ξηρανθεῖσα ἐπί τισι χρόνοις, αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, ἀνανεοῦται αὐτῷ πάλιν ὁ τοῦ ὕδατος ἀντλισμὸς καθὰ καὶ πρότερον 6).

Οὔτε φοῦρνον, οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν 7).

Τὸν κτίζοντα φοῦρνον, δύνανται οἱ ἐν τοῖς ὑψηλοτέροις οἴκοις ὑπὸ τοῦ καπνοῦ βλαπτόμενοι κωλύειν αὐτὸν, εἰ μὴ ἄρα δίκαιον εἶχεν ἐκεῖσε τὸν καπνὸν εἰσπέμπειν· καὶ τὸ ἀνάπαλιν οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες κωλύονται ὕδωρ ῥίπτειν ἢ κόπρον, καὶ καταβλάπτειν τοὺς ἐν τοῖς χθαμαλωτέροις

1) Πρ. Ν. ΑΗ', θ', ί. — 2) αὐτόθι ζ'. — 3) αὐτ. ή. — 4) αὐτ. κ'. — 5) αὐτ. ιέ. — 6) αὐτ. ις'. — 7) αὐτ. ιζ'.

οἰκοῦντας. Ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποιεῖν τι ἐν τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτῃ 1).

Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου ἐκκλίνῃ ἥμισυ ποδὸς, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν 2).

Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ῥίπτειν, εἰ μὴ τοιαύτην ἔχει δουλείαν 3).

Ὅστις χωρὶς κελεύσεως βασιλικῆς ῥύμην πόλεως τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδότω 4).

Κατὰ νόμον ἡ πλατεῖα ὁδὸς εἰς μὲν ὀρθὸν, ὀκτὼ ποδῶν ἐστιν, εἰς δὲ κάμψιν, ἑκκαίδεκα.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ καλανδῶν καὶ κληδονισμῶν.

Ζήτει τὸ ιγ'. Κεφάλαιον τοῦ Β στοιχείου· καὶ τὸ γ'. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ κανόνων Ἐκκλησιαστικῶν, καὶ πόσους δεῖ κανόνας κρατεῖν.

Συνόδου τετάρτης ά.

Ὁ ά. τῆς δ'. Συνόδου κανὼν, Τοὺς ὑπὸ τῶν ἁγίων Πατέρων, φησὶ, καθ' ἑκάστην Σύνοδον, οἰκουμενικήν τε δηλονότι καὶ τοπικὴν, ἄχρι καὶ νῦν ἐκτεθέντας κανόνας, εἴς τε δογμάτων συντελοῦντας ἀκρίβειαν, καὶ τὴν τῆς Ἐκκλησίας κατάστασιν, κρατεῖν δικαιοῦμεν.

Ὁ δὲ ϛ'. τῆς ις'. Συνόδου κανὼν, καὶ κατὰ μέρος τοὺς συνεταχότας τοὺς ἱεροὺς καὶ θείους κανόνας κοινῇ τε καὶ ἰδίᾳ θείους Πατέρας ἀπαριθμεῖται, καὶ βεβαίως μένειν θεσπίζει, οὓς

1) Πρ. Ν. ΛΗ'. ιδ'. — 2) Πρ. Ν. ΛΗ', κή — 3) Πρ. Ν. ΛΗ', ιθ'. — 4) αὐτ. κϐ'.

αὐτοί τε τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου ἐχρησμοδότησαν Πνεύματος, καὶ οἱ πρὸ ἡμῶν ἅγιοι Πατέρες ἐδέξαντο καὶ ἐκύρωσαν, καὶ ἡμῖν παραδεδώκασι πρός τε ψυχῶν θεραπείαν, καὶ ἰατρείαν παθῶν, τοὺς πέντε καὶ ὀγδοήκοντα τῶν ἁγίων Ἀποστόλων, φημὶ, πλὴν τῶν διὰ Κλήμεντος Διατάξεων, (αὗται γὰρ πολὺ τὸ νόθον πρὸς τῶν κακοδόξων, δίκην ζιζανίων, εἰσεδέξαντο), τὸ κῦρος ἔχειν κελεύει, καὶ οὓς οἱ ἐν Νικαίᾳ τριακόσιοι δέκα καὶ ἑκτὼ θεοφόροι Πατέρες ἐκπεφωνήκασιν· ἀλλὰ μὴν καὶ οὓς ἡ ἐν τῇ βασιλίδι τῶν πόλεων δευτέρα καὶ οἰκουμενικὴ Σύνοδος τῶν ρν'. Πατέρων ἐθέσπισε, καὶ ἡ τρίτη τῶν ἐν Ἐφέσῳ διακοσίων Πατέρων, καὶ ἡ τετάρτη τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα Πατέρων, καὶ οὓς ἡ ἐν Ἀγκύρᾳ Σύνοδος διετάξατο, πρὸς δὲ καὶ ἡ ἐν Νεοκαισαρείᾳ, καὶ ἡ ἐν Γάγγραις, καὶ ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, καὶ ἡ ἐν Λαοδικείᾳ τῆς Φρυγίας, καὶ ἡ ἐν Σαρδικῇ, καὶ ἡ ἐν Καρθαγένῃ· δεκτέοι γε μὴν καὶ οἱ παρὰ Νεκταρίου, καὶ Γενναδίου τῶν Κωνσταντινουπόλεως γραφέντες προέδρων, προσέτι Διονυσίου, καὶ Πέτρου τῶν ἱερομαρτύρων, Ἀθανασίου τοῦ μεγάλου, καὶ Κυρίλλου, Τιμοθέου, καὶ Θεοφίλου, οἳ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γεγόνασι πρόεδροι· οὐ μὴν ἀλλὰ καὶ Γρηγορίου Νεοκαισαρείας τοῦ θαυματουργοῦ, Βασιλείου Καισαρείας τοῦ μεγάλου, Γρηγορίου Νύσσης, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἀμφιλοχίου Ἰκονίου· ὁ μέντοι πρὸς τοῦ ἀρχιεπισκόπου τῆς Ἄφρων χώρας ἱερομάρτυρος Κυπριανοῦ καὶ τῆς κατ' αὐτὸν Συνόδου ἐκδοθεὶς κανὼν ἐν τοῖς αὐτῶν τόποις καὶ μόνον ἐκράτησε. Τῶν τοίνυν συμπάντων κανόνων τούτων ὅ γέ τινα παραχαράττειν, ἢ ἀνατρέπειν, ἢ ἀθετεῖν τολμῶν, ἢ καινοτομεῖν, ἢ ἑτέρους ψευδῶς πρός τινων συντεθέντας παραδέχεσθαι, τῶν ἐπιχειρούντων τὴν ἀλήθειαν καπηλεύειν, ὁ τοιοῦτος ἔστω, φησὶν, ἀνάθεμα, καὶ τοῦ Χριστιανικοῦ καταλόγου ἀλλότριος.

Συνόδου ἑβδόμης α'.

Ὁ δὲ ά. τῆς ζ'. Συνόδου κανὼν, Τοὺς θείους, φησὶ, κανόνας, ἔργον νομίζοντες ἀτεχνῶς περιμάχητον, ἀσπασίως ἐντρυφῶμεν, οὓς τε πρῶτον οἱ θεῖοι Ἀπόστολοι σαφῶς διεχάραξαν, καὶ οὓς αὖθις αἱ ἓξ ἅγιαι καὶ οἰκουμενικαὶ Σύνοδοι, πρὸς δὲ καὶ αἱ το-

πικαὶ συνετάξαντο· ἔτι γε μὴν καὶ οὓς ἰδίᾳ ἔνιοι τῶν ἐπ' εὐσεβείᾳ διενεγκόντων καὶ ἀρετῇ σοφοὶ Πατέρες ἐκπεφωνήκασι, καὶ ὁλόκληρον καὶ ἀσάλευτον τὴν σφῶν διαταγὴν τηρεῖσθαι θεσπίζομεν, ὡς ἄν γε δήπου τῆς αἰωνίου μακαριότητος πρόξενον· ἐξ ἑνὸς γοῦν ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες τὸν νοῦν, τὰς τῶν κανόνων διατάξεις ὑποτυπώσαντες ἐκδεδώκασιν, ἃς δὴ καὶ ὡς μαρτύριά τε καὶ κατορθώματα, αἰδοῖ τῇ πάσῃ τιμᾷν χρή· διαμαρτύρονταί γέ τοι σαφῶς καὶ ὑποδεικνύουσι, πῶς δεῖ βιοῦντας ἡμᾶς τὴν ἀρετὴν κατορθοῦν· καὶ τοῖς παραβεβηκόσι τὴν μετελευσομένην αὐτοὺς προζωγραφοῦσιν ἀπαραίτητον κόλασιν· ταύτῃ τοι καὶ τὰ τοῦ θεόπτου Μωσέως δανεισάμενοι, λέγομεν· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔξιν ἀφελεῖν 1)· καὶ τὰ τοῦ Ἀποστόλου· Εἰ ἄγγελος εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω 2)· ἀνάθεμα τοίνυν καὶ ἡμεῖς ἀποφαινόμεθα τοὺς παρὰ τῶν θείων κανόνων τούτῳ παραπεμφθέντας, καθαιροῦμέν τε τοὺς καθαιρεθέντας, καὶ τοὺς ἀφορισθέντας συναφορίζομεν· ἀλλὰ γὰρ καὶ τοῖς ἐπιτιμηθεῖσι, τὴν αὐτὴν ἐπιτιμίαν ὁρίζομεν.

Τόμος ἑνώσεως.

Ὁ δὲ τῆς ἑνώσεως τόμος, Τοῖς ἐν καταφρονήσει, φησὶ, τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων Πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ὑπερείδουσιν Ἐκκλησίαν, καὶ ὅλον τὸ χριστιανικὸν πλήρωμα κοσμοῦντες, πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

Νόμος.

Ἡ δὲ ρλά. Ἰουστινιάνειος νεαρὰ, Θεσπίζομεν, φησὶ, νόμων τάξιν ἐπέχειν τοὺς ἁγίους καὶ ἐκκλησιαστικοὺς κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων ἑπτὰ Συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας, τουτέστι, τῆς ἐν Νικαίᾳ τῶν τιή, καθ' ἣν Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος ἀνεθεματίσθη· καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ἁγίων ρν'. Πατέρων, ὑφ' ὧν ὁ πνευματομάχος Μακεδόνιος ἐστηλιτεύθη· καὶ τῆς ἐν Ἐφέσῳ, ἐν ᾗ ὁ Νεστόριος κατεκρίθη· καὶ τῆς ἐν Χαλ-

1) Δευτ. ΙΒ', 32. — 2) Γαλ. Α', 8, 9.

κηδόνι, καθ' ἣν ὁ Εὐτυχὴς μετὰ Διοσκόρου ἀνεθεματίσθη· πρὸς δὲ ταύταις, τῆς ἐν Κωνσταντινουπόλει τὸ δεύτερον, δι' ἧς Ὠριγένης μετὰ τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἕτεροί τινες δυσσεβεῖς παρεδειγματίσθησαν· καὶ ἔτι τῆς ἐν Κωνσταντινουπόλει τὸ τρίτον, ἥτις διαφόρους αἱρέσεις θριαμβεύσασα, τὰ τῶν προγενεστέρων ἁγίων Συνόδων θεῖα δόγματα ἐπεκύρωσε, καὶ ἐπὶ πᾶσι τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, ἐξ ἧς οἱ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσαντες, ἐξίσου τοῖς προλαβοῦσιν αἱρετικοῖς τῆς καθολικῆς τοῦ Θεοῦ Ἐκκλησίας ἀπεκηρύχθησαν· τῶν γὰρ προειρημένων ἁγίων Συνόδων τὰ δόγματα, καθάπερ τὰς θείας Γραφὰς, δεχόμεθα, καὶ τοὺς κανόνας ὡς νόμους φυλάττομεν· ὅσων δὲ ἁγίων Συνόδων μετὰ τὸν Ἰουστινιανὸν ἡ νεαρὰ μέμνηται, ὁ τὴν τῶν νόμων ἀνακάθαρσιν ποιήσας βασιλεὺς προσέθετο· πλέον τοίνυν τῶν νόμων τοὺς κανόνας ἰσχύειν ἀνάγκη· οἱ μὲν γὰρ παρὰ βασιλέων μόνων συνετέθησαν, καὶ παρὰ τῶν εἰσέπειτα καλῶς ἔχειν ἐνομίσθησαν· οἱ δέ γε κανόνες, παρὰ τῶν ἁγίων Πατέρων γνώμῃ καὶ σπουδῇ καὶ ψήφῳ τῶν τηνικάδε βασιλέων συνεγράφησαν καὶ ἐπεστηρίχθησαν· ὅμως γε μὴν μεγάλην ῥοπὴν τοῖς θείοις κανόσιν οἱ φιλευσεβεῖς ἐκπορίζουσι νόμοι, τὰ μὲν ἐκείνοις συντρέχοντες, τὰ δὲ καὶ ἀναπληροῦντες, ἅπερ ἐκείνοις ἔσθ' ὅπη παρεῖται.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ χαρτικοῦ.

Ζήτει τοὺς κειμένους νόμους ἐν τῷ κή. Κεφ. τοῦ Χ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι εἰς καπηλεῖον οὐ δεῖ τὸν κληρικὸν εἰσιέναι.

Ἀποστόλων νδ'.

Ὁ τῶν ἁγίων Ἀποστόλων νδ'. κανὼν, Τὸν ἐσθίειν ἐν καπηλείῳ φωραθέντα κληρικὸν, εἰ μή που δι' ἀνάγκην ἐν πανδοχείῳ, ἀφορίζεσθαι κελεύει· βίου γὰρ σεμνοῦ τοῖς λαϊκοῖς παράδειγμα

τυγχάνοντας τοὺς κληρικοὺς, ἀνεπιλήπτους ἐν ἅπασιν εἶναι δεῖ, ἵνα μὴ δι' αὐτοὺς τὸ τοῦ Θεοῦ ὄνομα βλασφημῆται· ὁ δὲ καπηλείοις ὡς τὰ πολλὰ χαίρων, ἀθῶος τῆς τῶν ἐκεῖ προσεδρευόντων καὶ ἀσέμνως βιούντων ἀνδρῶν τε καὶ γυναικῶν οὐκ ἂν εἴη κακίας· τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ μ'. διορίζεται.

Συνόδου ἕκτης Θ'.

Ὁ δὲ θ'. τῆς ς'. Συνόδου, Μηδενὶ ἐξεῖναι φησὶ κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν· εἰ γὰρ τῷ τοιούτῳ εἰς καπηλεῖον εἰσιέναι οὐκ ἐπιτέτραπται, σχολῇ γ' ἂν ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν· εἰ δέ τις τοῦτο διαπράξαιτο, ἢ παυσάσθω, ἢ καθαιρείσθω· καὶ δεινὸν μὲν ἂν εἴη, τὸ προΐστασθαι τούτου, καὶ δι' ἑαυτοῦ τοὺς εἰσιόντας ὑποδέχεσθαι· εἰ δέ τις κληρικὸς, τοιοῦτον ἐργαστήριον ἔχων, ἑτέρῳ δοίη μισθοῦ, τοῖς τοῦ κανόνος δεσμοῖς οὐχ ὑπόκειται· τοῦτο γὰρ ἔσθ' ὅτε καὶ παρὰ μοναστηρίοις καὶ Ἐκκλησίαις συμβαῖνον ἴδοι τις ἄν.

Λαοδικείας κδ'.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ κδ'. πρεσβυτέρους, διακόνους, ὑπηρέτας, ἀναγνώστας, ψάλτας, ἐφορκιστὰς, θυρωροὺς, καὶ τοὺς ὅσοι τοῦ τῶν ἀσκητῶν τάγματος, εἰς καπηλεῖον εἰσιέναι τῶν ἀθέσμων ἡγεῖται, καὶ κομιδῇ βλαβερόν.

Νόμοι.

Ἡ δὲ ργ'. Ἰουστινιάνειος νεαρὰ, τὸν ἀναστρεφόμενον ἐν καπηλείῳ μοναχὸν, σωφρονίζεσθαι κελεύει παρὰ τοῦ ἐπάρχου, καὶ ἐξωθεῖσθαι τοῦ μοναστηρίου παρὰ τοῦ ἡγουμένου, ὡς τὸν ἐν αἰσχύνῃ βίον τῆς ἀγγελικῆς καταστάσεως ἀλλαξάμενον.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ καρποφορίας τῆς εἰς τοὺς θείους ναούς.

Ἀποστόλων γ', δ'.

Ὁ γ'. τῶν ἁγίων Ἀποστόλων κανὼν, ἔτι δὲ καὶ ὁ δ'. ἐπὶ τῇ ἀναιμάκτῳ θυσίᾳ οἴνῳ μόνῳ καὶ ἄρτῳ κεχρῆσθαι κελεύει, καὶ

τοὺς εἰς τοὺς ναοὺς καρποφοροῦντας ταῦτα μόνον εἰσφέρειν, ἔτι δὲ καὶ ἔλαιον, ὥστε φῶς δι' αὐτοῦ τῷ ἀληθινῷ φωτὶ ἀναπέμπεσθαι, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς· μήτε δὲ μέλι, μήτε γάλα, μὴ ἀντὶ οἴνου τὰ ἐξ ἐπίτηδες σκευαζόμενα σίκερα, ἃ καὶ μέθην ὥσπερ οἶνος ἐμποιεῖν πέφυκε· μὴ ὄρνεις, ἢ ἕτερα ζῶα, ἢ ὄσπρια· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα κληρικὸν, εὐθὺς καθαιρεῖ. Τὰ μέν τοι, ὡς ἀπαρχὰς τῶν ὡρίων καρπῶν, ἔν γε τῷ δέοντι καιρῷ εἰσφερόμενα, πεπείρους, φημὶ, βότρυς, καὶ νέα χίδρα, τὰ πρὸς βρῶσιν ἐπιτήδεια δηλαδὴ τῶν ὀσπρίων, καὶ τὴν ἄλλην ἅπασαν ὀπώραν, ἐπ' οἴκου πέμπειν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις· εἰς δέ γε τὸ θυσιαστήριον μηδ' ὁτιοῦν τούτων εἰσάγειν· κἀκείνους ταῦτα δεχομένους, μὴ εἰς οἰκείαν μόνην ἔχειν ἀπόλαυσιν, ἀλλὰ καὶ τῷ κλήρῳ διανέμειν παντί.

Συνόδου ἕκτης κή.

Ὁ δὲ κή. τῆς ς'. Συνόδου καθαιρεῖ τοὺς εἰς τὸ θυσιαστήριον σταφυλὰς δεχομένους κληρικοὺς, καὶ τῇ ἀναιμάκτῳ θυσίᾳ τῆς προσφορᾶς συνάπτοντας, καὶ οὕτως ἡνωμένως ἀμφότερα διανέμοντας τῷ λαῷ· ἀλλὰ τὴν μὲν εἰς ἄφεσιν ἁμαρτιῶν τελουμένην ζωοποιὸν προσφορὰν ἰδίᾳ τῷ λαῷ μεταδιδόναι κελεύει· ἰδίᾳ δὲ τὰς σταφυλὰς μετ' εὐλογίας, ὡς ἀπαρχὰς, διανέμειν, πρὸς τὸ χάριν εἰδέναι τοὺς μεταλαμβάνοντας τῷ δοτῆρι τῶν ἐτησίων καρπῶν, δι' ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον τρέφεταί τε καὶ αὔξει· ὁ δὲ παρὰ τὰ διατεταγμένα ποιῶν κληρικὸς καθαιρεῖται.

Γάγγρας ζ'.

Ὁ δὲ ζ'. τῆς ἐν Γάγγρᾳ Συνόδου, ἔτι καὶ ὁ ἡ, Τὸν ἀφ' ἑαυτοῦ διδόντα ἢ λαμβάνοντα τὰς τῇ Ἐκκλησίᾳ προσαγομένας καρποφορίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ οἰκονόμου, ἅτε περὶ ἐλαχίστου τούτους τιθέμενον, τῷ ἀναθέματι ἀνατίθησιν.

Καρθαγένης λζ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ λζ'. μηδὲν πλέον ἄρτου καὶ οἴνου κελεύει προσφέρεσθαι εἰς τὰ ἅγια· τὸν μὲν ἄρτον, εἰς τύπον τοῦ σώματος τοῦ Κυρίου, τὸν δὲ οἶνον, τοῦ αἵματος· οὕτω γὰρ ὁ

Κύριος τοῖς οἰκείοις διδοὺς μαθηταῖς, ἔφη· Τοῦτό ἐστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον αὖθις· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου 1). Ἐπεὶ δὲ οὐχ αἷμα μόνον ἀλλὰ καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Κυρίου ἐρρύη, νυγείσης ἐν τῷ σταυρῷ τῇ λόγχῃ, ἀναγκαίως τῇ Ἐκκλησίᾳ νενόμισται, ἐν τοῖς ἱεροῖς μυστηρίοις ὕδωρ τῷ οἴνῳ παρακιρνᾶν· τὸ δὲ μέλι καὶ γάλα εἰς τὸ μυστήριον τῶν νηπίων προσφέρεσθαι, παρὰ τῆς ς'. Συνόδου κεκώλυται· φησὶ γὰρ ὁ νζ'. ταύτης κανών· Ἐν τοῖς θυσιαστηρίοις οὐ χρὴ γάλα καὶ μέλι προσφέρεσθαι.

Περὶ ὑδροπαραστατῶν καὶ Ἀρμενίων.

Συνόδου ἕκτης λϐ'.

Ἀλλὰ καὶ ὁ λϐ'. ταύτης δὴ τῆς ς'. Συνόδου, δύο διαγράφων αἱρέσεις, ἐκ διαμέτρου μὲν ἰσαμένας, ἐπίσης δὲ νοσούσας τὸ ἄθεσμον, τῶν τε ὕδατι μόνον εἰς τὴν τοῦ ἁγίου ποτηρίου χρωμένων ἱερουργίαν, οἳ δὴ καὶ ὑδροπαραστάται προσηγορεύθησαν ἐκ τῆς πράξεως, καὶ τῶν δι' οἴνου μόνου τὴν ἱερουργίαν αὖθις ποιουμένων Ἀρμενίων· διὰ δὴ ταῦτα, ὕδωρ οἴνῳ μιγνύναι κελεύει, καὶ οὕτω τὴν ἀναίμακτον προσάγειν θυσίαν· καὶ ἡ μὲν, παλαιά τις ἦν· ἡ δὲ τῶν Ἀρμενίων, ἐκ τῶν τοῦ θείου Χρυσοστόμου ῥημάτων ἔσχε τὰς ἀφορμάς 2). Ὁ γὰρ μέγας οὗτος Πατὴρ, τὴν ῥηθεῖσαν τῶν ὑδροπαραστατῶν αἵρεσιν ἀνατρέπων, φησὶν ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἐξηγήσει, τὸ ῥητὸν ἀξίως τοῦ ἐν αὐτῷ πνεύματος ἀναπτύσσων, τὸ λέγον, Οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου 3)· τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστὰς, ἀλλ' οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόῤῥιζον προαναστῶν. Ἐπειδὴ γὰρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι μόνῳ κεχρημένοι, δεικνὺς, ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, οἶνον παρέδωκε, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐκέχρητο, ἐκ τοῦ γεννήματός, φησι, τῆς ἀμπέλου· ἄμπελος δὲ οὐχ ὕδωρ, ἀλλ' οἶνον γεννᾷ· τοῦτο πλάνον ἐνῆκε τοῖς Ἀρμενίοις, οἰηθεῖσι τὸν μέγαν ἀθετεῖν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυ-

1) Ματθ. Κς', 26, 28. — Μάρκ. ΙΔ', 22, 24. Λουκ. ΚΒ', 19, 20. — 2) τὰς ἀμειβὰς εἶτ' οὖν ἀφορμὰς Β. — 3) Ματθ. Κς, 29. Μάρκ ΙΔ', 25. Λουκ. ΚΒ', 18.

σίᾳ προσαγωγήν. Ταύταις οὖν ἀπομαχόμενος ὁ κανὼν ταῖς αἱρέσεσιν, Ὁ τοῦ Κυρίου, φησὶν, ἀδελφὸς, ὁ μέγας Ἰάκωβος, ὁ τῆς τῶν Ἱεροσολύμων Ἐκκλησίας πρῶτος τὸν θρόνον κοσμήσας, καὶ ὁ τῆς Καισαρέων ἀρχιεπίσκοπος μέγας Βασίλειος, οὗ τὸ κλέος πᾶσαν ἐπέδραμε τὴν ὑφήλιον, πρὸς δὲ, τὸ χρυσοῦν στόμα τῆς Ἐκκλησίας, ἐγγράφως τὴν μυστικὴν ἡμῖν παραδεδωκότες ἱερουργίαν, ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν ποτήριον τελειοῦν ἐκδεδώκασι, καὶ ταῖς κατ' αὐτοὺς Ἐκκλησίαις, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθησαν ἡγεμονίαν, οἷά τινα κλῆρον ἄνωθεν ἡγμένον κατέλιπον. Μέμνηται δὲ καὶ τοῦ προρρηθέντος λζ΄. τῆς ἐν Καρθαγένῃ κανόνος. Ὁ τοίνυν μὴ οὕτω ποιῶν, ἀλλ' ὡς ἀτελὲς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινοτομῶν τὰ παραδεδομένα, τὴν ἱερωσύνην περιδυέσθω, φησί.

Περὶ τοῦ ζέοντος ὕδατος τοῦ τοῖς θείοις μυστηρίοις ἐμβαλλομένου.

Οὐ δεῖ δὲ τοὺς Λατίνους ἡμᾶς αἰτιᾶσθαι, εἰ πρὸς τῷ τέλει τῆς ἱερουργίας ζέον ὕδωρ τῷ ποτηρίῳ ἐγχέομεν· οὐ γὰρ μεταβάλλει τοῦτο τὴν δι' οἴνου καὶ ὕδατος τοῦ ποτηρίου ἕνωσιν, ἐπεὶ μή ἐστιν ἕτερόν τι τὴν φύσιν τοῦ πρὶν ἐμβληθέντος ὕδατος· πιστοῦται δὲ μόνον τὸ τοῦ θαύματος μέγεθος, τῷ καὶ τῇ γεύσει πείθειν ἡμᾶς, μὴ ἐκ νεκροῦ ἀλλ' ἐκ ζῶντος σώματος τὸ αἷμα καὶ τὸ ὕδωρ ῥυῆναι· ἐκ νεκροῦ γὰρ ἀτμίζον αἷμα οὐ πέφυκε καταῤῥεῖν· ἐκ δὲ τοῦ Κυριακοῦ σώματος, ὡς ζῶντος καὶ ζωοποιοῦ, τὰ ζωοποιὰ ἐῤῥύη, τὸ αἷμα, φημὶ, καὶ τὸ ὕδωρ· οὐκ εἰσάγεται δὲ τὸ ζέον κατὰ τὴν ἀρχὴν τῆς ἑνώσεως, ἵνα μὴ ψυχρὸν αὖθις ἐν τῷ καιρῷ τῆς μεταλήψεως γεγονὸς εἰς τὸν πρότερον ἐπανέλθῃ λόγον. Οἱ δὲ Ἴβηρες, καίπερ ὀρθοδοξίας ἄκρως μεταποιούμενοι, ζέον τῷ ἁγίῳ οὐκ ἐμβάλλουσι ποτηρίῳ, τῷ ἐν ἔθει, ὥς φασι, γεγονέναι, μὴ οἴνου πίνειν μετὰ θερμοῦ ὕδατος· ἀλλὰ τὴν τοῦ μυστηρίου διδαχθέντες δύναμιν, τοῦτο καὶ αὐτοὶ ποιεῖν ἐπετράπησαν.

Ὁ δὲ ϟθ΄. τῆς ς΄. Συνόδου ἀνατρέπει καὶ ἕτερόν τι τῶν ἀθεμίτων ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ γινόμενον· μέλη γὰρ τοῦ θυομένου ἔψοντες ζώου ἔνδον τοῦ θυσιαστηρίου, ἐκ τούτων ἀφαι-

ρέματα τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ἀπένεμον, τούτοις ἀφωρισμένα καὶ ἀποτεταγμένα, κεφαλὴν τυχὸν, ἢ ἄλλο τι μέρος ἀφαιρεῦν ἐκ τοῦ σώματος, ἅ ποτε τοῖς Ἰουδαίοις λόγον εἶχον ἀναγωγῆς· τοῦτο γοῦν ἀπαγορεύει, ἐφίησι δὲ προσάγειν αὐτοῖς οἷα καὶ ὅσα οἱ προσάγοντες βούλονται, ἔξω τῆς Ἐκκλησίας, συγκαταβάσει χρώμενος, διὰ τὴν κρατήσασαν παρ' ἐκείνοις συνήθειαν· τὸν δὲ ἔτι τοῦτο ποιοῦντα, ἀφορίζεσθαι παρεγγύησε.

Περὶ τῆς λοχείας τῆς ὑπεραγίας Θεοτόκου.

Συνόδου ἕκτης οθ'.

Ὁ δὲ οθ'. ἀπαγορεύων τὸ σεμίδαλιν ἔψειν, καὶ ἀλλήλοις μεταδιδόναι τῇ ἐπιούσῃ μετὰ τὴν ἑορτὴν τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως, εἰς τιμὴν δῆθεν τῆς λοχείας τῆς ἀχράντου Παρθενομήτορος, ὡς καὶ ἐπὶ τῶν λοχευομένων ἔθος γίνεσθαι γυναικῶν, κληρικῶν μὲν τοῦτο ποιούντων, καθαιρέσει, λαϊκῶν δὲ, ἀφορισμῷ καθικνεῖται, ἀλόχευτον εἶναι λέγων τὸν τόκον τῆς ἁγίας Παρθένου, ἅτε καὶ ἄσπορον τὴν σύστασιν ἐσχηκότα· λοχεία δέ ἐστιν ἡ μετ' ὠδίνων τοῦ βρέφους ἀπότεξις, καὶ ἡ τῶν αἱμάτων ἀκόλουθος ῥύσις, ὧν ἥκιστα πειραθῆναι τὴν Θεοτόκον νομίζομεν, μᾶλλον δὲ βεβαίως πιστεύομεν· ταῦτα γὰρ ταῖς φυσικῶς συλλαβούσαις παρομαρτεῖ· τῇ δὲ Παρθένῳ, ἐπεί περ ἐκ Πνεύματος ἁγίου καὶ ὑπὲρ φύσιν ἡ σύλληψις ἦν, καὶ ὁ τόκος δήπου τῶν φυσικῶν ἰδιωμάτων ὑπέρτερος· ὕβρις τοίνυν τῇ Θεοτόκῳ, καὶ οὐ τιμὴ, τὸ γίνεσθαί τι ἐπὶ τῷ ἀνεκφράστῳ τόκῳ, ὡς καὶ ἐπὶ τῶν ἄλλων τικτουσῶν εἴωθε γυναικῶν.

Θεοφίλου η'.

Ὁ δὲ τοῦ Θεοφίλου Ἀλεξανδρείας η', Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὸ ἀνηλῶσθαι ὅσα νόμος εἰς τὴν τῶν μυστηρίων χρείαν, τοὺς κληρικοὺς ἐπισκήπτει διανειμαμένους ἐσθίειν ταῦτα καὶ πίνειν· κοινωνεῖν δὲ τούτων καὶ τοῖς πιστοῖς ἀδελφοῖς, τῶν κατηχουμένων δὲ μηδενί.

Ζήτει νόμον ἐν τῷ ιή. Κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ κατηγορίας ἐπισκόπων καὶ κληρικῶν, καὶ τίνες εἰς κατηγορίαν δεκτέοι, καὶ τίνες ἄδεκτοι.

Ζήτει ἐν τῷ θ'. Κεφαλαίῳ τοῦ Δ στοιχείου, περὶ τῶν ἐν τοῖς δικαστηρίοις μαρτύρων.

Νόμος.

Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ, καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται· ἀδελφὸς δὲ κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν οὐ δύναται, ἐπείτοι γε καὶ οὐκ εἰσακουσθήσεται, καὶ ἐξορίᾳ ὑποβληθήσεται 1).

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ κατηχουμένων.

Ζήτει ἐν τῷ ά. Κεφαλαίῳ τοῦ Α στοιχείου.

Νεοκαισαρείας έ.

Ὁ δὲ έ. τῆς ἐν Νεοκαισαρείᾳ, Τῶν τελεωτέρων τις κατηχουμένων ἁμαρτὼν, φησὶ, καὶ πεπαυμένος τοῦ ἁμαρτάνειν, μετὰ τῶν ἀκροωμένων στήτω· εἰ δὲ τῶν ἀκροωμένων εἴη, καὶ τῆς ἁμαρτίας οὐκ ἀφίσταται, εἰς τὴν τῶν προσκλαιόντων χώραν ἀπὸ τῆς Ἐκκλησίας ἐξωθείσθω. Εἰς δύο γὰρ τάξεις οἱ κατηχούμενοι πάλαι διῄρηντο, εἵς τε τοὺς ἤδη τελεώτερον τὴν πίστιν εἰσδεξαμένους, ὑπερτεθειμένους δὲ τὸ βάπτισμα, οἳ καὶ μέχρι τῆς τῶν κατηχουμένων εὐχῆς ἐν τῷ Κυριακῷ παρέμενον, καὶ ταύτης μυστικῶς λεγομένης, τὸ γόνυ ἔκλινον, ἐκφωνηθέντος δὲ τοῦ, Ὅσοι κατηχούμενοι προέλθετε, ἐξῄρχοντο· εἵς τε τοὺς ἄρτι προσελθόντας, οἳ καὶ ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν θείων Εὐαγγελίων ἐξίασι. Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Β στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου κ'. Θεοφίλου δ'. Κυρίλλου δ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Τίνας δεῖ κληρονομεῖν τὰ ἴδια τοῦ ἐπισκόπου.

Ζήτει τὸ δ'. Κεφάλαιον τοῦ Α στοιχείου.

1) Πρ. Ν. Λθ', μζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ κληρονομίας, καὶ ἀποκλήρων υἱῶν ἢ γονέων.

Νόμοι.

Οἱ κατιόντες, κἂν ἄῤῥενες, κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου 1).

Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου παιδὸς, οἱ ἔγγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου πατρὸς, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσι τὰ τοῦ πάππου, λαμβάνοντες εἴ τι ἔμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες, κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοι, εἴτε αὐτεξούσιοι 2).

Κατιόντων μὴ ὑπόντων, προσκαλοῦνται οἱ ἀνιόντες, προτιμώμενοι τῶν ἐκ πλαγίου πάντων, χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν καὶ ἀδελφοπαίδων· τῶν δὲ ἀνιόντων ὁ ἐγγύτερος τῷ βαθμῷ προτιμᾶται· ὡσαύτως καὶ ἐπὶ τῶν ἐκ πλαγίου· εἰ δὲ τοῦ αὐτοῦ βαθμοῦ εἰσι πάντες, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν 3).

Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι, καὶ ἀδελφῶν γνησίων, καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχὴν, κἂν θήλειαι, κἂν ἄῤῥενες ὦσιν· οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον, καὶ λαμβάνουσιν εἴ τι ἔμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ αὐτῶν 4).

Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφόν· ἀλλὰ δὴ καὶ οἱ παῖδες τοῦ ἀποθανόντος ἀδελφοῦ, οὐ μόνον ὁμομητρίου καὶ ὁμοπατρίου, ἀλλὰ καὶ ἀμφιθαλοῦς· εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ, ἢ παῖδες ἀδελφῶν τοιούτων, τότε οἱ ἐκ διαφόρων γονέων φύντες ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν 5).

Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι, καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ

---

1) Πρ. Ν. Α΄. δ΄. — 2) αὐτόθι δ΄. — 3) αὐτόθι ε. — 4) αὐτόθι ζ΄. — 5) αὐτόθι η.

τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν ἐκείνου κληρονομίαν 1).

Ἡ μήτηρ συγκληρονομεῖ τοῖς ἰδίοις τέκνοις, τῶν τελευτησάντων αὐτῆς μὲν παίδων, ἐκείνων δὲ ἀδελφῶν, ἑνὸς ἀδελφοῦ μέρος λαμβάνουσα 2).

Ὅτι δεῖ τὸν μὴ δευτερογαμήσαντα ἄνδρα λαμβάνειν ἐκ τῆς προικὸς, παιδὸς ἑνὸς μοῖραν κατὰ δεσποτείαν 3).

Ἀδελφοῦ μὴ ὑπόντος ἢ ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοι γε ὄντες ἐγγύτεροι· καὶ εἰ εὑρεθεῖεν πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ, ἐξίσης κληρονομοῦσιν 4).

Οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ κληρονομοῦσιν ὑπόντων φυσικῶν, ἢ γαμετῆς, ἢ ἄλλων διαδόχων αὐτῶν 5).

Νόθος παῖς γενόμενος γνήσιος, μόνου τοῦ πατρὸς αὐτοῦ γίνεται γνήσιος, οὐκέτι δὲ καὶ τῶν κατιόντων, ἢ τῶν ἀνιόντων, ἢ τῶν ἐκ πλαγίου συγγενῶν τοῦ πατρὸς, οὐδὲ κληρονομεῖ αὐτοὺς, οὐδὲ κληρονομεῖται ἐξ αὐτῶν χωρὶς διαθήκης 6).

Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ, καὶ μὴ ἔχειν μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔρρωται τὸ σύμφωνον τοῦτο, οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον αὐτὸν τελευτῶντα ἡ θυγάτηρ, τὴν προῖκα τοῖς ὑπεξουσίοις μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρουσα· ἀλλὰ καὶ τὴν πρὸ γάμου δωρεὰν, ὥσπερ τὴν προῖκα, δεῖ συνεισφέρεσθαι, ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ ἐστὶν, εἴτε πατὴρ, ἢ τις τῶν ἀνιόντων, ἢ πρὸς πατρὸς, ἢ πρὸς μητρός 7).

Ἡνίκα τελευτήσειεν ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων, ἢ τῶν κατιόντων, ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν σχοίησαν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου κληρονομίαν, καὶ ἡ γυνὴ διαδεχέσθω τὸν ἄνδρα 8).

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν

---

1) Πρ. Ν. Α. θ'.—2) 3) Πρ. Ν. ς', ά. — 4) αὐτ. ί.—5) Σύνοψ. ΑΒ'. 6'.— 6) Ἀρμ. Ε'. ή. 67. — 7) Πρ. Ν. Λ', ιά, ιβ'. — 8) αὐτ. ιθ'.

αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστιν 1).

Ζήτει καὶ ἐν τῷ ιζ'. Κεφ. τοῦ Π στοιχείου· ζήτει καὶ τὸ έ. Κεφ. τοῦ Υ στοιχείου.

Ψήφισμα νεαρόν.

Τὸ δὲ ψήφισμα τοῦ ἁγιωτάτου πατριάρχου Ἀθανασίου, καὶ τῆς ὑπ' αὐτὸν Συνόδου, ὃ γέγονεν ὁρισμῷ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, Κελεύομεν, φησὶ, τοὺς ἀτέκνους χηρεύοντας ἄνδρας τε καὶ γυναῖκας, μὴ ἁρπαγὴν ὑπέχειν τῶν ὑπαρχόντων, μήτε παρὰ τῶν τὰ δημόσια διενεργούντων, μήτε τῶν εἰς παροικίαν τούτους ἐχόντων, ἀλλὰ τὸ τρίτον τῆς οὐσίας ἐκείνων, τὴν δεσποτείαν ἀπολαμβάνειν, τὸ τρίτον εἰς μνημόσυνα τοῦ ἀπελθόντος ἀναλίσκεσθαι, καὶ τὸ ζῶν μέρος ἀπολαμβάνειν τὸ ἕτερον· εἰ δὲ καὶ τὸ ἐπιζῆσαν ἀπέλθοι μέρος, τοὺς τούτῳ προσήκοντας, τὸ ἀπὸ νόμου κληρονομεῖν· ἂν δὲ μηδεὶς συγγενὴς προσῇ τῷ ἀποιχομένῳ, τῷ δημοσίῳ εἶναι τὸ ἥμισυ, καὶ τοῖς ἐκείνου μνημοσύνοις τὸ ἥμισυ 2).

Ἀκυρωθῆναι δὲ καὶ τὸν νόμον κελεύομεν, ὃς διορίζεται, τοὺς ἐπὶ τέκνῳ χηρεύσαντας ἄνδρας τε καὶ γυναῖκας, εἶτα καὶ τοῦ τέκνου κατὰ πόδας ἀποιχομένου, κληρονομεῖν τὸ ζῶν μέρος, τὰ τοῦ παιδὸς πατρῷα πάντα ἢ μητρικά· τοὺς δὲ τοῦ τεθνεῶτος γονεῖς, πρὸς τῇ τοῦ τέκνου ἀποβολῇ, ἀδικώτατα καὶ τῆς περιουσίας στερίσκεσθαι· ἀλλὰ τηρεῖσθαι μὲν τὸ τρίτον τῆς προικὸς εἰς μνημόσυνα τοῦ ἀποιχομένου, τὸ δὲ τρίτον τοῖς γονεῦσι, καὶ τὸ τρίτον τῷ καταλειφθέντι μέρει 3).

Ἐὰν μέρος οὐσίας ληγατευθῇ, ἐπιλογὴν ὁ κληρονόμος ἔχει, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι, ἢ τὴν αὐτῶν ἀποτίμησιν· τῶν μέντοι ἀδιαιρέτων καὶ δυσδιαιρέτων πάντων, τὴν ἀποτίμησιν δίδωσιν.

Ἔτι περὶ ἀποκλήρων υἱῶν.

Διὰ τὰς ὑποτεταγμένας αἰτίας τὸν υἱὸν ἀπόκληρον εἶναι τῆς πατρικῆς οὐσίας θεσπίζομεν 4)·

---

1) Ἐπαναγ. ΑΔ', κγ'. — 2) Σύντ. Τόμ. Ε'. σελ. 122. — 3) αὐτ. σελ. 124. — 4) Πρ. Ν. ΛΓ'. ά. καὶ ἐπ. — Ν. Ἰουστ. ριέ. κεφ. γ'.

α'. Εἰ τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι·

β'. Εἰ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπαγάγοι·

γ'. Εἰ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσειε, ταῖς μὴ οὔσαις κατὰ βασιλέως, ἢ πολιτείας·

δ'. Εἰ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφοιτο·

ε'. Εἰ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας, ἢ ἄλλῳ οἱῳδήτινι τρόπῳ, ἐπιβουλεῦσαι πειραθείη·

ς'. Εἰ τῇ ἰδίᾳ μητρυιᾷ, ἢ τῇ τοῦ πατρὸς παλλακῇ μιχθείη·

ζ'. Εἰ συκοφάντης κατὰ τῶν γονέων γένοιτο, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσειεν·

η'. Εἰ ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων, ἢ ἐν γήρᾳ καὶ ἀδυναμίᾳ καταντησάντων, ἀμελήσειε τῆς τούτων φροντίδος· καὶ μετακαλούμενος παρὰ τῶν γονέων, μὰ βουληθείη ἐπιμελείας αὐτοὺς ἀξιῶσαι·

θ'. Εἰ μὴ βουληθεῖεν οἱ ἄῤῥενες τῶν παίδων, τοὺς γονεῖς ἐγγυήσασθαι, εἰς ὅσον εὐποροῦσιν, ὑπὲρ χρέους ἐγκαλουμένους·

ι'. Εἰ ἐλεγχθείη τις τῶν παίδων, κωλύσας τοὺς γονεῖς διαθήκας γράψαι, ὥστε εἰ μετὰ ταῦτα τοῦτο πρᾶξαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι τὸν τοιοῦτον παῖδα ποιεῖν ἀπόκληρον·

ια'. Εἰ παρὰ γνώμην τῶν γονέων μίμοις ἑαυτὸν ἐγκαταλέξοι, καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνῃ·

ιβ'. Εἴ τινα τῶν γονέων μανέντα, οἱ παῖδες, ἢ οἱ ἐξ ἀδιαθέτου κληρονομεῖν αὐτὸν δικαιούμενοι, μὴ βουληθεῖεν ἐπιμελείας αὐτὸν ἀξιῶσαι· ἀπαλλαγέντι γὰρ τῆς μανίας ἔξεστι ποιεῖν αὐτοὺς ἀποκλήρους· εἰ δὲ ἐν τῇ νόσῳ μέχρι θανάτου κατεχομένου, ἀλλότριός τις συμπαθήσας, ἰδίοις ἀναλώμασιν ἐπιμεληθείη, καὶ διὰ γραμμάτων τοὺς κληρονόμους καλῶν, μὴ βουληθεῖεν ἀπαντῆσαι, καὶ πρὸς τὴν τοῦ μανέντος ἐπιμέλειαν διεγερθῆναι, ἄδειαν ἕξει ὁ ὑποδεξάμενος καὶ εἰς τέλος φροντίσας, εἰς τὴν αὐτοῦ κληρονομίαν εἰσελθεῖν, ἀνατρεπομένης τῆς ἐκείνων διαδοχῆς·

ιγ'. Εἴ τινα τῶν γονέων δορυάλωτον γεγόνότα μὴ σπουδάσαιεν οἱ παῖδες εἰς τὴν ἐκείνου ἀνάῤῥυσιν· ἐπανασωθέντι γὰρ ἐκ τῆς αἰχμαλωσίας, ἔξεστιν ἀχαριστίας αὐτοὺς γράψασθαι,

καὶ ἀποκλήρους ποιῆσαι· εἰ δὲ καὶ ἀποθανεῖν ἐν τῇ αἰχμαλωσίᾳ συμβαίη τῇ ἀμελείᾳ τῶν παίδων, ἢ τῶν ἐξ ἀδιαθέτου εἰς τὴν αὐτοῦ καλουμένων κληρονομίαν, τούτους ἅπαντας εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, ἀλλὰ τὰ ἐκείνου πράγματα τῇ Ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὁρμᾶται, προσανατίθεσθαι, καὶ μὴ ἐν ἄλλαις αἰτίαις, ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι παρ' αὐτῆς δαπανᾶσθαι. Εἰ δὲ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκην ἐκθέμενος, ἔγραψεν αὐτοὺς κληρονόμους, ἀκυροῦμεν εἰσάπαν τὴν τοιαύτην διαθήκην· ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν ιή. τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν·

ιδ'. Εἰ ὀρθόδοξοι ὄντες οἱ γονεῖς, τινὰ τῶν παίδων αἴσθοιντο αἱρετικοῖς προσανέχοντα δόγμασιν. Εἰ δ' αὖθις ἐπὶ τὴν καθολικὴν Ἐκκλησίαν σωφρονήσας ὁ παῖς ἐπανήξει, ἀπολαμβάνειν μὲν τὸν ἴδιον κλῆρον, τοὺς δὲ καρποὺς τοῦ μέσου χρόνου μὴ ἐπιζητεῖν·

Ἂν τοίνυν μίαν τῶν εἰρημένων αἰτιῶν κατά τινος τῶν παίδων οἱ γονεῖς ταῖς ἰδίαις ἐγγράψωσι διαθήκαις, καὶ οἱ γραφέντες κληρονόμοι ἀληθῆ εἶναι ταύτην ἀποδείξωσι, τὴν διαθήκην, τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα.

Περὶ ἀποκλήρων γονέων.

Θεσπίζομεν αὖθις μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους ἐν ταῖς αὐτῶν διαθήκαις ποιεῖν, ἂν μὴ τὰς ὑπαριθμουμένας αἰτίας ἐν αὐταῖς καταγράψωσιν 1)·

ά. Εἰ οἱ γονεῖς τὸν ἴδιον παῖδα εἰς ἀναίρεσιν δοῖεν, δίχα τῆς εἰς καθοσίωσιν ἀναφερομένης αἰτίας·

β'. Εἰ φαρμακείαις, ἢ γοητείαις, ἢ ἄλλῳ τινὶ τρόπῳ τῷ υἱῷ ἀποδειχθεῖεν ἐπιβουλεύσαντες·

γ'. Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ, ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη·

δ'. ἑ. ς'. ζ'. Ὡσαύτως καὶ ἐπὶ τῇ κωλύσει τῆς διαθήκης, ἀλλὰ δὴ καὶ ἐπὶ τῆς μανίας, καὶ αἰχμαλωσίας, καὶ κακοδοξίας, τὰ

1) Πρ. Ν. ΑΓ'. ιθ' καὶ ἑπ. — Νεαρ. ριέ, κεφ. δ'.

πάντα καὶ ἐνταῦθα παραφυλαχθήσεται, ὥς γε δὴ καὶ ἐπὶ τῶν ἀποκλήρων υἱῶν ἐθεσπίσαμεν. Ἀλλὰ καὶ ὁ συγγενῆ κεκτημένος κωφὸν, ἢ ἄλαλον, ἢ ἄφρονα, ἢ μαινόμενον, εἰ μὴ προμηθούμενος ἐκδικεῖ τὰ αὐτῶν πράγματα, οὐ δύναται αὐτοὺς κληρονομεῖν. Τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ὅτι κληροῦσθαι δεῖ καὶ τοὺς μὴ καταγομένους ἐκ γένους ἱερατικοῦ, εἰ ἄξιοι εἶεν.

Συνόδου ἕκτης λγ΄.

Ὁ λγ΄. τῆς ς΄. Συνόδου κανὼν, ἐπὶ μὲν τῶν Ἰουδαίων, ἡ Λευϊτικὴ, φησὶ, μόνη φυλὴ τὴν ἱερωσύνην ἐκληρώσατο, ἐξ ἧς οἱ ἱεράσθαι μέλλοντες ἐλαμβάνοντο, καὶ κληρικοὶ ὠνομάσθησαν διὰ τὸ γεγράφθαι ἐν τῷ Δευτερονομίῳ, Οὐκ ἔσται τοῖς Λευΐταις κλῆρος ἐν υἱοῖς Ἰσραὴλ, ὁ γὰρ Κύριος μερὶς αὐτῶν καὶ κλῆρος 1)· ἡμῖν δὲ οὐκ εἰς τὸ γένος τοῦ εἰς κλῆρον προχειριεῖσθαι μέλλοντος ἀποβλέπειν προσῆκεν· ἀλλ' εἰ ἄξιος εἴη κατὰ τοὺς ὅρους τῶν θείων κανόνων, εἰς κλῆρον καταλεγέσθω, εἴτε προγόνους ἔσχεν ἱερέας, εἴτε καὶ μή.

Περὶ ἀναγνώστου.

Μηδὲ ἐπ' ἄμβωνός τις τῆς θείας ὑπαναγινωσκέτω βίβλους, εἰ μὴ κουράν μετ' εὐλογίας παρὰ τοῦ ἰδίου δέξαιτο ἐπισκόπου· ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀφοριζέσθω.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς μετατίθεσθαι.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Α στοιχείου κανόνα δ΄. τῆς δ΄. Συνόδου, καὶ ἑτέρους.

1) Δευτερ. ΙΗ΄, 2.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Ὅτι τῶν κληρικῶν τοῖς ἐνδεῶς ἔχουσιν ἐκ τῶν τῆς Ἐκκλησίας δεῖ χορηγεῖν.

Ζήτει τὸ κς΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς ἁρπάζειν τὰ τοῦ τελευτήσαντος ἐπισκόπου πράγματα.

Ζήτει τὸ κζ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Ὅτι οὐ δεῖ κληρικὸν ἕνα ἐν δυσὶν εἶναι πόλεσιν, ἢ ἐν μιᾷ πόλει δύο Ἐκκλησίαις ὑπηρετεῖν.

Ζήτει τὸ κδ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς πράττειν τι ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης.

Ἀποστόλων λθ΄.

Ὁ τῶν ἁγίων Ἀποστόλων λθ΄. κανὼν, πρεσβυτέροις καὶ διακόνοις μὴ ἐξεῖναι κελεύει, δίχα γνώμης τοῦ ἐπισκόπου πράττειν ἅπερ αὐτῷ ἀνεῖται, καὶ μόνῳ τῷ τὴν προστασίαν τοῦ λαοῦ ἐπιτετραμμένῳ, καὶ λόγον ὑπὲρ τῶν ψυχῶν αὐτῶν καὶ εὐθύνας μέλλοντι δώσειν· λέγω δὴ τὸ λύειν καὶ δεσμεῖν τὰ ἡμαρτημένα, καὶ ἢ μειοῦν, ἢ ἐπιτείνειν τὰ ἐπιτίμια.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Ὅτι οὐδὲ οἱ κληρικοὶ ἀπολελυμένως ἐχειροτονοῦντο.

Συνόδου τετάρτης ς΄.

Ὁ ς΄. τῆς δ΄. Συνόδου κανὼν, οὐκ οἴεται δεῖν, ἱερέας, καὶ

διακόνους, καὶ τοὺς λοιποὺς τῶν ἐν κλήρῳ κατειλεγμένων ἀπολελυμένως χειροτονεῖσθαι, ὥσθ' ὅπη βούλονται ἀπιέναι, καὶ ἱερατικόν τι πράττειν, ἀλλ' ἰδικῶς ἐν Ἐκκλησίᾳ πόλεως ἢ κώμης, ἢ ἐν τῷδε τῷ μαρτυρίῳ ἢ τῷ μοναστηρίῳ, ὥσπερ ἄρα καὶ οἱ ἐπίσκοποι εἰς τήνδε τὴν Ἐκκλησίαν ἤδη χειροτονοῦνται· τοῦ δὲ μὴ οὕτω χειροτονηθέντος, ἄκυρον εἶναι τὴν χειροτονίαν· ἀλλὰ ταῦν, τοῦτο καταπεφρόνηται.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Ὅτι τοὺς κληρικοὺς τῶν Ἐκκλησιῶν καὶ μοναστηρίων ὑπὸ τὴν ἐξουσίαν εἶναι δεῖ τοῦ ἐπισκόπου.

Συνόδου τετάρτης ἡ.

Ὁ ὅγδοος κανὼν τῆς δ΄. Συνόδου, τοὺς κληρικοὺς τῶν πτωχείων, καὶ μοναστηρίων, καὶ μαρτυρίων, τοῖς ἐπισκόποις τῶν πόλεων ὑπείκειν κελεύει, πτωχεῖα καλῶν τὰ εἰς πτωχῶν ἀποτεταγμένα πρόνοιαν καὶ διοίκησιν, γηροκομεῖα, φημὶ, καὶ ὀρφανοτροφεῖα· μαρτύρια δὲ, τοὺς εἰς ὄνομα μάρτυρος ἀνεγερθέντας σηκούς· τοὺς δὲ, κατὰ αὐθάδειαν, τοῦ ἐπισκόπου ἀφηνιάζοντας μοναχούς τε καὶ κληρικοὺς, καὶ τοὺς θάρσος τούτοις παρέχοντας λαϊκοὺς, τῆς τῶν πιστῶν κοινωνίας ἀλλοτριοῖ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Ὅτι ὁ κληρικὸς, ἐφ' ᾧ ἂν περιπέσοι ἁμαρτήματι, καθαιρεῖται, οὐ μὴν καὶ ἀφορίζεται.

Ζήτει τὸ ί. Κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Ὅτι τῶν κληρικῶν οἱ πρὸς μείζονα βαθμὸν ἀπιέναι μὴ πειθόμενοι, ἐκπίπτουσι καὶ οὗ νῦν εἰσιν.

Καρθαγένης λά.

Ὁ λά. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, τὸν ἐν οἱῳδήποτε

τῆς Ἐκκλησίας κατειλεγμένον βαθμῷ, καὶ τῷ ἰδίῳ μὴ πειθόμενον ἐπισκόπῳ, εἰς μείζονα προβῆναι παρακαλοῦντι, τὸν μόχθον ἴσως τὸν ἐν αὐτῷ παραιτούμενον, καὶ τοῦ βαθμοῦ ἐκπίπτειν ἀξιοῖ, οὗ ἀποστῆναι οὐκ ἠθέλησεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ κλοπῆς.

Ζήτει ἐν τῷ λϐ΄. Κεφαλαίῳ τοῦ Ε στοιχείου, κανόνα κέ. τῶν ἁγίων Ἀποστόλων.

Βασιλείου ξά.

Ὁ δὲ ξά. τοῦ μεγάλου Βασιλείου κανών, Ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ, φησι, μεταμεληθεὶς δημοσιεύσει τὴν ἁμαρτίαν, ἐνιαυτὸν τῆς τῶν ἁγιασμάτων κοινωνίας κωλυθήσεται μόνης· εἰ δὲ ἐλεγχθείς, εἰς ἔτι δύο· μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος, εἰς ὑπόπτωσιν μόνην καὶ σύστασιν, οὐ μὴν καὶ τοῖς προσκλαίουσιν ἔσται ἢ ἀκροωμένοις.

Γρηγορίου Νύσσης ς΄.

Ὁ δὲ ς΄. τοῦ Νύσσης μεγάλου Γρηγορίου, Ὁ λάθρα, φησὶν, ἀφαιρούμενος τὸ ἀλλότριον, εἰ μὴ ξίφει καθώπλισται, ὡς ἂν οἷός τε ᾖ τὸν ἀνθιστάμενον διαχρήσασθαι, καὶ δι' ἐξαγορεύσεως τὸ πλημμέλημα φανερώσας, δι' ἐλεημοσύνης τὴν νόσον θεραπεύσει· εἰ δὲ μηδὲν πλέον τοῦ σώματος κέκτηται, κόπῳ τὸ πάθος ἐξιάσεται, ἢ φησιν ὁ Ἀπόστολος, Ὁ κλέπτης μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος ταῖς ἰδίαις χερσὶν, ἵνα μεταδῷ τῷ χρείαν ἔχοντι 1).

Γρηγορίου τοῦ Θαυματουργοῦ ιά.

Ὁ δὲ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς, ἐν τῷ ιά. κανόνι, Οἱ πράγματά τινα ἐν τῷ πεδίῳ, φησὶν, εὑρόντες, ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις, ἀλλότρια, πρὸς τῶν ἐχθρῶν ἐρριμμένα, ἂν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν, ὑποπιπτέτωσαν· ἑαυτοὺς δὲ ἐξ-

1) Ἐφεσ. δ΄, 23.

τιπόντες, καὶ τοῖς πιστοῖς συνευχέσθωσαν· πληρωτέον δὲ τὴν ἐντολήν, αἰσχρὸν ἅπαν λῆμμα διωσαμένους, καὶ μήτε μήνυτρα, μήτε μὴν σῶστρα, ἢ οἷς εἰώθασιν ἐπευφημίζειν ἑτέροις ταῦτα ὀνόμασι, τὸ παράπαν εἰσπράττοντας.

Νόμοι.

Οἱ ἐν οἱαδήποτε πόλει κλέπτοντες, ἐλεύθεροι μὲν ὄντες, ἄποροι δὲ, ἅπαξ τοῦτο ποιήσαντες, τυπτέσθωσαν· εἰ δὲ εὔποροι εἶεν, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ διπλῆν τὴν ποσότητα δότωσαν τῷ τὴν κλοπὴν ὑποστάντι· δὶς δὲ ἁλόντες, ἐξοριζέσθωσαν· εἰ δὲ τρὶς φωραθεῖεν τοῦτο τολμήσαντες, χειροκοπείσθωσαν 1).

Τὸ προπετῶς ληφθὲν, ἢ ἀτόπως κλαπὲν, εἰ πραθείη, διεκδικεῖται, μὴ καταβαλλομένου τοῦ δοθέντος ὑπὲρ αὐτοῦ τιμήματος 2).

Ὁ ἀναδιδοὺς τὰ κλαπέντα οὐκ ἀπαιτεῖ ἃ ἔδωκεν ὑπὲρ αὐτοῦ τιμήματα.

Ὁ τὸ ἀλλότριον πρᾶγμα ἐρριμμένον λαμβάνων ἐπὶ τῷ κερδᾶναι, κἂν ἀγνοῇ τίνος ἐστὶν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, εἰ μὴ ἄρα ὁ δεσπότης ἀπρονόητον εἴασεν αὐτό· τότε γὰρ, κἂν ὡς κλέπτων αὐτὸ λάβῃ, οὐχ ὑπόκειται, ἐπειδὴ ἐπαύσατο ὂν τοῦ δεσπότου· κλοπὴ γὰρ οὐ γίνεται μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου· εἰ δὲ καὶ τὸ μὴ ὂν ἀπρονόητον ἐνόμισεν ἀπρονόητον, οὐκ ἔστι κλέπτης· εἰ δὲ ἔλαβεν ἐπὶ τῷ δοῦναι τῷ δεσπότῃ, οὐχ ὑπόκειται τῆς περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρητρα λάβῃ 3).

Ὁ κλέπτων ἐν φωσσάτῳ, εἰ μὲν ὅπλα, τυπτέσθω· εἰ δὲ ἵππον, χειροκοπείσθω 4).

Ὁ τοῦ κλέπτου δούλου κύριος, εἰ μὲν βούλεται ἔχειν τὸν οἰκέτην, τὸ ἀζήμιον ποιείτω τῷ τὴν κλοπὴν ὑποστάντι· μὴ βουλόμενος δὲ, τοῦτον αὐτῷ ἀποδιδότω εἰς τελείαν δεσποτείαν 5).

Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες, ἅπαξ τοῦτο πεποιηκότες, τυπτέσθωσαν· ἐκ δευτέρου δὲ, ἐξοριζέσθωσαν· εἰ δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦτον τολμήσαντες, χειροκοπείσθωσαν,

---

1) Πρ. Ν. ΛΘ', νδ'. — 2) ρϐ'. Βασ. ΙΕ', ά. — 3) μγ'. Βασ. ξ'. ιϐ'. — 4) Πρ. Ν. ΛΘ'. νγ'. — 5) αὐτ. νέ.

τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῷ ἰδίῳ δεσπότῃ ἀποκαθισταμένης 1).

Περὶ λῃστῶν.

Οἱ ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις, ἐν οἷς ἐπλημμέλησαν, ἀνασταυροῦνται, ἵνα διὰ τῆς θέας πτοηθῶσιν οἱ τοῖς τοιούτοις ἐγχειροῦντες, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων 2).

Οἱ δένδρα καὶ μάλιστα ἀμπέλους τέμνοντες, ὡς λῃσταὶ κολάζονται· κἂν πολλοὶ τὸ αὐτὸ τέμωσι δένδρον, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον ἐνέχεται, ἤτοι ἐξ ἀρνήσεως μὲν, τὸ διπλοῦν τοῦ τιμήματος· ἐξ ὁμολογίας δὲ, τὸ ἁπλοῦν 3).

Ὁ ἐν εἰδήσει ὑποδεχόμενος τὸ κλαπὲν πρᾶγμα, καὶ ὁ συνειδὼς τῷ ἁμαρτάνοντι, ἐν ἴσῳ αὐτῷ τιμωροῦνται.

Κλέπτης ἐστὶν ὁ λάθρα καὶ χωρὶς ὅπλων ἁμαρτάνων, ὃς οὔτε μέλους ἐκκοπὴν, οὔτε θάνατον ὑπομένει· ὁ δὲ βίᾳ πλημμελῶν μεθ' ὅπλων, ἢ χωρὶς ὅπλων, ἐν οἱῳδήποτε τόπῳ, τὰς ἀπὸ τῶν νόμων ποινὰς ὑφίσταται. Ζήτει καὶ ἑτέρους νόμους ἐν τῷ ιϐ'. Κεφαλαίῳ τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὅτι οὐ δεῖ κοινωνεῖν τῷ ἀκοινωνήτῳ.

Ἀντιοχείας β'.

Ὁ β'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, Τῆς κοινωνίας τῶν ἀκοινωνήτων ἀποδιίστασθαι παντάπασιν ἡμῖν ἐγκελεύεται, καὶ μήτε ἐν οἴκῳ τούτοις συνεύχεσθαι, μήτε ἐν Ἐκκλησίᾳ, εἰ καὶ ἑτέρας ἐπαρχίας τύχοιεν ὄντες· εἰ γὰρ καὶ τῷ τόπῳ διιστάμεθα, ἀλλά γε τῇ πίστει ἀλλήλων οὐκ ἀφιστάμεθα οἱ ἁπανταχοῦ γῆς Χριστιανοὶ, καὶ μία πάντες καθολικὴ Ἐκκλησία λεγόμεθά τε καὶ ἐσμέν· ὅστις γε μὴν τοῦ ἱερατικοῦ καταλόγου τοῖς ἀκοινωνήτοις ἄλοιη κοινωνῶν, καὶ τοῦτον ἀκοινώνητον εἶναι, ὡς

1) Πρ. Ν. ΑΘ' νς'. — 2) αὐτ. ις'. — 3) 6', καὶ ς'. Βασ. Ξ', ις'.

τὸν τῆς Ἐκκλησίας κανόνα συγχέοντα. Ζήτει καὶ τὸ ιή. Κεφ. τοῦ Α στοιχείου, καὶ ἐν τῷ β΄. Κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνας τῶν ἁγίων Ἀποστόλων μέ. μς΄. καὶ ξδ΄. τῆς ἐν Λαοδικείᾳ λγ΄. καὶ Τιμοθέου Ἀλεξανδρείας θ΄. καὶ ἐν τῷ ιέ. Κεφαλαίῳ τοῦ Π στοιχείου, κανόνα ά. τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τῶν μὴ κοινωνούντων τῆς ἱερᾶς τελουμένης λειτουργίας, ἢ τὴν κοινωνίαν ἐπὶ τρεῖς κυριακὰς ἀναβαλλομένων.

Ἀποστόλων ή, θ΄.

Ὁ ή. καὶ ὁ θ΄. τῶν ἁγίων Ἀποστόλων κανόνες, ἑτοίμους ἀεὶ πάντας βουλόμενοι εἶναι καὶ ἀξίους τῆς τῶν θείων κοινωνίας ἁγιασμάτων 1) ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τῆς ἱερᾶς τῶν θείων μυστηρίων λειτουργίας προσφερομένης, τῶν ἁγιασμάτων τοῖς ἄλλοις μὴ κοινωνήσαντα, τὴν αἰτίαν κελεύουσιν ἀνειπεῖν· καὶ εἰ μὲν εὐπρόσωπος εἴη, συγγνώμης τυγχάνειν, εἰδ' οὖν, ἀφορίζεσθαι· λαβὴν γὰρ σκανδάλου καὶ ὑπονοίας δίδωσι τῷ λαῷ κατὰ τοῦ προσενεγκόντος τὴν ἀναίμακτον θυσίαν ἱερέως, οἷά τι συνειδὼς αὐτῷ κώλυμα πρὸς τὴν ἱερουργίαν· ἀλλὰ καὶ τοὺς εἰσιόντας τοῦ λαοῦ πιστοὺς, καὶ τῶν ἁγίων Γραφῶν ἀκούοντας, καὶ μὴ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ παραμένοντας μεταλήψει, ἀφορίζεσθαι ὡς ἀτάκτους.

Συνῳδὰ τούτῳ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ β΄. διορίζεται, πάντας γὰρ τοὺς εἰσιόντας εἰς τὴν Ἐκκλησίαν, καὶ τῶν ἱερῶν Γραφῶν ἐπαΐοντας, μὴ κοινωνοῦντας δὲ τῆς εὐχῆς ἅμα τῷ λαῷ, ἢ τὴν ἁγίαν μετάληψιν τῆς εὐχαριστίας ἀποστρεφομένους, ἐξ αὐθαδείας ἴσως, ἢ ἀταξίας, ἢ περιφρονήσεως, ἀποβλήτους τῆς Ἐκκλησίας γίνεσθαι ἀξιοῖ, ἕως ἂν καρποὺς μετανοίας δι' ἐξομολογήσεως ἐπιδειξάμενοι συγγνώμης τύχωσι. Φασὶ δέ τινες περὶ τῶν ἱερατικῶν τῶν ἐν τῷ βήματι τηνικαῦτα ἱερουργούντων, τοὺς κανόνας ταῦτα νομοθετεῖν, καὶ μέντοι λαϊκῶν τῶν μὴ περι-

1) καὶ τῶν θείων μυστηρίων κοινωνίας Β.

μενόντων ἄχρις ἂν ἡ μετάληψις πρὸς τῶν ἀξίων γένηται· ἐπαχθὲς γὰρ σφόδρα καὶ βίαιον, ἀναγκάζεσθαι πάντας ἑκάστης μεταλαμβάνειν, ἢ ἀφορίζεσθαι· πῶς γὰρ οἷόν τε τὸν ἐν μέσῳ στρεφόμενον, καὶ τοῖς τοῦ κόσμου πράγμασι μολυνόμενον, καθαρὸν τὸ τῆς ψυχῆς δοχεῖον παρέχειν ἑκάστοτε, πρὸς τὴν τοῦ πνευματικοῦ μύρου ἀποδοχήν; ἀγαπητὸν γὰρ, εἰ πάντα τ' ἄλλα παριδών τις καὶ πόρρω θέμενος, καὶ ἕνα τοῦτον σκοπὸν συσησάμενος, μηδεμιᾷ δ' ἑτέρᾳ κακίστῃ δουλεύσας ἐπιθυμίᾳ, εἶτα δύναιτο, σὺν Θεῷ βοηθῷ, τούτου κατατυχεῖν· ἀλλ' ἔγωγε οἶμαι τοῖς πάλαι πιστοῖς οὐχ ἧττον τοῦ πιστεύειν ὀρθῶς τὸ βιῶναι ὀρθῶς ἐσπουδάζετο· τοιγάρ τοι καὶ πολλὰ τῶν τηνικαῦτα τοῖς κανόσιν ἐκφωνηθέντων, ἑτέρως ἢ τανῦν ἔχοντα φαίνεται· οὕτω δὲ ἡμᾶς τὸ ἠμεληκένον καὶ σκαιὸν τοῦ βίου διέθηκεν, ὡς μηδὲ πιστεύειν εἴ ποτέ τινες εἰς τοῦθ' ἥκον ἀρετῆς τῶν πιστῶν. Ἀμέλει καὶ παρὰ ταύτην, οἶμαι, τὴν ἀπειλὴν τῶν θείων κανόνων, ἡ τοῦ ἀντιδώρου ἐπενοήθη διανομὴ, ὥστε πᾶσαν εἶναι ἀνάγκην καὶ τοῖς μὴ δυναμένοις τῶν ζωοποιῶν μυστηρίων μετέχειν, προσμένειν τὸ τέλος τῆς θείας ἱεροτελεστίας, ὡς ἂν ἐκ χειρὸς τοῦ ἱερέως πρὸς ἁγιασμὸν αὐτὸ λάβοιεν. Ζήτει καὶ ἐν τῷ ζ'. Κεφ. τοῦ Π στοιχείου κανόνα ξς'. τῆς ς'. Συνόδου.

Συνόδου ἕκτης π'.

Ὁ δὲ π'. ταύτης, Τοὺς ἐν τῇ πόλει διάγοντας ἐπισκόπους καὶ πρεσβυτέρους, καὶ εἰς τρεῖς Κυριακὰς ἐν τρισὶν ἑβδομάσι τῆς αὐτῶν Ἐκκλησίας ἀπολειφθέντας βαρείας ἄνευ ἀνάγκης, ἔτι δὲ καὶ τοὺς μὴ συνερχομένους τοῖς πιστοῖς λαϊκοὺς εἰς τὴν Ἐκκλησίαν, καὶ τῶν εὐχῶν μὴ κοινωνοῦντας, ἀλλ' εἰς τρεῖς Κυριακὰς καὶ αὐτοὺς ὑστερίσαντας, ἐκείνους μὲν καθαιρεῖ, τούτους δὲ ἀφορίζει. Ζήτει καὶ ἐν τῷ θ'. Κεφ. τοῦ Α στοιχείου κανόνας τῆς ἐν Σαρδικῇ Συνόδου ιά. καὶ ιϐ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'.

Ὅτι οὐ δεῖ κοινωνίαν διδόναι τοῖς σώμασι τῶν ἤδη τελευτησάντων.

Συνόδου ἕκτης πγ'.

Ὁ πγ'. τῆς ς'. Σύνοδου κανὼν, τοῖς σώμασι τῶν ἤδη τελευτησάντων, τῆς εὐχαριστίας μεταδιδόναι, οὐκ οἴεται δεῖν· γέγραπται γάρ, φησι, Λάβετε, φάγετε· τὰ δὲ νεκρὰ σώματα οὔτε λαβεῖν 1), οὔτε φαγεῖν δύνανται. Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Β στοιχείου κανόνα τῆς ἐν Καρθαγένῃ ιή.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὅτι τὸν κοινωνήσειν μέλλοντα, οὐ δεῖ προσιέναι τῇ ἰδίᾳ γυναικί.

Ζήτει τὸ ιή. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Πότε κοινωνεῖ ὁ ὀνειρασθείς.

Διονυσίου δ'.

Ἐν τῷ δ'. κανόνι, ὁ ἅγιος Διονύσιος Ἀλεξανδρείας, τοῖς ἐν ἀπροαιρέτῳ ῥύσει νυκτὸς γεγονόσι, δικαστὴν ἀδέκαστον τοῦ πράγματος τὸ ἴδιον ἐφίστησι συνειδός· εἰ μὲν γὰρ μὴ προϋποκειμένης ἡστινοσοῦν ἐμπαθείας, αὐτομάτως ἡ τῆς γονῆς συμβέβηκεν ἐκροὴ, τῆς φύσεως αὐτὴν ὡς περίττωμα ἐκκρινάσης, ἀνεμποδίστως ὅ γε τοῦτο παθὼν, φησὶ, τῇ θείᾳ κοινωνίᾳ προσίτω· εἰ δέ τις ἐμπαθὴς λογισμὸς προϋπῆρξε, καὶ οὗτος ἐμφιλοχωρήσας τῇ αὐτοῦ διανοίᾳ, νυκτερινὴν ἐπήνεγκε φαντασίαν, καὶ ταύτῃ ἐπηκολούθησεν ἡ τῆς γονῆς ἐκροὴ, ἢ ἐκ παροινίας καὶ ἀδδηφαγίας τοῦτο συνέβη, ὁ τοιοῦτος οὐ καθαρός ἐστιν, οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος, οὐ γὰρ ἀκάθαρτον τοῦτό γε, ἐπεὶ μηδὲ ἡ σὰρξ, ἧς ἐκεῖνο περίττωμα, ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον,

1) μεταλαβεῖν Β.

ὅπερ ἐμόλυνε τὴν διάνοιαν. Ὁ τοίνυν τῇ συνειδήσει παρὰ τοῦτο διακρινόμενος, παῤῥησίας ἐστέρηται· πῶς οὖν προσελεύσεται τῷ Θεῷ οὕτω διακείμενος; κατὰ γὰρ τὸν μέγαν Παῦλον, Ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται 1).

Ἀθανασίου.

Τὰ αὐτὰ καὶ ὁ μέγας Ἀθανάσιος, πρὸς Ἀμμοῦν τινα ἐπιστέλλων, δι' ἐπιχειρημάτων πλείστων διέξεισι, κατασκευάζων, μηδὲν τῶν ὑπὸ Θεοῦ κτισθέντων ἀκάθαρτον εἶναι τῇ ἑαυτοῦ φύσει· ἔργον δὲ τῶν χειρῶν αὐτοῦ ὁ ἄνθρωπος, ταῖς φυσικαῖς ἐκκρίσεσιν ὑποκείμενος· τῷ γὰρ ζώῳ δέδονται πόροι, ἵνα διὰ τούτων ἕκαστον μέλος ἀποπέμπῃ τὸ περιττόν. Τῆς μὲν οὖν κεφαλῆς αἱ τρίχες περίττωμα, καὶ τὰ διὰ ῥινῶν καὶ στόματος ὑγρά· καὶ γαστρὸς, τὰ διαχωρήματα· τοῦ δὲ ὅλου σώματος, οἱ ἱδρῶτες· τῶν δὲ σπερματικῶν πόρων, τὸ σπέρμα· ταῦτα δὲ ἐκκρινόμενα καὶ κενούμενα 2) λυσιτελεῖ τῷ ζώῳ, κατεχόμενα δὲ, φθείρειν εἴωθε· καὶ τοῖς μὲν εὐγνώμοσιν, οὐδὲν ἀκάθαρτον τῇ ἑαυτοῦ φύσει· τοῖς δὲ μεμιασμένοις, οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς, καὶ ἡ συνείδησις, τῇ ἁμαρτίᾳ δηλαδὴ, καὶ τῷ μὴ λογίζεσθαι περὶ αὐτῶν τὰ πρέποντα· ἴσασι δὲ καὶ ἰατρῶν παῖδες, ὅπως ἡ φύσις ὡς περιττὸν διώκει τὸ σπέρμα· ἁμαρτία δὲ οὐδεμία, κενουμένου τοῦ περιττώματος.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τοῖς ἀσκητικοῖς, ἐρωτηθεὶς, εἰ τολμητέον προσιέναι τῇ κοινωνίᾳ τὸν ὀνειρώξαντα, ἀπεκρίνατο, τὸ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρῖμα· εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι παιδεύσει ἡμᾶς ὁ Ἀπόστολος, εἰπών· Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἐσθίει καὶ πίνει 3)· ἀκαθαρσίαν δὲ ὠνόμασεν ὁ ἅγιος, οὐ τὴν σπερματικὴν ἔκκρισιν, ἣν οὐκ ἄν τις οἶμαι διὰ τέλους ἐκφεύξεται, εἰ μήπου δεινῶς ἠλίθιος εἴη, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν, περὶ ἧς ὁ Κύριος ἔφησεν, Ὁ ἐμβλέψας γυναικὶ, καὶ τὰ ἑξῆς 4)· ἧς ἡγουμένης, ἥ τε κατὰ διάνοιαν ἁμαρτία διὰ συγκαταθέσεως τελεῖται, καὶ ἡ καθ' ὕπνους ἅπεται φαντασία, καὶ ἡ ῥύσις τοῦ σπέρματος.

1) Ρωμ. ΙΔ', 23.—2) κινούμενα Β.—3) Α. Κορ. ΙΑ, 29.— 4) Ματθ. ε, 28.

Περὶ μαλακίας.

Εἰ δὲ οὕτως εὐθύνεται ἡ ἀπὸ συγκαταθέσεως διὰ νυκτερινῆς φαντασίας τοῦ σπέρματος ἐκροὴ, πολλῷ γε μᾶλλον ἡ διὰ μαλακίας ἔκκρισις ἐπιτιμηθήσεται, ὕπαρ γε πάντως, καὶ οὐκ ἐξ ὀνειρώξεως γινομένη.

Ἰωάννου τοῦ Νηστευτοῦ.

Φησὶ γὰρ ὁ Νηστευτὴς Ἰωάννης· Ὁ μαλακίας πάθει ἁλοὺς πρὸ τῆς ἱερωσύνης κληρικὸς, μὴ θαρρῶν ἴσως ὡς παρὰ τοῦτο μόνον τῆς ἱερωσύνης εἰρχθήσεται, ἱκανῶς πρότερον ἐπιτιμώμενος, οὕτω τῆς ἱερωσύνης ἀξιούσθω· εἰ δὲ μετὰ τὴν ἱερωσύνην τούτῳ περιπέπτωκεν, εἰς ἐνιαυτὸν ἕνα τῆς ἱερωσύνης ἀργήσας, καὶ τοῖς εἰωθόσιν ἐπιτιμίοις σωφρονισθεὶς, πρὸς τὴν ἱερωσύνην ἐπανιέτω· εἰ δὲ μετὰ τὴν ἐπίγνωσιν τῆς ἁμαρτίας δὶς ἢ τρὶς τοῦτο ἐργάσαιτο, τῆς ἱερωσύνης παυσάμενος, εἰς ἀναγνώστου τάξιν ἐρχέσθω· λαϊκὸς δὲ, τὸ τῆς μαλακίας αἰσχρὸν κατεργασάμενος πάθος, εἰς μ΄. ἡμέρας τῆς κοινωνίας εἴργεται, ξηροφαγῶν ἐν αὐταῖς, καὶ γονυκλισίας ἑκάστης ποιῶν μθ΄. ἡ δὲ διὰ τῆς ἀλλήλων μίξεως γινομένη μαλακία, διπλοῦν ἐργάζεται τὸ κακὸν, ἅτε δύο μολυνομένων ψυχῶν, διὸ καὶ διπλάσιον ὁ ταύτης ἐργάτης τὸ ἐπιτίμιον δέχεται, εἰς π΄. ἡμέρας τῆς κοινωνίας εἰργόμενος, καὶ εἰς ρ΄. τὸ τῶν μετανοιῶν μέτρον ἐκτείνων, μετὰ τῆς προσηκούσης νηστείας· ἀλλὰ ταῦτα μὲν περὶ τούτου. Ἡ δὲ ἀπὸ νόσου τῶν νεφρῶν γινομένη ῥοὴ τοῦ θοροῦ, οἵα ἡ τῶν γονορρυῶν καὶ τῆς λιθιάσεως, παντάπασιν ἀνεπίκλητος· εἰ γὰρ καὶ τῷ Μωσέως νόμῳ οἱ γονορρυεῖς ἀκάθαρτοι ἐλογίζοντο, ἀλλ' ἐκεῖνος καθ' ἕτερον δήπου γε τρόπον διὰ τῶν σωματικῶν παθημάτων τὰ τῆς ψυχῆς παρεδείκνυ νοσήματα, καὶ διὰ τῶν ἀκουσίων τῶν ἑκουσίων κατέτρεχεν· εἰ γὰρ τὰ φυσικὰ δοκεῖ πως εἶναι ἀκάθαρτα, πολλῷ γε μᾶλλον ἡ κατὰ γνώμην λαγνεία· σκιὰν γὰρ ἔχων ὁ νόμος, ἐν τοῖς σωματικοῖς προεγύμναζεν, οἷα παῖδας, τοὺς Ἰουδαίους, ἵν' ἐπιτηδειοτέρους πρὸς τὴν ὑποδοχὴν τῶν πνευματικῶν καὶ τελεωτέρων ἐντολῶν ἀπεργάσηται· διδάσκει δὲ διὰ τούτων, καὶ τὰς συνουσίας τῶν τοιούτων ἐκφεύγειν ἡμᾶς, ὡς μὴ προσαναχρωσθῆναι τῇ ἐκ τοῦ στόματος ἐκείνων προχεο-

μένη τῶν λόγων ἀκαθαρσία· οὗτοι δέ εἰσιν οἱ τὸ ἴδιον πάθος, λοιμικοῦ δίκην νοσήματος ἐπὶ πάντας ἄγειν φιλοτιμούμενοι, καὶ πολλοὺς ἑαυτοῖς ἔχειν παραπλησίους, ἵν' ἐν τῇ κοινωνίᾳ τῶν κακῶν, τὰ τῶν ἐλέγχων ὀνείδη, ὡς ἂν οἰηθεῖεν, διαδιδράσκωσιν· ἀλλ' ὁ ἡμέτερος νόμος, οὐδὲν ἧττον τούτους τῶν ὑγιαινόντων προσίεται· ἐπεὶ καὶ οἱ λέπραν νοσήσαντες, παρ' ἐκείνων μὲν, καὶ τῆς παρεμβολῆς ἠλαύνοντο, ὡς ἀκάθαρτοι· ἡμῖν δὲ καὶ συνεκκλησιάζουσι, καὶ συνεύχονται, μηδὲν ἐκ τῆς νόσου ἐμποδιζόμενοι.

Τιμοθέου ιϐ'.

Ὁ δὲ ιϐ'. κανὼν τοῦ Τιμοθέου Ἀλεξανδρείας, Εἰ μὲν λογισμὸς, φησὶν, ἐπιθυμίας προσέβαλε τῷ ὀνειρασθέντι, καὶ τούτου ἐμφιλοχωρήσαντος τῇ ἐκείνου διανοίᾳ, ἡ τῆς γονῆς ῥύσις ἐπηκολούθησε, τὴν κοινωνίαν, ὑπερθετέον· ἡ γὰρ συγκατάθεσις τὸν λογισμὸν ἐμόλυνεν· εἰ δὲ οὐδὲν τούτων προηγήσατο, δείκνυται πεῖραν εἶναι τοῦ διαβόλου, τῆς θείας αὐτὸν ἀπάγειν κοινωνίας μηχανωμένου· ἀλλὰ μηδὲν ὁ τοιοῦτος ἐνδοιάζων, τῇ κοινωνίᾳ προσίτω· εἰ γὰρ καὶ κατορθωθείη τῷ πονηρῷ τὸ μὴ μετέχειν αὐτὸν ἐντεῦθεν τῶν ἁγιασμάτων, ἐπιβουλεύων οὐ παύσεται, ὁσάκις ἂν αὐτὸν γνῷ, πρὸς τὴν θείαν ἑτοιμαζόμενον κοινωνίαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅτι τῆς θείας κοινωνίας χάριν οὐ δεῖ τι λαμβάνειν.

Ὁ κγ'. τῆς ς'. Συνόδου κανὼν, Τοῖς μεταδιδοῦσι τῷ λαῷ τῆς ἀχράντου κοινωνίας, παντάπασιν ἀπείρηκε τοὺς μεταλαμβάνοντας εἰσπράττειν ὀβολοὺς, ἢ οἱονδήποτε εἶδος· ἡ γὰρ χάρις, φησὶν, οὐ πιπράσκεται. Μὴ τοίνυν διὰ χρημάτων, ἀλλὰ προῖκα τοῦ ἁγιασμοῦ τοῖς ἀξίοις 1) μεταδοτέον· εἰ δὲ φωραθείη τις τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων τὸ οἱονοῦν εἰσπράττων εἶδος, ὧν τῆς ἀχράντου μεταδίδωσι κοινωνίας, καθαιρείσθω, οἷα ζηλωτὴς τῆς

1) ἁγίοις B.

τοῦ Σίμωνος πλάνης καὶ κακουργίας· οὗτος γὰρ χρημάτων πρίασθαι τὴν χάριν ἐζήτει τοῦ Πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τῶν κοινωνεῖν διακριτομένων ἀπὸ πρεσβυτέρου γεγαμηκότος.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Β στοιχείου κανόνα δ΄. τῆς ἐν Γάγγρᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ τῆς ἐν κοινωνίᾳ εὐταξίας πρεσβυτέρων καὶ λαϊκῶν. Συνόδου ἕκτης νή, ρά.

Ὁ τῆς ς΄. Συνόδου νή. κανὼν οὐκ ἐπιτρέπει λαϊκῷ τῶν θείων μυστηρίων ἑαυτῷ μεταδιδόναι, ἐπισκόπου παρόντος, ἢ πρεσβυτέρου, ἢ διακόνου· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, εἰς ἑβδομάδα μίαν ἀφορίζεσθαι ἀξιοῖ, ἵνα μάθοι ταπεινοῦσθαι, καὶ μὴ τοῖς ὑπὲρ ἑαυτὸν ἐγχειρεῖν.

Ὁ δὲ ρά. πάντων ἥκιστα προσίεται τοὺς δι' εὐλάβειαν δῆθεν καὶ τῶν θείων δώρων τιμὴν, σκεύεσι χρυσοῦ, ἢ ἀργύρου, ἢ πολυτελοῦς ἄλλης ὕλης πεποιημένοις, τὰ θεῖα δεχομένους δῶρα, καὶ οὕτω μεταλαμβάνοντας· ἀλλὰ τὰς χεῖρας εἰς τύπον σταυροῦ σχηματίζειν, καὶ ταύταις τὸ θεῖον ὑποδεχομένους δῶρον, μεταλαμβάνειν· μακρῷ γὰρ αἰσθητοῦ παντὸς προτετίμηται ἡ χειρὶ Θεοῦ πλασθεῖσα χεὶρ ἀνθρώπου, τοῦ εἰκόνι θείᾳ τετιμημένου, καὶ σῶμα Χριστοῦ χρηματίσαντος, καὶ ναὸς Θεοῦ, κατὰ τὸν θεῖον Ἀπόστολον 1)· τῇ χειρὶ οὖν ἕκαστος τὴν κοινωνίαν δεχέσθω, φησὶ, τῆς χάριτος· ἀληθῶς γὰρ οὐδεὶς τῆς θείας μεταλήψεως ἄξιος, ἀλλὰ χάριτι πάντες αὐτῆς ἀξιούμεθα, καθὸ καὶ χάριτι ἐσμὲν σεσωσμένοι, ὡς πού φησιν ὁ Ἀπόστολος 2)· τοὺς δὲ προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην, καὶ διὰ σκευῶν τοιούτων κοινωγεῖν πειρωμένους, ἀφορίζεσθαι διο-

1) ά. Κορ. Γ΄, 16. καὶ ΙΒ΄, 27. — 2) Ἐφεσ. Β΄, 5.

ρίζεται. Ζήτει καὶ ἐν τῷ έ. Κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνα τῆς ά. Συνόδου ιή, καὶ τὸ δ΄. Κεφάλαιον ταῦ Υ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Ὅτι κοσμικὰς φροντίδας οὐ δεῖ μετιέναι κληρικοὺς, ἢ μονάζοντας, εἰ μήπου κατ᾽ ἐπιτροπὴν βασιλέως.

Ἀποστόλων ς΄, πά, πγ΄.

Ὁ ς΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, κοσμικὰς φροντίδας μὴ ἀναλαμβάνειν παρεγγυᾶται, εἰ δὲ μὴ, καθαιρεῖσθαι· βούλεται γὰρ ὁ κανὼν τοὺς ἀπηριθμημένους ἔξω συγχύσεως καὶ θορύβου δημώδους τηρεῖν ἑαυτοὺς, καὶ ἀπερισπάστως τῆς θείας ὑπηρεσίας μεταποιεῖσθαι.

Ὁ δὲ πά. τοῦτον ἐξεπίτηδες σαφηνίζων, Εἰ μὴ πείθοιντο, φησὶ, τῶν κοσμικῶν ἀποστῆναι φροντίδων, τότε καὶ καθαιρεθήσονται· εἰ δὲ ἀποσταῖεν, ὥστε μηκέτι δημοσίας μετιέναι διοικήσεις, ἐπὶ τοῖς φθάσασι συγγνωσθήσονται.

Ὁ δὲ πγ΄., Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔτι τὸ ἱερατικὸν περικείμενον σχῆμα, στρατείᾳ σχολάζοντα, στρατιωτικῶν πραγμάτων δηλαδὴ διοικήσεσιν, οὐ γὰρ τὴν μεθ᾽ ὅπλων ἐνταῦθά φησι μεταχείρησιν, ὑπὸ καθαίρεσιν τίθησιν· Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν 1), κατὰ τὸ λόγιον.

Συνόδου τετάρτης ζ΄.

Ὁ δὲ τῆς δ΄. Συνόδου ζ΄, τοὺς καθάπαξ ἐν τῷ κλήρῳ κατειλεγμένους, ἢ μοναστὰς, μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ κοσμικὴν ἀξίαν ἔρχεσθαι κελεύει, τὸ ἱερὸν ἀποδυσαμένους σχῆμα, καὶ μετενδύντας ὅπερ πρὸς ἔθους ἐκείνοις, ἢ, τοὺς τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, μηδὲ τὸ κατάλληλον αὖθις τῷ ἱερῷ βίῳ σχῆμα μεταλαμβάνοντας, ὃ πρὶν κατὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι ἀξιοῖ· οὐκέτι γὰρ καθαιρέσει ὁ τοιοῦτό τι τολμήσας ὑποβάλλεται· ἐπείτοι γε ταύτην αὐτὸς ἑαυτοῦ καὶ πρὸ καταδίκης κατεψηφίσατο, ἀπογυμνώσας ἑαυτὸν τῆς ἱερα-

1) Ματθ. ς΄, 24.

τικῆς ἀμπεχόνης, καὶ λαϊκὸς γεγονώς. Ζήτει καὶ τὸ ιγ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

Συνόδου ΑΒ΄ ιά.

Ὁ δὲ τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου κανὼν ἑνδέκατος, τοὺς ῥηθέντας κανόνας ἐπικυρῶν, καὶ τὰ ἐκείνων ἐπεξιών, ἐπάγει, ὡς, εἴτις τῶν ἱερέων, ἢ διακόνων, ἢ ὅλως τῶν ἐν κλήρῳ κατηριθμημένων κοσμικὰς ἀρχὰς καὶ φροντίδας μεταχειρίζοιτο, ἢ κουρατορείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου διώκεσθαι· οὐ γὰρ οἷόν τε δυσὶ προσανέχειν κυρίοις, ὡς ἔφημεν.

Καρθαγένης ις΄.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ις΄., Ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους, ἐκλήπτορας ἀλλοτρίων κτημάτων, ἢ προκουράτορας, εἶτ' οὖν φροντιστὰς, καὶ διοικητὰς, ἐπισκήπτει μὴ γίνεσθαι, μηδὲ ἔκ τινος αἰσχροῦ καὶ ἀτίμου πράγματος τροφὴν πορίζεσθαι· Οὐδεὶς γάρ, φησι, στρατευόμενος, ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις 1), καὶ τὰ ἑξῆς· αἰσχρὸν μὲν οὖν ἂν εἴη τυχὸν τὸ πορνοβοσκεῖν· ἄτιμον δὲ, τὸ καπηλείου προΐζασθαι.

Ὁ δὲ ἁγιώτατος Πατριάρχης Λουκᾶς, καὶ μυρεψικὰ ἐργαστήρια ἢ λουτρὰ πρὸς τῶν κληρικῶν ἐνεργεῖσθαι ἀπείρηκεν, ὡς αἰσχροῦ κέρδους καὶ ψεύδους παραίτια.

Περὶ ἰατρῶν.

Οὔτε μὴν ἰατρῶν ἐξηγεῖσθαι τοὺς διακόνους παρεχώρει, ἰατρικῆς καὶ αὐτοὺς μεταποιουμένους, μὴ ἐοικέναι, λέγων, τοὺς μετὰ στιχαρίων τὰ ἅγια μεταχειριζομένους, κοσμικὰς στολὰς ἐνδύεσθαι, καὶ μετὰ λαϊκῶν ἀνδρῶν, τῶν ἰατρῶν, φημι, προπομπεύειν. Γέγονε δὲ καὶ σημείωμα τοῦ αὐτοῦ Πατριάρχου, ἀφορισμῷ καθυποβάλλον τοὺς κοσμικὰ καὶ δημόσια πράγματα διενεργοῦντας κληρικούς· καὶ ἕτερον τοῦ Πατριάρχου Ἰωάννου, μὴ συγχωροῦν, διακόνους ἢ ἑτέρους κληρικοὺς δημοσίᾳ συνηγορεῖν· ἔτι δὲ καὶ τοῦ Πατριάρχου Μιχαὴλ τοῦ Ἀγχιάλου,

1) 6΄. Τιμόθ. Β΄, 4.

κοσμικὰ ὀφφίκια ἢ πρακτορικὰς ἐνεργείας, ἢ κουρατορείας, τοὺς κληρικοὺς ἐπισκῆπτον μὴ ἀναδέχεσθαι.

Συνήθειαι.

Ἐπεὶ δὲ ὁ δ΄. κανὼν τῆς δ΄. Συνόδου, ἀλλὰ δὴ καὶ ὁ δ΄. τῆς ά. καὶ β΄. Συνόδου, οὓς καὶ ζήτει κατὰ τὸ ιέ. Κεφάλαιον τοῦ Μ στοιχείου, οὐ κωλύουσι τοὺς ἐπισκόπους, ἔσθ' ὅτε τοῖς ὑπ' αὐτοὺς ἀνατιθέντας μοναχοῖς οὐ μόνον ἐκκλησιαστικῶν πραγμάτων διοίκησιν, ἀλλά γε καὶ βιωτικῶν, εἴτουν πολιτικῶν, πολλῷ πλέον βασιλεῦσι τοῦτο δοθήσεται, οἷς ἔθος ἔστιν ἃ τῶν ἱερῶν μετατιθέναι κανόνων, εὐσεβεῖ μέντοι γνώμῃ καὶ φιλοθέῳ· τῶν γὰρ κανόνων, τὰς τῶν ἐπισκόπων ψήφους τοῖς ἐπισκόποις τῆς ἐπαρχίας ἀνατιθέντων, ἄρχοντι δὲ μηδενὶ τούτων ἐξεῖναι κελευόντων κοινωνεῖν, οἱ βασιλεῖς καὶ τῆς ψήφου τῶν ἐπισκόπων χωρὶς, καὶ Πατριάρχας, καὶ ἐπισκόπους προβάλλονται· διὰ γοῦν τοῦτο, ὡς ἔοικεν, ἐπὶ τοῦ βασιλέως Μιχαὴλ τοῦ Δούκα, ὁ μητροπολίτης ἐκεῖνος Σίδης τὰ τῆς βασιλείας ᾠκονόμει, καὶ ὁ Νεοκαισαρείας τὰ τῆς πόλεως ἀνεγράψατο, καὶ ἐφ' ἡμῶν ὁ Κυζίκου Νήφων, τήν τε ἀπογραφὴν, καὶ τὰς τοῦ δημοσίου ἁπάσας ἐνήργησε δουλείας.

Νόμοι.

Ἡ δὲ πς΄. νεαρὰ τοῦ βασιλέως Λέοντος θεσπίζει, Μήτε ἐπίσκοπον, μήτε τινὰ τῶν τοῦ κλήρου, συνηγορίαις, ἢ μισθώσεσιν, ἢ ἐγγύαις ἐνασχολεῖσθαι· τὸν δὲ τοιοῦτόν τι ποιοῦντα, ἐπὶ χρόνον μέν τινα ἀφορίζεσθαι· ἐπιμένοντα δὲ, καθαιρεῖσθαι· συνηγόρους δέ φησι τοὺς ἐν τοῖς πολιτικοῖς τεταγμένους δικαστηρίοις, καὶ βασιλικὰ λαμβάνοντας σιτηρέσια, καὶ ὑπὸ πριμικηρίους ὄντας, καὶ ὑπὸ κοσμικῶν ἀρχόντων σφραγιζομένους, οἷς οἱ κληρικοὶ συντάττεσθαι ἐκωλύοντο· ὑπὲρ φίλων μέντοι ἢ ἄλλως οἰκείων, ἐπίσκοποι καὶ κληρικοὶ κατ' ἐλευθερίαν συνηγορεῖν οὐ κωλυθήσονται.

Ἡ δὲ ρκγ΄. Ἰουστινιάνειος νεαρὰ, Μηδείς, φησι, τὸν οἰκεῖον κλῆρον ἐῶν, γινέσθω κοσμικός· ἐπεὶ καὶ τῆς προσγενομένης αὐτῷ ἀξίας ἢ στρατείας ἀποστερηθήσεται, καὶ τῇ βουλῇ τῆς ἰδίας ἀποδοθήσεται πόλεως.

Ἡ δὲ ζ΄. καὶ ἡ. νεαρὰ τοῦ βασιλέως Λέοντος, τοὺς κληρικοὺς καὶ μοναχοὺς μετασχηματισθέντας, καὶ λαϊκοὺς γενομένους, καὶ ἄκοντας πρὸς τὸ πρότερον ἀποκαθίςασθαι σχῆμα κελεύουσι.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Περὶ κουρατόρων.

Ζήτει τὸ λγ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Περὶ κριτηρίων, ἔνθα δεῖ κρίνεσθαι κληρικούς τε καὶ μοναχοὺς, καὶ περὶ κριτῶν αἱρετῶν.

Ζήτει τὸ θ΄. Κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

Περὶ τῶν κύβοις καὶ μέθαις σχολαζόντων.

Ἀποστόλων μβ΄, μγ΄.

Ὁ μβ΄. τῶν ἁγίων Ἀποςόλων κανὼν, καὶ ὁ μγ΄, ἀλλὰ δὴ καὶ ὁ ν΄. τῆς ς΄. Συνόδου, Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, κύβοις καὶ μέθαις σχολάζοντα, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι κελεύουσιν· ὑποδιάκονον δὲ, ἢ ψάλτην, ἢ ἀναγνώστην, ἢ λαϊκὸν, ἀφορίζεσθαι, εἰ τὰ ὅμοια δρῴη· οἱ μὲν γὰρ τοῦ κλήρου, πάσης ἀρετῆς ἀρχέτυπον τῷ δήμῳ προκείμενοι, μὴ ὅτι διδαχῇ καὶ νουθεσίᾳ, ἀλλὰ τῷ ἀνεπιλήπτῳ τῆς ἀγωγῆς μάλιστα εἰς ἀρετῆς ἄσκησιν παρακαλεῖν αὐτοὺς ὑπόχρεοι καθεστήκασιν, οὐ μὴν ἐπαλείφειν πρὸς ἁμαρτίαν τῷ ἠμελημένως βιῶναι· οἵ γε μὴν τοῦ λαοῦ τῆς Γραφῆς ἀκουέτωσαν, μὴ πίνειν οἶνον κελευούσης εἰς μέθην, μηδὲ μεθύσκεσθαι οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία 1)· ἀλλὰ καὶ εἰς καπηλεῖον εἰσιέναι, ἢ καπηλικοῦ ἐργαστηρίου τοὺς κληρικοὺς προΐστασθαι, διάφοροι κανόνες κεκωλύκασιν· οὓς καὶ εἰς τὸ ζ΄. ζήτει Κεφάλαιον τοῦ παρόντος στοιχείου.

1) Ἐφεσ. Ε, 18.

Νόμος.

Ἡ δὲ ρκγ΄. Ἰουστινιάνειος νεαρὰ, Ἐπίσκοπος, φησὶν, ἢ κληρικὸς, κυβεύων, ἢ κοινωνῶν τοῖς κυβεύουσιν, ἢ παρακαθήμενος, ἢ θέατρον, ἢ κυνήγιον θεωρῶν, ἀφορίζεται πάσης ἱερᾶς λειτουργίας ἐπὶ τριετίαν, καὶ μοναστηρίῳ ἐμβάλλεται· ἀξίαν δὲ διὰ τὴν μετάνοιαν ἐπιδειξαμένους, ἔξεστι τῷ ἱερεῖ τὸν χρόνον ἐλαττοῦν τῆς ἐπιτιμίας· ἀνάγνωθι καὶ τὴν πγ΄. νεαρὰν τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΛΣ΄.

Ὅτι ἐν Κυριακῇ κατ' ἐξαίρετον τοὺς ἐπισκόπους διδάσκειν δεῖ τὸν λαόν.

Ζήτει ἐν τῷ ιά. Κεφαλ. τοῦ Κ στοιχείου κανόνα ιθ΄. τῆς ς΄. Συνόδου καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα τῶν ἁγίων Ἀποστόλων νγ΄. καὶ ἐν τῷ ιή. Κεφ. τοῦ Γ στοιχείου κανόνα έ. τοῦ Τιμοθέου.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ΄.

Ὅτι ἐν Κυριακῇ οὐ δεῖ νηστεύειν, ἢ γόνυ κλίνειν, ἢ ἐργάζεσθαι, ἢ θεώρια γίνεσθαι.

Ἀποστόλων ξ΄.

Ὁ ξ΄. τῶν Ἀποστόλων κανὼν, τὸν ἐν Κυριακῇ ἢ σαββάτῳ νηστεύοντα, πλὴν τοῦ ἑνὸς μόνου, κληρικὸν μὲν ὄντα, τῆς ἱερωσύνης ἀπογυμνοῖ· ἀφορισμῷ δὲ τὸν λαϊκὸν δίδωσι· οἱ μέντοι δι' ἄσκησιν ἐν ὡρισμέναις ἡμερῶν περιόδοις ἐσθίοντες, δέκα τυχὸν, ἢ ὀκτὼ, παντάπασιν ἀνεπίκλητοι· πλεῖστοι γὰρ, τῇ τοῦ Θεοῦ χάριτι, τὸν τῆς νηστείας τῶν ἡμερῶν ἀριθμὸν καὶ μέχρι τεσσαρακοντάδος ἐξέτειναν· ἐν μόνῳ δὲ τῷ μεγάλῳ νηστεύειν ἐπιτάττει σαββάτῳ, καθότι τὸ ζωοποιὸν τοῦ Κυρίου σῶμα ἄπνουν ἐν τῷ τάφῳ τηνικαῦτα κατέκειτο.

Συνόδου ἕκτης νέ.

Ὁ δὲ νέ. τῆς ς΄. Συνόδου κανὼν, τὸν ἀποστολικὸν τουτονὶ κανόνα διέξεισι, καὶ τοὺς ἐν τῇ πόλει Ῥωμαίων ἐπισκήπτει μὴ παραβαίνειν, μηδὲ νηστεύειν τοῖς σάββασι τῆς ἁγίας τεσσαρακοστῆς, διὰ τὴν γινομένην κατὰ πᾶν σάββατον ὑπὲρ πάντων τῶν ἁγίων προσφορὰν, ἐν ᾧ τὸν ἰσχυρὸν ὁ Κύριος ἔδησε, καὶ τὰ σκεύη τούτου διήρπασε, εἰ καὶ εἰς οὐδὲν τὰ τοῦ κανόνος αὐτοῖς ἐλογίσθησαν· μᾶλλον μὲν οὖν ἐπιτείνοντες τὸ κακὸν, καὶ τὰ τοῦ ὅλου χρόνου σάββατα νηστεύειν οὐ παραιτοῦνται.

Γάγγρας ιζ΄.

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ ιζ΄. τοὺς διὰ νομιζομένην ἄσκησιν ἐν τῇ Κυριακῇ νηστεύοντας, τῷ ἀναθέματι παραπέμπει· τηνικαῦτα γὰρ φαιδροὺς εἶναι δεῖ μᾶλλον καὶ γεγαννυμένους διὰ τὴν ἔγερσιν τοῦ Κυρίου, καὶ τὴν τῆς βροτείας φύσεως ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνάστασιν· οὐ μὴν κατηφιᾷν τῇ νηστείᾳ, καὶ σκυθρωπάζειν.

Πέτρου ιέ.

Ὁ δὲ ιέ. τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, Τὴν μὲν τετράδα παρειλήφαμεν, φησὶ, νηστεύειν, διὰ τὸ γεγονὸς συμβούλιον ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου παρὰ τῶν Ἰουδαίων· τὴν δέ γε παρασκευὴν, διὰ τὸ αὐτὸν ἐν ταύτῃ πεπονθέναι ὑπὲρ ἡμῶν· τὴν μέντοι Κυριακὴν χαρμοσύνης ἡμέραν ἡγούμεθα, ἐν ᾗ οὐδὲ γόνατα παρειλήφαμεν κλίνειν. Ζήτει περὶ Κυριακῆς καὶ ἐν τῷ θ΄. Κεφαλαίῳ τοῦ Β στοιχείου κανόνα τῶν ἁγίων Ἀποστόλων νγ΄. καὶ ἐν τῷ ιή. Κεφαλ. τοῦ Γ στοιχείου κανόνα έ. τοῦ Τιμοθέου.

Περὶ τῶν ἁγίων Θεοφανίων.

Θεοφίλου Ἀλεξανδρείας.

Ὁ δὲ Ἀλεξανδρείας Θεόφιλος, τῆς τῶν ἁγίων Θεοφανίων ἑορτῆς, ἐν ᾗ μέχρις ἑσπέρας νηστεύειν εἰώθαμεν, ἡμέρᾳ Κυριακῇ συνδραμούσης, τὸ προσῆκον ἀπονέμειν ἑκατέρᾳ κελεύει· φησὶ γάρ· Καὶ τὸ ἔθος, καὶ τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ, πᾶσαν Κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτῇ τὴν ἐκ νεκρῶν Ἀνάστασιν ἡμῖν ἐπρω-

τάνευσε· διὸ καὶ ἐν ταῖς ἱεραῖς Γραφαῖς καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα, καὶ ὀγδόη, ἅτε δὴ ὑπεραναβεβηκυῖα τὸν τῶν Ἰουδαίων σαββατισμόν. Ἐπεὶ οὖν συνέβη τὴν τῶν Θεοφανίων ταύτην ἡμέραν νήστιμον εἶναι, ἐπιστημόνως χωρήσωμεν πρὸς ἑκάτερον, καὶ μεταλαβόντες ὀλίγων φοινίκων, ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις, τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον τοῦ Κυρίου ἡμέραν, καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἀποδῶμεν ἡμέρᾳ, τὴν ἑσπερινὴν περιμένοντες σύναξιν, ἥτις ἀπὸ ἐννάτης ὥρας ἐνταῦθα τελεῖται.

Ὅτι ἐν Κυριακῇ κλίνειν γόνυ εὐχομένους οὐ δεῖ.

Συνόδου πρώτης κ'.

Ὁ δὲ κ'. τῆς ά. Συνόδου κανὼν, οὐδὲ γόνυ κλίνειν ἐν Κυριακῇ οἴεται δεῖν, οὔτε μὴν ἐν ταῖς τῆς Πεντηκοστῆς ἁπάσαις ἡμέραις· τὰς δὲ αἰτίας ὁ μέγας Βασίλειος ἐν τῷ λζ'. τῶν πρὸς τὸν ἅγιον Ἀμφιλόχιον κεφαλαίων σαφῶς ἀναπτύσσει, ὅπερ καὶ ζήτει ἐν τῷ β'. Κεφαλαίῳ τοῦ Ε στοιχείου.

Συνόδου ἕκτης ιγ'.

Ὁ δὲ ιγ'. τῆς ς'. Συνόδου, Ἐπειδή, φησὶ, πρὸς τῶν θείων Πατέρων γόνυ μὴ κλίνειν ἐν ταῖς Κυριακαῖς προστετάγμεθα, τὴν τοῦ Χριστοῦ τιμῶντες Ἀνάστασιν, δέον μετὰ τὴν κατὰ τὸ σάββατον ἑσπερινὴν τῶν ἱερέων εἰς τὸ θυσιαστήριον εἴσοδον, μηδένα κλίνειν τὸ γόνυ μέχρι τῆς ἑσπέρας τῆς Κυριακῆς, ὅτε αὖθις ἡ εἴσοδος τῶν ἱερωμένων γίνεται· ἐξ ἐκείνου γὰρ τὰ γόνατα κάμπτοντες τὰς εὐχὰς τῷ Κυρίῳ προσάγομεν· τῆς γὰρ τοῦ Σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββατον νύκτα παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταλήγοντες, ὡς ἐν ὁλοκλήρῳ νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς.

Ὅτι ἐν Κυριακῇ οὐ δεῖ ἐργάζεσθαι.

Ζήτει εἰς τὸ γ'. Κεφ. τοῦ Ι στοιχείου κανόνα κθ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

Νόμοι.

Ἡ Κυριακὴ ἄπρακτος ἔστω· ἐν αὐτῇ γὰρ οὐχ ὑπομιμνήσκεταί τις, ἢ ἐγγύας ἀπαιτεῖται, ἢ δημόσιον, ἢ ἰδιωτικὸν χρέος,

οὔτε δικάζεται, οὔτε σκηνικὴ θέα, ἢ κυνήγιον, ἢ ἱπποδρόμιον τελεῖται· ἀλλ' εἰ καὶ φθάσει βασιλέως κατάλιον ἐν Κυριακῇ, ὑπερτίθεται τὸ θεώριον· ὁ δὲ θεωρῶν ἐν Κυριακῇ ἀποστρατεύεται καὶ δημεύεται· ἔξεστι δὲ πακτεύειν, καὶ σύμφωνα ποιεῖν, καὶ διαλύεσθαι ἐν Κυριακῇ 1).

Ἀλλαχοῦ δὲ ὁ νόμος, ἀπαραίτητον μὲν τὴν ἀργίαν ἐν τῇ Κυριακῇ ἀπαιτεῖ, ἀλλ' ἄνευ τῶν γεωργῶν· ἴσως γὰρ τῶν ἔργων κατεπειγόντων, ἄλλην οὐχ οἷόν τε ἡμέραν εὑρεῖν, οὕτως αὐτοῖς πρὸς τὰ ἔργα συμβαλλομένην 2).

Ἡ δὲ νδ'. νεαρὰ τοῦ βασιλέως Λέοντος, σχολάζειν κατὰ τὴν Κυριώνυμον καὶ τοὺς γεωργοὺς διορίζεται.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ κωδικέλλου.

Νόμος.

Κωδίκελλός ἐστι, τῆς ἐν τῇ διαθήκῃ ἐλλιποῦς γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις, καὶ ἔγγραφος τελευταία βούλησις ἐπί τισι προσώποις καὶ γράμμασι, τοῖς καὶ ἐν διαθήκῃ ἢ μνημονευθεῖσιν, ἢ μνημονευθῆναι δυναμένοις, πλὴν κληρονόμου καὶ κληρονομίας 3).

Διαφέρει δὲ διαθήκη κωδικέλλου, ὅτι ἐν μὲν τῇ διαθήκῃ καὶ κληρονόμον καὶ ἀποκληρονόμον ἔξεστι γράφειν, καὶ λεγάτα, καὶ ἐλευθερίας, καὶ ἔνστατον, καὶ ὑποκατάστατον, ἐν δὲ τῷ κωδικέλλῳ οὐδὲν τούτων 4).

Ἔνστασίς ἐστιν ἡ πρώτη θέσις τῆς κληρονομίας, τουτέστιν ὁ πρῶτος βαθμὸς τῶν κληρονόμων 5).

Ὑποκατάστασίς ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐφ' ἕτερον τῆς κληρονομίας μετάθεσις, οἷον, εἴτις εἴποι, ἔστω μου ὁ δεῖνα κληρονόμος· εἰ δὲ μή, ἔστω ὁ δεῖνα 6).

Ἐν κωδικέλλῳ φιδεκόμμισσον γράφεται καὶ λεγατάριον 7).

Συνίσταται δὲ ὁ κωδίκελλος διὰ πέντε μαρτύρων 8).

---

1) Σύν. Ζ'. ιζ'. — 2) ιθ'. Βασ. Ζ'. ιζ'. — 3) Πρ. Ν. ΚΘ', ά. — 4) 6'. αὐτ. — 5) γ'. αὐτόθι. — 6) δ'. αὐτόθι. — 7) κδ'. Βασ. Λς'. ά. — 8) κδ'. αὐτόθι.

ΑΡΧΗ ΤΟΥ Λ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α.

Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων.

Ἀποστόλων π'.

Ὁ π'. τῶν ἁγίων Ἀποστόλων κανών, Τὸν ἐξ ἐθνικοῦ, φησι, βίου, ἢ καὶ ἐκ φαύλης ἀγωγῆς προσελθόντα τῇ πίστει, οὐ θέμις εὐθέως ἐπίσκοπον προχειρίζεσθαι· οὐ γὰρ ἂν εἴη δίκαιον τὸν μηδέπω πεῖραν δεδωκότα, εἴγε περὶ τὴν πίστιν ἔχει τὸ ὑγιὲς, καὶ περὶ τὸν βίον τὸ ἀνεπίληπτον, ἑτέροις καθῆσθαι διδάσκαλον· εἰ μὴ ἄρα κατὰ θείαν ἀποκάλυψιν ἡ χάρις ἐπιφανῶς τούτῳ τὴν ἐπισκοπὴν ἐγχειρήσειεν· οἷα δὴ καὶ τῷ σοφῷ Ἀνανίᾳ περὶ τοῦ μεγάλου ἀπεκάλυψε Παύλου, σκεῦος ἐκλογῆς τοῦτον εἶναι αὐτῷ χρηματίσασα.

Συνόδου πρώτης ϐ'.

Ταῦτα καὶ ὁ β'. τῆς ἁγίας πρώτης Συνόδου παρεγγυᾷ, τὸν ἄρτι πιστεύσαντα ἐθνικὸν, μήτε ἐπὶ τὸ πνευματικὸν ἄγειν παραχρῆμα λουτρὸν, μήτε μὴν ἅμα βαπτισάμενον εἰς ἐπισκόπου ἢ πρεσβυτέρου καθίζειν ἀξίωμα· καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος· ἐπεὶ καὶ Παῦλος ὁ θεῖος, Τιμοθέῳ ἐπιστέλλων, καὶ ὑπογράφων τῷ λόγῳ τὸν ἐπισκοπῆς προστησόμενον, καὶ τοῦτό φησι· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρῖμα ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου 1), τὸν ἐν τῇ πίστει νεωστὶ φυτευθέντα δηλῶν, οὐ τὸν νέαν ἄγοντα τὴν ἡλικίαν· εἰ καὶ ἀνάγκης κατεπειγούσης, εἰσὶν οἳ καὶ τῶν τοιούτων γεγόνασιν οὐκ ἀπόβλητοι. Εἰ δὲ καὶ τοῦ χρόνου, φησὶ, προϊόντος, ὑπὸ δύο μαρτύρων ἢ τριῶν ἐλεγχθείη ψυχικὸν ἔχων σφάλμα, πεπαῦσθαι τοῦτον τοῦ κλήρου· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, περὶ τὸν ἴδιον κινδυνεύειν βαθμόν.

Συνόδου Α' καὶ Β', ιζ'.

Ὁ δὲ ιζ'. τῆς λεγομένης Α' καὶ Β' Συνόδου κανών, λαϊκὸν ἢ

1) ά. Τιμόθ. Γ', 6.

μοναχὸν, ἀθρόον ἐπὶ τὸ τῆς ἐπισκοπῆς ἀνάγειν ἀξίωμα, οὐκ οἴεται δεῖν, εἰ μὴ πρότερον τοὺς ἱερατικοὺς διέλθοι βαθμοὺς, καὶ τὸν νενομισμένον ἐφ' ἑκάστῳ χρόνον πληρώσας, δόκιμος δειχθείη ἐν ἅπασιν· εἰ γὰρ καὶ μὴ οὕτω προβιβασθέντες ἔνιοι διέλαμψαν ἀρετῇ, καὶ τὰς κατ' αὐτοὺς Ἐκκλησίας κατηύγασαν, ἀλλ' οὐ νόμον Ἐκκλησίας τὸ σπάνιον, φησὶ, τιθέμεθα· ἐν μέντοι τῷ τῆς Ἐκκλησίας ὁ μοναχὸς καλούμενος τάγματι, τὸ μηδὲν τοῦ λαϊκοῦ διενήνοχεν.

Σαρδικῆς ί.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ί. κανών, Τὸν ἐξ ἀγορᾶς καὶ δημώδους ὄντα συγχύσεως, κἂν πλούτῳ κομᾷ, κἂν σχολαστικὸς ᾖ, ἅτε περὶ λόγους σχολάζων, ἐπισκήπτει μὴ ἀθρόον χειροτονεῖσθαι, εἰ μὴ ἐφ' ἑκάστῳ τῶν ἱερατικῶν βαθμῶν ἱκανὸν ὑπηρετήσας καιρὸν, τήν τε ὀρθὴν αὐτοῦ πίστιν καὶ τὴν τῶν τρόπων ἐπιείκειαν, καὶ τὸ στερρὸν ἐπιδείξειε τοῦ φρονήματος· τῷ τηνικαῦτα γὰρ εἰκότως ἐκ τῶν τῆς ὑφεδρίας βαθμῶν εἰς τὸ τῆς προεδρίας ὕψος ἀναδραμεῖται.

Λαοδικείας γ'.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ τρίτος, Οὐ δεῖ, φησι, τὸν προσφάτως φωτισθέντα εἰς ἱερατικὸν κατὰ πόδας τάγμα προάγεσθαι· ὁ μέν τοι μέγας ἐκεῖνος φωστὴρ Νεκτάριος, ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος 1), καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς ἀρχιερωσύνης ἀξίωμα περιβάλλεται, καὶ ἅμα τῆς τε βασιλευούσης ἐπίσκοπος γίνεται, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἔξαρχος δευτέρας Συνόδου.

Νόμος.

Ἡ δὲ ρκγ'. Ἰουστινιάνειος νεαρὰ, οὐκ οἴεται δεῖν ἐκ τῶν λαϊκῶν εὐθέως ἐπίσκοπον χειροτονεῖσθαί τινα, ἀλλὰ πρότερον γίνεσθαι κληρικὸν, καὶ μένειν ἐπὶ τρεῖς μῆνας τὰς Γραφὰς διδασκόμενον, καὶ τοὺς θείους κανόνας· τὸν δὲ μὴ οὕτω γινόμε-

1) τὸν τοῦ θείου πόθου φόβον ἐνστερνισάμενος, ἀποπλυνάμενος δὲ τὸν τοῦ βίου ῥύπον B.

νον, τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι, καὶ τὸν χειροτονήσαντα, ἐπὶ ἔτος ἐν τῆς λειτουργίας χωρίζεσθαι· αἰσχρὸν γάρ, φησι, καὶ ἱκανῶς ἄλογον, ὁ τοὺς ἄλλους ὀφείλων διδάσκειν, παρ' ἑτέρων μετὰ τὴν χειροτονίαν διδάσκεσθαι. Εἰ μέντοι γε διδακτικὸς εἴη, καὶ ἐν τῷ λαϊκῷ τάγματι ἀριθμούμενος, καὶ μηδὲν ἐλλείπων τῶν ὅτα γε εἰς ὠφέλειαν ἑτέρων φέρει καὶ καταρτισμὸν, ἐπ' αὐτοῦ τὸν τοιοῦτον μὴ παρατηρεῖσθαι χρόνον, ἡ πεῖρα παρέσχεν ἀκίνδυνον.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν εἰς λαϊκοῦ τάξιν ἐρχομένων ἐπισκόπων, ἢ κληρικῶν, ἢ μοναχῶν.

Ζήτει τὸ λϐ'. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι τοὺς λαϊκοὺς ἐπὶ Ἐκκλησίας διδάσκειν οὐ δεῖ.

Ζήτει ἐν τῷ ζ'. Κεφ. τοῦ Δ στοιχείου κανόνα ξδ'. τῆς ς'. Συνόδου.

ΚΑΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς θείας λειτουργίας.

Ζήτει ἐν τῷ έ. Κεφαλαίῳ τοῦ Τ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Έ.

Περὶ Λατίνων.

Ζήτει ἐν τῷ λζ'. Κεφ. τοῦ Κ στοιχείου κανόνα νέ. τῆς ς'. Συνόδου, καὶ ἐν τῷ ιϐ'. Κεφ. τοῦ Ε κανόνα ιέ. τῆς ά. καὶ β'. Συνόδου, καὶ ἐν τῷ έ. Κεφ. τοῦ Τ στοιχείου κανόνα νς'. τῆς ς'. Συνόδου, καὶ ἐν τῷ ιά. Κεφ. τοῦ Ε στοιχείου κανόνα γ'. τῆς β'. Συνόδου, καὶ ἐν τῷ δ'. Κεφ. τοῦ Ι στοιχείου κανόνα ἀποστολικὸν ἑβδομηκοστόν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Περὶ λῃστῶν μετανοούντων.

Νύσσης ἕκτος.

Ὁ μέγας τῆς Νύσσης Γρηγόριος, ἐν τῷ ϛ΄. κανόνι, τὸν λῃστὴν, μεταμέλῳ χρησάμενον, καὶ διὰ μετανοίας τῇ Ἐκκλησίᾳ προσπεφευγότα, τῷ τῶν ἀνδροφόνων ὑπάγεσθαι κελεύει κρίματι· καὶ γὰρ τὴν μιαιφονίαν εἰς συμμαχίαν, φησὶ, τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος, καὶ ὅπλοις, καὶ πολυχειρίᾳ, καὶ τοῖς ἐπικαίροις τῶν τόπων.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τῶν λῃστὰς ἀναιρούντων.

Βασιλείου νέ.

Ὁ νέ. τοῦ μεγάλου Βασιλείου κανὼν, τοὺς λῃσταῖς ἀντεπεξιόντας, λαϊκοὺς μὲν ὄντας, εἰς τριετίαν τῆς κοινωνίας ἀπείργει, ὥς γε δὴ καὶ τοὺς ἐν πολέμοις φονεύσαντας· κληρικοὺς δὲ, καθαιρεῖ· Πᾶς γὰρ, φησὶν, ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται 1)· μάχαιραν καὶ θάνατον τὴν καθαίρεσιν ἀποκαλῶν, καὶ τὴν στέρησιν τῶν ἁγιασμάτων· τοῖς γὰρ εὖ φρονοῦσι, θανατηφόρος ταῦτα λογίζεται τιμωρία.

Συνήθεια 2).

Ἀλλά γε τοῦτο φορτικόν τισιν ἔδοξε, καὶ κρίσεως ὀρθῆς οὐ μέτοχον, ἀντὶ τῶν ἐπάθλων, ὧν ἔδει τυγχάνειν τοὺς διὰ τὴν ἑτέρων προκινδυνεύοντας σωτηρίαν, καὶ διὰ σπουδῆς τιθεμένους ἐκκαθαίρειν τοὺς τόπους τῆς τῶν λῃστῶν ἐπηρείας, τούτους ἐπιτιμίοις καθυποβάλλεσθαι· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοὺς ἀνθιστα-μένους, ἵνα μὴ ἀποθάνωσιν, ἐκείνων ἐπιθεμένων 3)· τὸ γὰρ, Πᾶς ὁ λαβὼν μάχαιραν, οὐχ ἥκιστα τοῖς λῃσταῖς ἁρμόσειεν ἂν, ἢ τοῖς αὐτοὺς διαχειριζομένοις. Ἀλλ' ἐπὶ τοῦ Πατριάρχου Κων-

1) Ματθ. Κϛ΄, 52. — 2) Γ. — ἐν δὲ 1375 ἀναγινώσκεται· Ζήτει τοῦτο ἐν τῷ ζ΄. Κεφαλαίῳ τοῦ Φ στοιχείου. — 3) ἐπιτιθεμένων 1375.

σταντίνου 1) τοῦ Χλιαρηνοῦ, ἐζητήθη τὰ περὶ τούτου· καὶ διέγνωστο τῇ Συνόδῳ, ὅτι εἰ μὲν δυνάμενός τις διαδρᾶναι τὴν ἐπιβουλὴν τοῦ λῃστοῦ, ὁ δὲ τούτῳ μὲν οὐκ ἠρκέσθη, ἀλλ' ἐκ μελέτης αὐτῷ ἐπιθέμενος ἀνήρηκεν, οἷα φονεὺς ἐπιτιμηθήσεται, καὶ πλέον ἢ ὡς τῷ παρόντι δοκεῖ κανόνι· ἴσως γὰρ, εἰ περιῆν ὁ λῃστὴς, μεταμέλῳ τε ἐχρήσατο, καὶ τῆς λῃστείας ἀποσχόμενος τῷ Κυρίῳ προσεκολλήθη· εἰ δὲ πρῶτος τὸ ξίφος ἠρκὼς ἦν ὁ λῃστὴς κατὰ τοῦ αὐτὸν ἀνελόντος, τότε τὰ τοῦ παρόντος χώραν ἕξει κανόνος. Ὃς μέντοι διὰ τὸ κοινῇ συμφέρον πολλὰ παρακληθεὶς, τὴν τούτου ζήτησιν ἐν φροντίδι θέμενος καὶ μελέτῃ, τοῦτον εὗρε καὶ διεχρήσατο, καὶ ἐκ τῶν πολιτικῶν, καὶ ἐκ τῶν τῆς Ἐκκλησίας νόμων, μὴ ὅτι τιμωρίας, ἀλλὰ καὶ ἐπάθλων ἀξιωθήσεται, ἅτε πολλοὺς τῶν ὁμοφύλων ἐκ θανάτου ῥυσάμενος, καὶ τὴν χώραν ἐξημερώσας· ἀσφαλείας δ' ἕνεκεν πλείονος ἐπὶ τριετίαν ἤρεσε καὶ τούτους καταδικάζεσθαι, ὡς καὶ τοὺς ἐν πολέμῳ φονεύσαντας. Τούς γε μὴν κληρικοὺς, οἱονδήποτε φόνον πεποιηκότας, εὐθὺς καθαιρεῖσθαι, μηδεμιᾶς οὔσης διαφορᾶς πολεμίου, ἢ λῃστοῦ, ἢ ὁποιουδήτινος ἑτέρου· ὡς καὶ ἐκ τοῦ σημειώματος τοῦ αὐτοῦ Πατριάρχου δῆλον καθέστηκεν.

Νόμοι.

Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευσεν, ἀνεύθυνός ἐστιν· ἐν γὰρ τοῖς κινδύνοις ὀφείλει ἕκαστος ἑαυτὸν ἐκδικεῖν, καὶ μὴ τὴν τῶν νόμων ἀναμένειν βοήθειαν 2).

Τὸν λῃστὴν ἐπιόντα, ἀκινδύνως ἔξεστι φονεύειν 3).

Ἀρχιερεὺς δὲ, Ἀγαρηνὸν φονεύσας, κατ' αὐτοῦ ξίφος ἀνατείναντα ἐν καιρῷ πολέμου, καθῃρέθη ὑπὸ τῆς Συνόδου.

Ζήτει καὶ ἐν τῷ κγ'. Κεφαλαίῳ τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ λῃστρικῶς ἁρπαζόντων τὰ ἀλλότρια.

Ζήτει ἐν τῷ ιϐ'. Κεφαλαίῳ τοῦ Α στοιχείου.

1) Κωνσταντινουπόλεως Β. — 2) ιδ'. Βασ. Ξ', λθ'. — 3) ιέ, αὐτόθι.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅτι λούεσθαι οὐ δεῖ τοὺς ἄνδρας ὁμοῦ ταῖς γυναιξί.

Ζήτει τὸ κ΄. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῆς λοχείας τῆς ἀλοχεύτου Θεοτόκου.

Ζήτει ἐν τῷ ἡ. Κεφαλαίῳ τοῦ Κ στοιχείου κανόνα οθ΄. τῆς ς΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Περὶ λύσεως γάμου.

Ζήτει τὸ ιγ΄. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Μ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ μάγων, μαθηματικῶν, καὶ μάντεων, ἔτι δὲ καὶ ἀστρολόγων, ἐπαοιδῶν, ἀλλὰ δὴ καὶ γοητειῶν, φαρμακειῶν, καὶ περιάπτων.

Συνόδου ἕκτης ξά.

Ὁ ξά. τῆς ς΄. Συνόδου κανὼν, τοὺς μάντεσιν ἑαυτοὺς ἐπιδεδωκότας, ἢ γόησιν, ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις, ἢ τοῖς τὰς ἄρκτους ἐπισυρομένοις, ἢ ἕτερα θηρία πρὸς παίγνιον καὶ βλάβην τῶν ἁπλουστέρων, ἢ τοῖς νεφοδιώκταις, ἢ τοῖς γόησιν, ἢ τοῖς παρέχουσι τὰ φυλακτήρια, ἢ τοῖς τύχην, καὶ εἱμαρμένην, καὶ γενεθλιαλογίαν, καὶ τοιούτων ῥημάτων ὄχλον φωνοῦσι, κατὰ τοὺς τῆς πλάνης λήρους, οἳ τὸν μὲν, εἰς ἡμέραν φασὶ γεννηθῆναι κακοποιὸν, τὸν δ' αὖ, εἰς ἀστέρα ἀγαθὸν, τοὺς οὖν προσανέχοντας τούτοις, ἐπὶ ἐξαετίαν καταδικάζει· ἐπιμένοντας δὲ τῷ κακῷ, τελέως ἐκκηρύττει τῆς Ἐκκλησίας, λαϊκοὺς ὄντας δηλαδή· ἱερωμένοις δὲ, οὐδεμία παραίτησις, τὸ μὴ οὐ καθαιρεθῆναι· ὡς γὰρ τῷ Ἀποστόλῳ εἴρηται, Τίς συγκατάθεσις ναῷ Θεοῦ μετ' εἰδώλων; καὶ τὰ ἑξῆς 1).

Περὶ μαντείας.

Μάντεις μὲν οὖν λέγονται οἱ τοῖς δαίμοσιν ἑαυτοὺς ἐκδόντες καὶ προσαναθέμενοι, καὶ ταῖς αὐτῶν ὑποθήκαις διά τινων σημείων πειρώμενοι βλέπειν τὰ μέλλοντα.

Περὶ ἑκατοντάρχων.

Ἑκατόνταρχοι δὲ, οἱ περὶ τὰ τοιαῦτα σοφώτερόν τι νοοῦντες, καὶ ταύτῃ δοκοῦντες ἐπίπροσθεν τῶν πολλῶν εἶναι.

Περὶ ἀρκτοσυρτῶν.

Οἱ δὲ τὰς ἄρκτους ἐπισυρόμενοι, βάμματα 2) ἐξαρτῶντες αὐτῶν, καὶ τῶν τριχῶν κείροντες, ταῖς γυναιξὶν ἀμφότερα ἐπο-

1) 6΄. Κεφ. ς΄, 16. — 2) βάλματα Γ.

ρέγουσιν, ὡς νόσους ἐλαύνειν καὶ βασκανίαν ἔχοντα φύσεως· ἄλλοι δὲ ὄφεις περιφέρουσιν ἐγκολπίους, γοητείαν δι' αὐτῶν μετιόντες.

Περὶ νεφοδιωκτῶν.

Νεφοδιῶκται δὲ, οἱ διὰ τῶν ἐν τοῖς νέφεσι σχημάτων τινὰ προφοιβάζοντες.

Περὶ γοήτων.

Γόητες δὲ οἱ Δαυϊτικοὺς δῆθεν ψαλμοὺς ἄδοντες, καὶ ὀνομάτων μαρτυρικῶν μεμνημένοι, καὶ αὐτῆς τῆς ὑπεραγίας Θεοτόκου, καὶ τούτοις τὴν ἐκ τῶν δαιμόνων παρενείροντες γοητείαν. Ἕτεροι δὲ τοῖς τραχήλοις τῶν παίδων συνεπτυγμένους χάρτας ἀπαιωροῦσι, ταῖς παρατυχούσαις ἐπῳδαῖς γεγραμμένους, ἐρυθροῖς ὑφάσμασιν αὐτοὺς ἐνειλίσσοντες, εἰς ἀποτροπὴν δῆθεν παντὸς ἀνιαροῦ, ἃ καὶ φυλακτήρια λέγουσι, καὶ περίαπτα. Καθῄρηνται δὲ πολλάκις καὶ ἱερεῖς ἐπὶ τῆς Συνόδου, ἄρτον τῆς μεγάλης πέμπτης τισὶ φαγεῖν ἐπορέξαντες, ἐφ' ᾧ τὰ συληθέντα εὑρεθῆναι, ἐκ τοῦ μὴ ῥᾳδίως τοῦτον καταπιεῖν· ἄλλος δέ τις ἱερεὺς μετὰ Εὐαγγελίου ξύλῳ συνδεδεμένου, καὶ κυκλικῶς περιστρεφομένου, ἐρωτήσεις περί τινων ποιούμενος ὑποθέσεων διὰ ψαλμῶν Δαυϊτικῶν, εὐθέως καθῄρηται. Τοιαῦταί εἰσι καὶ αἱ ταῖς Ἐκκλησίαις ἢ ταῖς ἁγίαις εἰκόσι προσεδρεύουσαι γυναῖκες, κἀκ τούτων ἰσχυριζόμεναι γινώσκειν δῆθεν τὰ μέλλοντα, καὶ προλέγειν κατὰ τὰς πάλαι πνεῦμα Πύθωνος ἐχούσας. Περὶ τούτων πάντων φησὶν ὁ θεῖος Χρυσόστομος, ὅτι, κἂν τῆς ἁγίας Τριάδος ὄνομα ἐπιλέγηται τοῖς τοιούτοις, κἂν ἁγίων γίνωνται ἐπικλήσεις, κἂν τὸ σημεῖον τοῦ σταυροῦ ἐπάγηται, φεύγειν δεῖ τὰ τοιαῦτα καὶ ἀποτρέπεσθαι· ἀλλὰ καὶ ἐν τῷ εἰκοστῷ πρώτῳ λόγῳ τοῦ βιβλίου τῶν ἀνδριάντων, ἔτι δὲ καὶ ἐν τῷ ε. τῶν πρὸς Ἰουδαίους λόγων, οὐ παρέργως θριαμβεύει τὰ τούτων.

Ἀγκύρας κδ'.

Ὁ δὲ κδ'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου, ἐπὶ πενταετίαν ἐπιτιμᾷ, οἳ δὴ ταῖς τῶν ἐθνῶν συνηθείαις ἀλογίστως ἀκολουθοῦντες, εἰς τοὺς ἑαυτῶν οἴκους μάντεις εἰσάγουσιν ἐπὶ ἀναιρέσει 1) δῆθεν

1) ἀνευρέσει 1375 καὶ B.

μαγειῶν, καὶ φαρμακειῶν, ὡς ἂν τοῦ τοιούτου μύσους ἐκκαθάραι τὸν οἶκον ὑπισχνουμένους· οἷα κλινοπετεῖς ἑαυτοὺς ἐκ τούτων ὑποπτεύοντες γεγονέναι, καὶ νόσῳ χρονίᾳ κατεργασθῆναι, ἢ καί τινα τῶν ἀπωλομένων δυναμένους καταμηνύειν. Τοῖς αὐτοῖς ἐπιτιμίοις ὑπόκεινται καὶ οἱ γοητευτρίαις προσερχόμενοι, καὶ ταῖς μετὰ κριθῶν μαντευομέναις.

Βασιλείου πγ'.

Τοῦτον κατὰ ῥῆμα τὸν κανόνα διέξεισι καὶ ὁ τοῦ μεγάλου Βασιλείου πγ'. πλὴν οὗτος καὶ μέχρις ἑξαετίας τοὺς καταχρησαμένους τῷ τοιούτῳ κακῷ παρατείνει, ὥστε οἱ ἅπαξ πλανηθέντες, εἶτα τοῦ κακοῦ ἀποστάντες, ἐλαττόνως ἐπιτιμηθήσονται.

Λαοδικείας λς'.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ λς'., κληρικοὺς, μάγους ὄντας, καὶ ἐπαοιδοὺς, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ τὰ λεγόμενα ποιοῦντας φυλακτήρια, παντάπασι τῆς Ἐκκλησίας ἀπορρίπτεσθαι διορίζεται· καὶ μάγοι μέν εἰσιν οἱ δαίμονας ἀγαθοποιοὺς δῆθεν ἐπικαλούμενοι πρὸς ἀγαθοῦ τινος σύστασιν, καίτοι μιαιφόνους πάντας καὶ ἀλάστορας ὄντας τῇ προαιρέσει.

Περὶ ἐπαοιδῶν.

Ἐπαοιδοὶ δὲ, οἱ γόες, οἱ δι' ἐπῳδῶν τοὺς δαίμονας ἐφελκόμενοι πρὸς τὰ οἰκεῖα θελήματα, καὶ θηρία καταδεσμοῦντες καὶ ἑρπετὰ πρὸς τὸ μὴ λυμήνασθαι τὸ κτῆνος τυχὸν, ἔξω που νυκτὸς αὐλιζόμενον· ἀλλὰ καὶ ὄφεις ἕτεροι καταγοητεύουσιν, οὕς περ δὴ καὶ μεταχειριζόμενοι, ἄδηκτοι ἐξ αὐτῶν καὶ ἀπαθεῖς κακῶν διαμένουσι.

Περὶ μαθηματικῶν.

Μαθηματικοὶ δὲ, οἱ τὰ οὐράνια σώματα δοξάζοντες ἔχειν τὴν τοῦ παντὸς κυριότητα, καὶ κατὰ τὴν κίνησιν τούτων διοικεῖσθαι τὰ καθ' ἡμᾶς. Τὰ δὲ τῆς μαθηματικῆς ἐπιστήμης εἰς δύο ταῦτα διῄρηται, ἀστρονομίαν, καὶ ἀστρολογίαν· καὶ ἡ μὲν καὶ τοῖς ἁγίοις αὐτοῖς συγκεχώρηται, ἅτε τὴν τῶν οὐρανίων ἁπάντων διδάσκουσα θέσιν τε καὶ κίνησιν, καὶ τὴν εὔτακτον αὖθις

τῶν συμπλοκὴν καὶ διάστασιν· ἡ δὲ ἀστρολογία, τουτέστιν ἡ ἐκεῖθεν προμάντευσις, καὶ καθ' εἱρμὸν δῆθεν τῶν οὐρανίων ἐκβαίνουσα, καὶ τὸ μέλλον γνωρίζουσα, οὐδαμοῦ τοῖς Πατράσιν ἐκδέδοται, ἅτε τοὺς ἁπλουστέρους γενέσει τε καὶ εἱμαρμένῃ προσέχειν καταναγκάζουσα· καὶ ἀστρολόγοι, οἱ συνεργείᾳ δαιμόνων μαντευόμενοι δι' ἀστέρων, καὶ οἷα θεοῖς τούτοις προσέχοντες. Τέσσαρα δέ εἰσι τὰ λεγόμενα μαθηματικὰ βιβλία· ἀριθμητικὴ, μουσικὴ, γεωμετρία, καὶ ἀστρονομία. Οὐ ταῦτα τοίνυν ὁ κανὼν ἀναγινώσκειν ἀπείργει, ἀλλὰ τὸ περιέργως αὐτοῖς κεχρῆσθαι, καὶ ταῖς τῶν οὐρανίων κινήσεσι πιστεύειν συμπεριφέρεσθαι τὰ ἡμέτερα, καί τινα τῶν ἐσομένων οἴεσθαι προγινώσκειν, ὡς ἐξ ἀνάγκης συμβησομένων παρὰ 1) τὴν τοιάνδε κίνησιν τῶν ἀστέρων.

Νόμος.

Ταύτῃ τοι καὶ ὁ νόμος φησίν· Ἡ μὲν γεωμετρία δημοσίᾳ διδάσκεται· ἡ δὲ μαθηματικὴ κατακρίνεται ὡς ἀπηγορευμένη 2).

Βασιλείου ζ'.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ζ'. κανόνι, φαρμακοὺς, καὶ εἰδωλολάτρας, καὶ φονεῖς, εἰς εἴκοσιν ἔτη καταδικάζει· μοιχοὺς δὲ, καὶ ἀρρενοφθόρους, καὶ ζωοφθόρους, εἰς ιέ., εἰδωλολάτρας λέγων οὐ τοὺς προδήλως ἀσεβεῖς, ἀλλὰ τοὺς μετὰ τὸ βάπτισμα γοητείας μετιόντας καὶ μαντείας· τρόπον γάρ τινα εἰδωλολατροῦσι καὶ οὗτοι, ἐπικλήσεσι χρώμενοι δαιμονίων, καὶ τὴν ἐκείνων ζητοῦντες ἐπικουρίαν· οἱ μὲν γὰρ ἀπ' ἀρχῆς εἰδωλολάτραι, μετανοοῦντες καὶ βαπτιζόμενοι, εὐθέως τῇ θείᾳ κοινωνίᾳ προσίασιν· οἱ δὲ μετὰ τὸ βάπτισμα τεθυκότες εἰδώλοις, σύνοικον διὰ βίου τὴν μετάνοιαν κέκτηνται, καὶ περὶ τὰς τούτου δυσμὰς τὸ θεῖον δῶρον λαμβάνουσιν. Ὥσπερ ἄρα καὶ ἐν τῷ ξέ. τὸν γοητείαν ἢ φαρμακείαν ἐξαγορεύοντα, τῷ τοῦ ἑκουσίως φονεύσαντος ὑπάγεται κρίματι, εἰς κ'. αὐτοὺς ἔτη τῆς κοινωνίας ἀπείργων, καὶ μάλα εἰκότως· αἱ μὲν γὰρ γοητεῖαι, δαιμόνων ἔχουσιν ἐπικλήσεις κακοποιῶν, περὶ τοὺς τάφους ἐπαδομένας, ὥστε τινὰ παρεθῆναι

1) διὰ Γ. — 2) κγ'. Βασ. Ξ', λθ'.

τὰ μέλη τυχὸν, καὶ διὰ βίου κατακλιθῆναι, καὶ ἀβίωτον αὐτῷ τὸν βίον γενέσθαι· ταύτῃ τοι καὶ γοητεῖαι παρωνομάσθησαν ἀπὸ τῶν περὶ τοὺς τάφους γόων καὶ θρήνων.

Αἱ δὲ φαρμακεῖαι ἢ ἀναιροῦσιν, ἢ τῶν φρενῶν ἐξιστῶσι, καὶ εὐκταῖον τὸν θάνατον ποιοῦσι τῷ πάσχοντι, εἴ ποτε ἀνανήψειεν, ἢ τοῖς γε προσήκουσι τῷ ἀνθρώπῳ, ἢ φίλτρου χάριν ἐνίοτε γινόμεναι, παραπαίειν καὶ οὕτω παρασκευάζουσιν.

Ἐν δὲ τῷ οϐ΄, καὶ τὸν μάντεσιν ἑαυτὸν ἐπιδεδωκότα, ἤ τισι τοιούτοις, καὶ τὰ ἐκείνων φρονεῖν προαιρούμενον, τῷ τῶν φονέων οἰκονομεῖσθαι χρόνῳ κελεύει· εἰ γὰρ καὶ τὰ χρηστήρια μετὰ τὴν τοῦ Κυρίου σάρκωσιν ἐκλελοίπασι, καὶ αἱ τῶν ψευδωνύμων προῤῥήσεις θεῶν, ἀλλά γε καὶ τήμερον δι' ἐπῳδῶν καὶ ἐνεργείας δαιμόνων ἔσθ' ὅτε συμϐαίνουσι γίνεσθαι, εἰ καὶ ψευδεῖς αἱ πλείους ἐλέγχονται· ἀλλ' οἱ μὲν τοὺς δαίμονας ἀνέδην ἐπικαλούμενοι, οὐκ ἀπεικότως τῷ τῶν φονέων ὑποϐάλλονται κρίματι· οἱ δὲ ἁγιασμὸν καὶ ἀρετὴν ὑποκρινόμενοι κέρδους ἕνεκα, μετριώτερον, οἶμαι, καὶ οὐ κατ' ἐκείνους, τὰς εὐθύνας ὑφέξουσιν.

Γρηγορίου Νύσσης β΄.

Ὁ δὲ μέγας Γρηγόριος ὁ Νύσσης, ἐν τῷ β΄. κανόνι, ταῦτα δίεισι κατὰ ῥῆμα· Οἱ πρὸς γόητας ἀπιόντες ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, ἐρωτῶνται δι' ἀκριϐείας καὶ ἀνακρίνονται, πότερον, ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει, ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον· εἰ μὲν γὰρ ἐπ' ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι Θεὸν τὸν παρὰ τῶν Χριστιανῶν πιστευόμενον, ἐκεῖνο πεποιήκασι, τῷ κρίματι τῶν ἑκουσίως ἀρνησαμένων ὑπαχθήσονται· ὁποῖον δὲ τὸ τούτων κρῖμα, ἐν τῷ ά. αὐτοῦ κανόνι ὁ ἅγιος οὗτος διαλαμϐάνει, ὃν καὶ ζήτει ἐν τῷ ά. Κεφ. τοῦ Α στοιχείου· Εἰ δέ τις, φησὶν, ἀϐάστακτος ἀνάγκῃ κατακρατήσκσα τῆς μικροψυχίας αὐτῶν, εἰς

τοῦτο προήγαγε, τὸ μέτρον τῶν ἐν πορνείᾳ πλημμεληϑάντων καὶ αὐτοὶ φυλάξουσιν, ὅπερ καὶ εἰς ἔτη παρατείνει ἐννέα. Ζήτει τὸ γ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

Νόμοι.

Ὁ διὰ θυσιῶν μαντευόμενος, ξίφει τιμωρείσθω· ὁ δὲ τοῦτον προτρεψάμενος παρακλήσει ἢ μισθῷ, ἐξορίᾳ καὶ δημεύσει ὑποκείσθω 1).

Οἱ φαρμακοὶ, ἀξιωματικοὶ ὄντες, δεπορτατεύονται· οἱ δὲ λοιποὶ, εἰς κεφαλὴν τιμωροῦνται 2).

Ὁ ἐπιτηδευσάμενος γοητείαν ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς, ἢ κατὰ σωτηρίας ἀνθρώπων μηχανησάμενος, δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖται 3).

Μηδεὶς ἐπερωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον· οἱ γὰρ μάγοι κεφαλικῶς τιμωροῦνται 4).

Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ξίφει τιμωρείσθωσαν 5).

Ἴσον ἐστὶ τὸ ἀπηγορευμένα μαθεῖν, καὶ τὸ διδάσκειν 6).

Εὐλόγως ὁ ἀνὴρ, εὑρίσκων τὴν αὐτοῦ γαμετὴν φαρμακὸν, ῥεπουδίῳ λύει τὸν γάμον· ὡσαύτως καὶ ἡ γυνὴ τὸν ἄνδρα 7).

Ὁ φάρμακον ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς ὑπόκειται τῇ αὐτῇ ποινῇ, ὡς αἰτίαν θανάτου παρασχών· ὡσαύτως καὶ ὁ προπετῶς διδοὺς φάρμακον 8).

Οἱ παραφρονῆσαί τινα φαρμάκῳ ποιοῦντες, ἐνέχονται τῷ περὶ ὕβρεως νόμῳ 9).

Τῷ περὶ φονέων νόμῳ ὑπόκειται ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον ποιῶν φάρμακον, ἢ πιπράσκων, ἢ ἔχων 10).

Εἰ καὶ μὴ κακῷ τις λογισμῷ παράσχοι γυναικὶ συλληπτικὸν, καὶ τελευτήσει ἡ λαβοῦσα, ἐξορίζεται ὁ παρασχών 11).

Εἴ τις ἐλεύθερος, ἢ δοῦλος, ἐπὶ οἱαδήποτε προφάσει δοίη πόμα εἴτε ἀνδρὶ, εἴτε γυναικὶ, εἴτε δούλῃ, εἴτε δεσποίνῃ, καὶ

---

1) κδ΄. Βασ. Ξ΄. λϑ΄. — 2) λδ΄. Βασ. Ξ΄, νά. — 3) κέ. Βασ. Ξ΄, λϑ΄. — 4) κς΄. αὐτόϑι. — 5) κζ΄. αὐτόϑι. — 6) κϑ΄. αὐτόϑι. — 7) 8 §. 3. Κώδ. 5, 17. — 8) γ΄. Βασ. αὐτόϑι. — 9) λδ΄. Βασ. Ξ΄, νά. — 10) γ΄. Βασ. Ξ΄, λϑ΄. — 11) αὐτόϑι.

ἐκ τούτου ἀσθενήσαντες ἀποθάνοιεν οἱ δεξάμενοι, ξίφει ὁ παρασχὼν τιμωρείσθω 1).

Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ, ἐπὶ φιλίᾳ τὸ δοκεῖν ἀνθρώπων, δημευόμενοι ἐξοριζέσθωσαν 2).

Ἡ δὲ ξ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος, Εἴ τις, φησὶν, ὅλως τὰ τοιαῦτα φωραθείη μαγκανευόμενος, εἴτε προφάσει σωμάτων θεραπείας, εἴτε ἀποτροπῆς τῆς τῶν καρπίμων βλάβης, τὴν ἐσχάτην εἰσπραττέσθω ποινὴν, τὴν τῶν ἀποστατῶν κόλασιν ὑφιστάμενος.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ μαλακίας.

Ζήτει τὸ κή. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ μεθυόντων.

Ζήτει τὸ λέ. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ μεταθέσεως καὶ μεταβιβάσεως ἐπισκόπων ἢ κληρικῶν.

Ζήτει τὸ θ΄. Κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ὅτι τοὺς μετανοοῦντας οὐ δεῖ ἀποβάλλεσθαι.

Ἀποστόλων νϐ΄.

Ὁ νϐ΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, Εἴ τις ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, τὸν ἀπὸ ἁμαρτίας ἐπιστρέφοντα οὐ προσ-

1) Πρ. Ν. ΛΘ΄., οζ΄. — 2) οἱ αὐτόθι.

ίεται, ἀλλὰ μυσαττόμενος ἀποβάλλεται, κατὰ τὸν παλαιὸν ἐκεῖνον δήπου Ναβάτον, καθαιρείσθω, οἷα λυπῶν τὸν Χριστὸν εἰρηκότα, Χαρὰ γίνεται ἐν τῷ Οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι 1)· ὃς διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν κλίνας τοὺς Οὐρανοὺς καταβέβηκεν· ὃς ἔφη, μὴ ἐλθεῖν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· οὗ τῆς φιλανθρωπίας οὐδεμία τῶν ἡμετέρων κρειττων ὤφθη ἁμαρτιῶν· ἀλλὰ καὶ διὰ τοῦ Προφήτου βοᾷ· Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς 2). Ζήτει ἐν τῷ ἑξῆς ζ'. Κεφαλαίῳ κανόνα μς'. τῆς ἐν Καρθαγένῃ Συνόδου.

Λαοδικείας β'.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ Συνόδου β'. κανὼν, τοὺς ἐν διαφόροις ἐξετασθέντας πταίσμασι, καὶ δι' ἐξομολογήσεως καὶ μετανοίας τοῖς κακοῖς ἀντιζύγου, καὶ, ὅ φασιν, ἐκ διαμέτρου τὸν εἰσέπειτα βίον πρὸς τὸν πρότερον ἐπιδειξαμένους, τῆς θείας ἀξιοῖ μεταλήψεως ἀξιοῦσθαι, οὐ παρὰ τὴν αὐτῶν σπουδὴν, παρὰ μέν τοι τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, καὶ τὴν ἄφατον ἀγαθότητα.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν τῆς μετανοίας τόπων.

Εἰς τέσσαρας δὲ τάξεις οἱ μετανοοῦντες διῄρηνται· εἰς τοὺς προσκλαίοντας, τοὺς ἀκροωμένους, τοὺς ὑποπίπτοντας, καὶ τοὺς συνισταμένους· καὶ προσκλαίοντες μέν εἰσιν οἱ ἔξω τῆς θύρας τοῦ εὐκτηρίου ἱστάμενοι, καὶ πρὸς τῶν εἰσιόντων τε καὶ ἐξιόντων πιστῶν εὐχήν τε αἰτούμενοι, καὶ τὴν τῆς ἁμαρτίας συγχώρησιν· ἀκροώμενοι δὲ, οἱ ἔνδον τῆς θύρας ἱστάμενοι ἐν τῷ λεγομένῳ νάρθηκι, καὶ τῶν θείων Γραφῶν, καὶ τῆς κοινῆς ἐπακούοντες διδασκαλίας, εἶθ' οὕτω μετὰ κατηχουμένων ἐξερχόμενοι· ὑποπίπτοντες δέ εἰσιν οἱ ἔνδον τῆς Ἐκκλησίας ἱστά-

1) Λουκ. ΙΕ', 7 καὶ 10. — 2) Ἡσαΐ. ΜΓ', 26. — ὁ δὲ μὴ πρῶτος εἰπὼν, ἀλλὰ μετὰ τὸ ἐλεγχθῆναι, δυσχερεστέραν εὑρίσκει τὴν συγγνώμην, προστίθεται ἐν 1875.

μενοι, κατόπιν δὲ τοῦ ἄμβωνος, καὶ μετὰ τῶν κατηχουμένων καὶ οὗτοι ἐξιόντες, ἡνίκα τὸ, Ὅσοι κατηχούμενοι ἐκφωνηθείη παρὰ τοῦ διακόνου· συνιστάμενοι δὲ, οἱ τοῖς πιστοῖς μὲν συνευχόμενοι καὶ συμψάλλοντες, τῆς δὲ τῶν ἁγιασμάτων ἀπεχόμενοι μεταλήψεως, μέχρις ἂν, ἐξήκοντος τοῦ νενομισμένου χρόνου, τὸ τέλειον αὐτοὺς τῆς θείας ἐκδέξηται κοινωνίας.

ΚΑΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι κατὰ τὴν τῶν μετανοούντων διάθεσιν ἔξεστι τῷ ἐπισκόπῳ ἢ ἀνιέναι, ἢ ἐπιτεῖναι τούτοις τὰ ἐπιτίμια.

Συνόδου πρώτης ιϐ'.

Ὁ ιϐ'. τῆς ά. Συνόδου κανὼν, κριτὴν ἐφίστησιν ἀπαραλόγιστον τὸν ἐπίσκοπον, ἢ μειοῦν τὰ ἐπιτίμια, καὶ φιλανθρωπότερόν τι βουλεύεσθαι, τοῖς ἐξ εἰλικρινοῦς διανοίας μετανοοῦσι, καὶ τῷ τοῦ Θεοῦ φόβῳ καλῶς στοιχειουμένοις, καὶ δάκρυσιν αὐτὸν ἱλεουμένοις, καὶ τὴν ἐκ τῶν ἐπιτιμίων κάκωσιν εὐχαρίστως ὑπομένουσι, καὶ τὴν τῶν ἀγαθῶν ἔργων ἄσκησιν περὶ παντὸς ποιουμένοις, κοινωνοῦσι δὲ τῶν ὄντων τοῖς δεομένοις, καὶ ἔργῳ καὶ σχήματι τὴν ἐπιστροφὴν ἐπιδεικνυμένοις· ἢ τῆς ἀκριβείας αὖθις μηδόλως ὑφίεσθαι, εἰ ἀδιαφόρως ὁρῴη καὶ ἀνειμένως τὸν ἐπιτιμηθέντα πρὸς τὴν ἐπιτίμησιν διακείμενον, καὶ τῷ σχήματι μόνῳ τῆς εἰς τὸν νεὼν παρόδου ἀρκούμενον, καὶ οὐκ ἀνιώμενον καὶ ἀναξιοπαθοῦντα, ὅτι τῶν μὲν πιστῶν ἀποδιαστέλλεται, τοῖς δὲ κατηχουμένοις, τῆς τε στάσεως καινωνεῖ, καὶ τῆς ἐκ τοῦ νεὼ ἀποφοιτήσεως.

Ἀγκύρας β', έ, ζ'.

Ταῦτα καὶ ὁ τῆς ἐν Ἀγκύρᾳ β'. διορίζεται, τὴν ἐξουσίαν τοῖς ἐπισκόποις ἀνατιθεὶς, κατά γε τὸν κάματον, καὶ τὸ ταπεινὸν τοῦ μετανοοῦντος καὶ πρᾷον, ἢ προστιθέναι, ἢ ἀφαιρεῖν τῶν ἐπιτιμίων. Ἀλλὰ καὶ ὁ έ. ἔτι καὶ ὁ ζ'. τοῖς ἐπισκόποις ἐπιτρέπει τὴν ἐξουσίαν, ἢ ἀνεῖναι ἢ ἐπιτεῖναι τοῖς μετανοοῦσι τὰ ἐπι-

τίμια, θερμότερον δηλαδὴ ἢ ῥᾳθυμότερον τὴν μετάνοιαν ἐπιδεικνυμένοις· σκοπεῖν δὲ καὶ τὸν προτοῦ βίον τούτων, καὶ τὸν εἰσέπειτα, εἴτε σωφρόνως, εἴτε ἀνειμένως ζῶσι καὶ χαύνως, καὶ οὕτω τὴν φιλανθρωπίαν ἐπιμετρεῖν.

Συνόδου ἕκτης ρβ'.

Ὁ δὲ ρβ'. τῆς ς'. Συνόδου κανὼν, Τὸν ἐξουσίαν, φησὶν, εἰληφότα παρὰ Θεοῦ λύειν τε καὶ δεσμεῖν, σκοπεῖν τε τὴν τῆς ἁμαρτίας ποιότητα χρὴ, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς τὴν ἐπιστροφὴν διάθεσιν, εἴτε πρὸς τὴν ὑγίειαν νεύσει 1), ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα, καὶ οὕτω κατάλληλον ἐπάγειν τὴν θεραπείαν τῷ τραύματι, ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος· πολυειδὴς γὰρ καὶ ποικίλη τῆς ἁμαρτίας ἡ νόσος. Πᾶς μέντοι λόγος Θεῷ, καὶ τῷ τὴν ποιμαντικὴν ἡγεμονίαν ἐγχειρισθέντι, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνοῦ ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὰ χαλινὰ ἐπιδοῦναι πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν· ἀλλ' ἑνί γε τῷ τρόπῳ, εἴτε διὰ τῶν αὐστηροτέρων καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πραοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς τὴν συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι, καὶ οἰκονομοῦντι καλῶς τὸν πρὸς τὴν ἄνω λαμπρότητα καλούμενον ἄνθρωπον· ἀμφότερα τοίνυν εἰδέναι χρὴ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας, ἢ συμπαθείας, καὶ ἐπὶ τῶν μὴ καταδεχομένων τὴν ἀκρότητα, τῷ τῆς συμπαθείας τύπῳ κεχρῆσθαι, ὡς ὁ ἱερὸς καὶ μέγας διδάσκει Βασίλειος.

Βασιλείου γ'. οδ'.

Ἐν γὰρ τῷ γ'. αὐτοῦ κανόνι, Καθόλου, φησὶ, ἀληθέστερον ἴαμα τοῦ σφάλματος, ἡ τῆς ἁμαρτίας ἀναχώρησις, καὶ τὸ δι' ἐγκρατείας καὶ κακοπαθείας τὴν σάρκα δουλαγωγῆσαι, καὶ ὑποτάξαι τῷ πνεύματι· οὕτω γὰρ τελείαν ἡμῖν ὁ μετανοῶν παρέξει

1) νεύει 1340 καὶ Γ.

τῆς ἰατρεύσεως αὐτοῦ τὴν ἀπόδειξιν. Δεῖ δὲ τοὺς τῶν ψυχῶν οἰκονόμους, ἀμφότερα εἰδέναι, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· καὶ εἰ μὲν καταδέχονται τὴν ἀκρίβειαν οἱ ἐξομολογούμενοι, κατ' ἐκείνην οἰκονομεῖν αὐτούς· εἰ δὲ σκληρύνοιντο, ἔπεσθαι τῇ συνηθείᾳ τῆς συγκαταβάσεως.

Ἐν δὲ τῷ οδ΄. Οἱ δεσμεῖν καὶ λύειν ἐξουσίαν εἰληφότες παρὰ Θεοῦ, μεμπτέοι οὐκ ἂν εἶεν, εἰ, τῶν ἐξομολογουμένων σπουδαίαν καὶ θερμοτέραν τὴν μετάνοιαν ἐπιδεικνυμένων, αὐτοῖς ἀρέσειεν ἐλαττῶσαι τοὺς ὁρισθέντας τῶν ἐπιτιμίων χρόνους, τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας ἐγγυωμένης ἡμῖν, τοὺς μετὰ μείζονος ἐξομολογουμένους πόνου, θᾶττον τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

Πρᾶξις Συνοδική.

Ἐπὶ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Λουκᾶ, στρατιώτῃ τινὶ φόνον ἑκούσιον δράσαντι, ἐπίσκοπός τις ἐπὶ μετρίῳ πάνυ καιρῷ ἐγγράφως αὐτῷ τὴν ἀθώωσιν δέδωκε, καὶ ἐγκαλούμενος παρὰ τῆς Συνόδου, τὸν παρόντα κανόνα προέτεινεν· ἀλλ' ἤκουσεν, ὅτι τοῖς ἀρχιερεῦσιν ἐδόθη μὲν αὔξειν τε καὶ μειοῦν τὰ ἐκ τῶν κανόνων ἐπιτίμια, οὐ μὴν ἀνεξετάστῳ καὶ ὑπερβαλλούσῃ χρῆσθαι συγκαταβάσει. Ὅθεν τὸν μὲν στρατιώτην τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις ἡ Σύνοδος καθυπέβαλε· τὸν δὲ ἀρχιερέα, δίκας ἀπήτησε, τὴν ἐν ὡρισμένῳ καιρῷ τῆς λειτουργίας ἐπίσχεσιν.

Γρηγορίου γ΄.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος, ἐν τῷ γ΄. κανόνι, Ἐπὶ τῶν σπουδαιοτέρᾳ κεχρημένων, φησὶ, τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τούτοις τὴν κοινωνίαν, ὅπως ἂν τὴν τοῦ θεραπευομένου κατάστασιν δοκιμάσειεν· ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τοὺς μαργαρίτας ἀπείρηται, οὕτω τὸ ἀποσερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ τῆς ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστί· πανταχοῦ γὰρ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἷα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, καὶ μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν

ἀρκεῖν, (τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο;) ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς θεραπεύοντος 1). Ἔστι δέ, φησι, διαφορά τις ἐν τῷ λόγῳ τῆς μετανοίας 2) τοιαύτη· ὁ μὲν ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτὸ τὸ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας ἀρξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις· ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀπελεγχθεὶς ἀκουσίως 3), ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ, ὥστε καθαρισθέντα δι' ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων ἐλθεῖν κοινωνίαν. Ζήτει καὶ ἐν τῷ λϐ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου πϐ'. καὶ ἐν τῷ κγ'. Κεφ. τοῦ Κ στοιχείου κανόνα τοῦ αὐτοῦ ξά. καὶ ἐν τῷ ή. Κεφ. τοῦ Σ στοιχείου κανόνα τοῦ αὐτοῦ ο'. καὶ ἐν τῷ κγ'. Κεφ. τοῦ Κ στοιχείου κανόνα Γρηγορίου τοῦ Θαυματουργοῦ ιά.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ β'. λόγου περὶ ἱερωσύνης.

Ὁ δὲ θεῖος Χρυσόστομος, ἐν τῷ β'. τῶν περὶ ἱερωσύνης λόγῳ, Οὐχ ἁπλῶς, φησι, πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μή ποτε ῥάψαι τὸ διερρωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι, καὶ τὸ πλέον τῇ τοῦ κόσμου δεδεμένοι τρυφῇ, ἔτι καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρὸν ἐν οἷς ἁμαρτάνουσιν ἐπιστρεφόμενοι, δύναιντ' ἂν, εἰ καὶ μὴ τέλεον, ἀλλ' οὖν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν. Ἐὰν δὲ ἀθρόον τις ἐπαγάγῃ τὴν παίδευσιν 4), καὶ τῆς ἐλάττονος αὐτοὺς ἀποστερήσει παιδεύσεώς τε καὶ διορθώσεως· ψυχὴ γὰρ, ἐπειδὰν ἀπερυθριάσαι βιασθῇ, εἰς ἀνελπιστίαν 5) ἐμπίπτει, καὶ οὔτε προσηνέσι λόγοις εἴκει λοιπὸν,

1) παρὰ Γ. ἀναγινώσκεται ἐνταῦθα· Φησὶ γὰρ καὶ ὁ θεῖος Χρυσόστομος, ἐν τῇ πρὸς Δωρόθεον πρώτῃ ἐπιστολῇ, ὅτι οὐ χρόνων ποσότητι, ἀλλὰ διαθέσει ψυχῆς ἡ μετάνοια κρίνεται. — 2) θεραπείας Γ. — 3) ἄκων ἐλεγχθεὶς Γ. — 4) κόλασιν ἤτοι τὴν παίδευσιν B_1 — 5) ἀναλγησίαν Γ.

οὔτε ἀπειλαῖς κάμπτεται, οὔτε εὐεργεσίαις προτρέπεται, ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ Προφήτης κακίζων ἔλεγεν· Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας 1)· διὰ τοῦτο πολλῆς δεῖ συνέσεως τῷ ποιμένι, καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν· ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοί, καὶ εἰς ἀπόγνωσιν τῆς αὐτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων, οὕτως εἰσί τινες, οἳ, διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον, εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μεῖζον ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς, καταλλήλως τὰ παρ' ἑαυτοῦ προσάγειν τῷ προσερχομένῳ, ἵνα μὴ μάταιος αὐτῷ γένηται ἡ σπουδή.

Βασιλείου πδ', πέ.

Ὁ δὲ μέγας Βασίλειος, ἐν πδ'. κανόνι, Πάντα δὲ ταῦτα γράφομέν, φησιν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας· οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. Ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν ἐθέλωσιν, ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ παραδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος· ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι, δεδιδάγμεθα ἀκούειν, ὅτι ὁ σώζων σῶζε 2) τὴν σεαυτοῦ ψυχήν.

Ἐν δὲ τῷ πέ. παραινεῖ τοῖς ἀρχιερεῦσι καὶ πᾶσι τοῖς δεσμεῖν καὶ λύειν ἔχουσιν ἐξουσίαν, μὴ συναινεῖν τοῖς ἁμαρτάνουσιν, ἐν τῷ τῆς κοινωνίας ἀνέχεσθαι τῶν ἐπιμενόντων ταῖς ἁμαρτίαις, κἀντεῦθεν τούτοις συναπόλλυσθαι· ἀλλὰ διαμαρτύρασθαι μὲν αὐτοῖς νυκτὸς καὶ ἡμέρας, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, μὴ συναπάγεσθαι δὲ τούτων τῇ πονηρίᾳ, καὶ εὔχεσθαι μὲν τούτους κερδᾶναι, καὶ τῆς παγίδος ἐξελέσθαι τοῦ πονηροῦ· εἰ δὲ μὴ οἷοί τέ, φησι, γενοίμεθα, τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως σπουδάσωμεν περισώσασθαι.

---

1) Ἱερεμ. Γ', 3. — 2) σῶσον Γ. — Γεν. Γ', 3.

Καρθαγένης μς'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μς', Μίμους, καὶ σκηνικοὺς, καὶ πάντας τοὺς πλημμελῶς βιοῦντας, καὶ τοῖς ἄλλοις αἰτίους τῆς διακεχυμένης ζωῆς, τερατοποιούς τε, καὶ ὀρχηστὰς, ἔτι γε μὴν ἀποστάτας, τοὺς τὰ Χριστιανῶν ἐξομωσαμένους δηλαδὴ, διὰ μετανοίας πρὸς Θεὸν ἐπιστρέφοντας, μὴ ἀποπέμπεσθαι κελεύει, ἀλλὰ μᾶλλον διδόναι τούτοις χάριν, ἤτοι ἄφεσιν τῶν ἡμαρτημένων, (ὥς που τῷ μακαρίῳ Παύλῳ, Χάριτι ἐστὲ σεσωσμένοι), καὶ καταλλαγὴν, ἤτοι λύσιν τῶν ἐπιτιμίων 1).

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι δεῖ τοὺς ἔτι μετανοοῦντας, τῆς τελευτῆς ἐφισταμένης, τῆς θείας ἀξιοῦσθαι κοινωνίας· εἰ δὲ ἀνακληθεῖεν, ταύτης πάλιν ἀπέχεσθαι.

Συνόδου Α', ιγ'.

Ὁ ιγ'. τῆς ά. Συνόδου κανὼν, Τοὺς ἔτι τοῖς τῆς μετανοίας ἐπιτιμίοις ἐνεχομένους, καὶ νόσῳ δεινῇ περιπεπτωκότας, ὅσον εἰκάσαι, τὴν ἐκδημίαν ἐπαπειλούσῃ, τοῦ τελείου καὶ ἀναγκαιοτάτου ἐφοδίου, τῆς τῶν ἁγίων μυστηρίων, φημὶ, μεταλήψεως, κελεύει μὴ στέρεσθαι, ἀλλὰ μετὰ δοκιμασίας τοῦ ἐπισκόπου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς τούτων ἀξιοῦσθαι· τῆς νόσου δὲ, εἰ οὕτω συμβαίη, ῥαΐσαντας, καὶ πρὸς τὴν ὑγίειαν ἐπανιόντας, τῆς μὲν θείας εἴργεσθαι κοινωνίας, ἐν τῇ χώρᾳ δὲ αὖθις στῆναι τῶν προτέρων ἐπιτιμίων, ἕως ἂν ὁ νενομισμένος αὐτῶν χρόνος ἐκμετρηθῇ.

Ἀγκύρας ς'.

Ταῦτα καὶ ὁ ς'. τῆς ἐν Ἀγκύρᾳ διορίζεται, τῷ ἔτι μετανοοῦντι, εἰ κίνδυνος ἐπισυμβαίη, καὶ προσδοκία θανάτου ἐκ νόσου, ἢ ἄλλης οἱασοῦν προφάσεως, τοῦτον εἰς κοινωνίαν μὲν, ἀλλ' ἐπὶ ὅρῳ δεχθῆναι· τὸν θάνατον γὰρ ἐκφυγόντι κοινωνεῖν οὐκ ἐξέσται, τοῦ ὡρισμένου μὴ ἐξήκοντος καιροῦ τῶν ἐπιτιμίων.

1) Ἐρρ. Β', 5.—ἐν 1173 ἀναγινώσκεται ἐνταῦθα ὁ κανὼν ιδ'. τῆς Α'. Συνόδου.

Γρηγορίου Νύσσης έ.

Ο δὲ έ. τοῦ μεγάλου Γρηγορίου Νύσσης, Εἰ δέ τις, φησὶ, μὴ πληρώσας τὸν χρόνον, τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύει τοῦ βίου, κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία, μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι· εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ᾧ ἦν πρὸ τῆς κατ' ἀνάγκην δοθείσης αὐτῷ κοινωνίας.

Ταῦτα ἡ τῶν Πατέρων φιλάνθρωπος βούλεται γνώμη, εἰ προσπελάσειε τὸ χρεὼν τῷ ἔτι καθαιρομένῳ τοῖς φαρμάκοις τῆς μετανοίας, καὶ ἡ κυρία παρεῖναι δοκεῖ, ἐφεῖσθαι τοῖς πρεσβυτέροις, κοινωνίαν αὐτῷ μεταδοῦναι, ὡς μὴ ἀποβιῶναι μηδένα παρ' αὐτοῖς δεδεμένον· ἀναῤῥωσθέντα δὲ πάλιν τὸν μήπω τὸ τοῦ καιροῦ πεπληρωκότα διάστημα, τοῖς προτέροις ὑπόδικον εἶναι, καὶ παρὰ τῶν πρεσβυτέρων περιμένειν τῆς συγγνώμης τὸ σύνθημα, τοῦ χρόνου δηλαδὴ τῆς μετανοίας, μετὰ τοῦ ῥύπου τῆς ἁμαρτίας δαπανηθέντος 1).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι τῶν μετανοούντων τοὺς λογισμοὺς δέχεσθαι, καὶ λύειν καὶ δεσμεῖν τὰ ἡμαρτημένα, τοῖς ἐπισκόποις ἐδόθη, κατ' ἐπιτροπὴν δὲ τούτων, καὶ τοῖς πρεσβυτέροις.

Καρθαγένης ς', ζ', μγ'.

Ὁ ς'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, Τὴν τοῦ χρίσματος ποίησιν, τὴν τοῦ ἁγίου μύρου δηλαδὴ 2) τελετὴν, καὶ τὴν τῶν κορῶν ἀφιέρωσιν, κατά τι παλαιὸν γινομένην ἔθος, καὶ τὴν τῶν μετανοούντων καταλλαγὴν, ὅπερ ἐστὶν ἡ τῶν λογισμῶν ἐξαγγελία, καὶ ἡ τῶν ψυχικῶν ἰατρεία τραυμάτων 3), διὰ τῶν τῆς μετανοίας ἐπιτιμίων, καὶ τῆς πρὸς τὸ κρεῖττον ἐπιστροφῆς, (οὕτω γὰρ ὁ ἄνθρωπος τῷ Θεῷ καταλλάττεται), ταῦτα πάντα

1) διασπασθέντος B.—2) τὸ δηλαδὴ οὐ κεῖται παρὰ B.—3) σφαλμάτων B.

παρὰ πρεσβυτέροις ἀπείρηκε γίνεσθαι· τοῖς γὰρ ἀρχιερεῦσιν ἡ τούτων ἀνεῖται διοίκησις, ἅτε δεσμεῖν καὶ λύειν δεδυνημένοις, τύπον φέρουσι τῶν Ἀποστόλων, οἷς τὴν ἐξουσίαν ταύτην ὁ Χριστὸς ἐνεχείρισεν· ὥστε οἱ χωρὶς ἐπιτροπῆς ἐπισκόπου δεχόμενοι λογισμοὺς ἀνθρώπων ἱερωμένοι μοναχοὶ κακῶς ποιοῦσι, καὶ λίαν ἐπικινδύνως· οὔτε γὰρ λύειν, οὔτε δεσμεῖν ἔχουσιν ἐξουσίαν, πολλῷ δὲ μᾶλλον οἱ ἀνίερoι μοναχοί· τούτοις γὰρ καὶ τὸ ἐπιτρέψαι ὅλως λογισμοὺς ἀνθρώπων ἀναδέχεσθαι καὶ κρίνειν, ἥκιστα θεμιτόν. Ἀλλὰ καὶ ὁ ἕβδομος, τὴν καταλλαγὴν τῶν μετανοούντων, εἰ περὶ τὴν ζωὴν κινδυνεύουσιν, οὐκ οἴεται δεῖν τοὺς πρεσβυτέρους ποιεῖν, ἐπιτροπῆς ἄνευ τοῦ ἐπισκόπου.

Ταῦτα καὶ ὁ μγ΄. διοριζόμενος, Εἰ δὲ ἄπεστι, φησὶν, ὁ ἐπίσκοπος, καὶ ὁ ἐν μετανοίᾳ ὢν ἐν χρόνῳ κινδύνου γεγένηται, καταλλαττέτω τοῦτον καὶ ὁ πρεσβύτερος. Ζήτει καὶ τὸ ἡ. Κεφ. τοῦ Κ στοιχείου· καὶ ἐν τῷ λά. Κεφ. τοῦ Ε στοιχείου κανόνα μ΄. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου.

Ὅτι καὶ τοῖς πολιτικοῖς ὕστερον νόμοις φιλανθρωπότερον ἔδοξε ταῖς τιμωρίαις κεχρῆσθαι.

Ἀλλὰ καὶ οἱ πρεσβύτεροι τῶν νόμων ἐπὶ τὸ φιλανθρωπότερον, καὶ οὐχ ὡς εἶχον πρότερον κρίσεως, ἐν τῇ λεγομένῃ τῶν νόμων ἀνακαθάρσει μεταβέβληνται· ἀναιρεῖ γὰρ αὕτη τὸ εὐθὺς ἀναιρεῖσθαι τοὺς μεγάλοις ἁλωκότας ἐγκλήμασιν. Ὁ γὰρ τὴν ἀνακάθαρσιν ταύτην συνθέμενος βασιλεὺς, οὐδεμίαν τῶν ἐν τοῖς διγέστοις ἢ ταῖς διατάξεσιν ἀπάνθρωπον ποινὴν προσήκατο· οὔτε γὰρ κεφαλῆς ἀφαιρεῖν ἐθέσπισεν, οὔτε καταλεύειν, ἢ καίειν, ἢ βρόχον ἐξάπτειν· ἀπείρηκε δὲ καὶ τὴν ἐν τῷ τῆς θαλάττης βυθῷ πνιγμονήν· εἰ δὲ καὶ ὑποσχεῖν τινας κεφαλικὰς ἔσθ' ὅτε κελεύει ποινὰς, ἀλλ' οὐ τὰς θανατηφόρους ἐκείνας φησὶ, τὸ δὲ ὑπερορίσαι, ἢ ἐν εἱρκτῇ περιορίσαι, τὴν τῶν ὀφθαλμῶν ἐκκοπὴν, τὴν ἀφαίρεσιν τῆς χειρὸς, καὶ τὴν ἄλλην περὶ τὸ σῶμα λώβην, ἢ δύναιτ' ἂν καὶ ἐπιστροφῆς καιρὸν παρασχεῖν τῷ τιμωρουμένῳ, τῇ τοῦ χρόνου παρατάσει, καὶ τῶν ἐπταισμένων μετάνοιαν· πᾶσι γὰρ τοῖς νόμοις τῶν νεαρῶν ἐπὶ τὸ φιλανθρωπότερον δοκεῖ τοὺς προλαβόντας ἑρμηνεύεσθαι νόμους, καὶ οὕτω τὰς ἀποφά-

σεις γίνεσθαι. Εἰ δὲ οἱ πολιτικοὶ νόμοι οὕτω μεταποιοῦνται φιλανθρωπίας, πολλῷ μᾶλλον οἱ τοῖς Ἐκκλησίας· ἐκκόπτειν γὰρ τοῦ σώματος τῶν Χριστιανῶν τοὺς αἱρετικοὺς δεδιδάγμεθα, πρὸς δὲ καὶ τοὺς ἀτόποις ἐνεχομένους ἐγκλήμασι, τιμωρεῖσθαι δὲ οὐ μεμαθήκαμεν, ἀλλ' ἀμεταθέτως ἔχοντας, τῷ πολιτικῷ νόμῳ παραδιδόναι, ὡς πρὸς τῶν ἀρχόντων τὰς κατ' αὐτῶν ἀποφάσεις ἐκφέρεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ μιαροφαγησάντων.

Γρηγορίου τοῦ Θαυματουργοῦ ά.

Ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς, ἐν τῷ ά. κανόνι, Οὐ βαρεῖαν ἐμποιεῖ, φησι, τὴν βλάβην, εἰ τῶν ἐν τοῖς βαρβάροις ἀπηγορευμένων βρωμάτων, ἢ καὶ εἰδωλοθύτων ἐγεύσαντο οἱ αἰχμάλωτοι, δι' ἀνάγκην καὶ βίαν σωματικὴν, τῆς φύσεως τραφῆναι βιαζομένης· αὐτὸς γὰρ εἴρηκεν ὁ Σωτὴρ, ὅτι Οὐ τὰ εἰσπορευόμενα εἰς τὴν κοιλίαν κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα 1). Διά γε μὴν τὴν μιαροφαγίαν ἠττόνως ἐπιτιμηθήσονται, εἰ καὶ τῆς νενομισμένης τροφῆς ἀπορίᾳ τῶν ἀπειρημένων ἥψαντο, δουλείας ζυγῷ πιεζόμενοι· εἰ δὲ τρυφὴν περὶ πλείονος ποιούμενοι καὶ ἀδδηφαγίαν, οὐδὲ τῶν μεμολυσμένων ἀπέσχοντο, διαβέβληνται, διὸ δὴ καὶ σφοδρότερον ἐπιτιμηθήσονται. Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Α στοιχείου κανόνα ζ'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ μίμων καὶ σκηνικῶν.

Καρθαγένης ξγ'.

Ὁ ξγ'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, Τοὺς μίμους καὶ σκηνικοὺς, ἐκ τῆς ἑλληνικῆς ὡρμημένους θρησκείας, καὶ βαπτι-

1) Ματθ. ΙΕ, 11.

σαμένους, μὴ ἀναγκάζεσθαι αὖθις παρεγγυᾷ ὑπὸ τοῦ δήμου τὰ τῆς παλαιᾶς μετιέναι κακίας, εἰ καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέος καὶ ἄκοντες εἵλκοντο ταῦτα ἐπιδείκνυσθαι, κατά τι παλαιὸν ἔθος, ἐν ταῖς μεγίσταις καὶ μάλιστα τῶν πόλεων, ἔνθα καὶ τὰ θέατρα ἦν. Τῶν δὴ μίμων καὶ σκηνικῶν, τῶν διάφορα πρόσωπα δηλαδὴ μιμουμένων καὶ ὑποκρινομένων (σκηνὴν γὰρ λέγουσι τὴν ὑπόκρισιν), τοὺς μὲν ὑπ' ὄψιν τοῦ Βασιλέως ταῦτα ὑποκρινομένους, ἐντίμους ἔχουσι τῆς πολιτείας οἱ νόμοι· οἵ γε μὴν ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις συνάξεσι γέλωτα τοῖς ὁρῶσι κινοῦντες, τοῖς ἐπὶ κόρρης ῥαπίσμασι καὶ ψοφήμασι, ἄτιμοι τοῖς νόμοις λογίζονται.

Ζήτει ἐν τῷ η'. Κεφ. τοῦ Δ στοιχείου κανόνα ρκθ'. τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἐν τῷ ά. Κεφ. τοῦ Θ στοιχείου κανόνα νά. τῆς ς'. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ μισθώσεως.

Νόμοι.

Ἐὰν χωρὶς αἰτίας καταλείπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν 1).

Ὁ μισθωσάμενος ἵππον ἐπὶ τὸ βαστάσαι τι δῆλον, καὶ βαρύτερον ἐπιθεὶς καὶ βλάψας, ἐνέχεται ὑπὲρ τῆς βλάβης 2).

Ἐὰν χρήσηταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τὴν συμβᾶσαν ἐπ' αὐτῷ βλάβην ἢ θάνατον, τὸν χρησάμενον ὁρᾷν, καὶ τὸ ἀζήμιον ποιεῖσθαι τοῦ κυρίου τοῦ ἵππου 3).

Οὐ δύναται ἐκβαλεῖν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, πρὸ τοῦ ὡρισμένου χρόνου, κἂν ἄλλος αὐτοῦ πλείονα εἰσαγάγῃ μισθώματα, καὶ ἂν εὐγνωμονῇ ἐκεῖνος περὶ ὃ ὡμολόγησε δοῦναι μίσθωμα 4).

---

1) νδ'. Βασ. Κ', ά. — 2) λ'. αὐτόθι. — 3) Πρ. Ν. Λθ', ν'. — 4) πγ'. Βασ. Κ', ά. — Ἐπιτ. Χ'. κς'.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ μνηστείας.

Νόμος.

Ὁ τὴν ἰδίαν μνηστὴν πρὸ τῆς ἥβης, ἤτοι τοῦ ιγ΄. χρόνου, φθείρας, εἰ μὲν οἱ τῆς κόρης γονεῖς οὐ βούλονται τὴν τοιαύτην διαλῦσαι μνηστείαν, ἀναμενέτω τοῦ γάμου τὸν χρόνον· εἰ δὲ διὰ τὴν φθορὰν διαλῦσαι βούλονται, ἀπαρεμποδίστως ἡ τοιαύτη λυέσθω μνηστεία, καὶ ὁ φθορεὺς, τῆς ἰδίας αὐτοῦ ὑποστάσεως τὸ τρίτον μέρος τῷ μέρει διδότω τῆς κόρης 1). Ζήτει καὶ τὸ ιέ. Κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Περὶ μοιχείας.

Γρηγορίου Νύσσης δ΄.

Ὁ Νύσσης μέγας Γρηγόριος ἐν τῷ δ΄. κανόνι, Ἤρεσέ, φησί, τισι τῶν ἀκριβεστέρων, καὶ τὸ κατὰ τὴν πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν, διότι μία ἐστὶν ἡ νόμιμος συζυγία καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα· πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. Οὐκοῦν, εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ, πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. Οὐκοῦν οὐ πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία, τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς, Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν 2). Πλὴν ἀλλ᾽ ἐπειδὴ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ, εἴτουν οἰκονομία καὶ συγκατάβασις, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς

1) Πρ. Ν. Λθ΄, ξί. — 2) Παροιμ. Ε. 20.

ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν, μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. Καὶ καθολικὴ μέν ἐςι ταύτης θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. Ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ κατεμέμικται, διὰ τοῦτο διπλασίων ὥρισθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσιν, ἐπεὶ καὶ διπλῆ τούτοις ἡ ἁμαρτία, μία μὲν, ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ, ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. Ἐπεὶ τοίνυν οἱ ἐν πορνείᾳ μολυνθέντες δι' ἐτῶν ἐννέα τῆς κοινωνίας ἀξιοῦνται, ἡ κατὰ τὴν μοιχείαν ἁμαρτία τῷ χρόνῳ διπλασιάζεται, εἰς δεκαοκτὼ χρόνους ἐκτεινομένη· πρὸς δὲ τὴν τοῦ μολυνθέντος διάθεσιν, ἢ θᾶττον, ἢ βραδύτερον, ἡ τοῦ ἀγαθοῦ μετουσία συγχωρεῖται. Ζήτει καὶ τὸν ά. τούτου κανόνα ἐν τῷ ά. Κεφαλαίῳ τοῦ Α στοιχείου.

Βασιλείου νή.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ νή. κανόνι, τὸν μοιχὸν εἰς δεκαπέντε ἔτη τῆς κοινωνίας ἐκβάλλει.

Ἀγκύρας κ'.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ κ'. κανὼν, τοῦ μοιχοῦ καὶ τῆς μοιχαλίδος τὸ ἐπιτίμιον μέχρις ζ'. συστείλας ἔτους, μετὰ τὴν τούτων ἐκμέτρησιν, καὶ τοῦ τελείου τυχεῖν αὐτοὺς ἀξιοῖ.

Ἀποστόλων ξά.

Ὅ γε μὴν ξά. τῶν ἁγίων Ἀποστόλων, τὸν ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ οἱᾳδήποτε ἀπειρημένῃ πράξει, φανερῶς ἐλεγχθέντα, μὴ ὅτι γε εἰς ἱερωσύνην, ἀλλ' οὐδὲ εἰς κλῆρον ἔρχεσθαι τὸ σύνολον συγχωρεῖ.

Νεοκαισαρείας ή.

Ὁ δὲ ή. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανὼν, τὸν τῆς μοιχευθείσης γυναικὸς ἄνδρα, οὐ θεμιτὸν εἶναι θεσπίζει εἰς ὑπηρεσίαν οἱουδήτινος ἱέναι βαθμοῦ· τὸν δὲ ἱερωμένον, τῆς γυναικὸς αὐτοῦ μοιχευθείσης, ἢ διαζυγῆναι ταύτης κελεύει, ἢ μὴ βουλόμενον ἀποστῆναι, τῆς ἱερωσύνης ἀφίστασθαι· μολυνόμενος γὰρ τῇ

τῆς μεμιασμένης ὁμιλίᾳ, οὐκ ἂν εἴη δίκαιος, ἀκάθαρτος ὢν, τῶν καθαρῶν καὶ ἁγίων μυστηρίων ἐφάπτεσθαι· εἰ γὰρ καὶ ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν, καὶ συγχωρεῖν τὸ ἁμάρτημα, ἀλλὰ τοῖς ἱερωμένοις τοῦτο οὐ δέδοται, κατὰ τὸν κελεύοντα ιή. Ἀποστολικὸν κανόνα, μὴ ἱερᾶσθαι τὸν διαβεβλημένῃ γυναικὶ συνοικοῦντα, ὃν καὶ ζήτει ἐν τῷ δ'. Κεφαλ. τοῦ Γ στοιχείου.

Βασιλείου λδ'.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ λδ'. κανόνι, Τὰς μοιχευθείσας, φησὶ, καὶ δι' εὐλάβειαν καὶ τὸν τῆς μελλούσης κρίσεως φόβον τὴν ἁμαρτίαν ἐξομολογουμένας, ἢ καὶ ὁπωσοῦν ἐλεγχομένας ὑπό τε τοῦ ὄγκου τυχὸν τῆς γαστρὸς, ἢ καὶ ἀπὸ τοῦ τὸ βρέφος ἀποτεκεῖν, ἀποδήμου τοῦ ἰδίου ὄντος ἀνδρὸς, οὐκ ἔφασαν δεῖν οἱ Πατέρες ταύτας δημοσιεύειν, ἐκ τοῦ τοὺς τόπους τῶν ἐπιτιμίων ἀναγκάζειν αὐτὰς διιέναι, τὸν τοῦ προσκλαίοντός, φημι, τοῦ ἀκροωμένου, καὶ τοῦ ὑποπίπτοντος, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις. Ὁ γὰρ τῆς τοιαύτης ἀνὴρ, ἐξιοῦσαν τῆς Ἐκκλησίας ὁρῶν μετὰ τῶν ἐν ἐπιτιμίοις ὄντων, καὶ περιφανεστέρας οὐ δεηθεὶς μαρτυρίας τοῦ τὸν γάμον αὐτῷ διορυγῆναι, αὐτίκα διαχρήσεται ταύτην· Μεπτὸς γὰρ ζήλου, κατὰ τὸν Σολομῶντα, θυμὸς ἀνδρὸς αὐτῆς 1)· ταύτῃ τοι καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπέταξαν, καὶ συνεύχεσθαι χωρὶς κοινωνίας, ἄχρις ἂν ὁ τῆς μετανοίας χρόνος ἐκμετρηθῇ.

Ἐν δὲ τῷ λζ', Ὁ ἀλλοτρίᾳ γαμετῇ, ἢ μεμνηστευμένῃ ἑτέρῳ συμφθειρόμενος, καὶ, μετὰ τὸ ἀφαιρεθῆναι ταύτην, γαμετῇ συνοικήσας, ἐπὶ μὲν τῇ πρώτῃ, μοιχείαν ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνέγκλητος ἔσται, ἐλευθέρᾳ οὔσῃ ἀνδρός.

Ἐν δὲ τῷ λθ', Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι, φησὶ, τουτέστιν ἡ μοιχευθεῖσά τινι, καὶ μετὰ θάνατον τοῦ νομίμου ἀνδρὸς τῷ μοιχῷ, νόμῳ δῆθεν γάμου μιγεῖσα· οὐ γὰρ συγχωρεῖται τούτῳ συνοικεῖν ἡ τοιαύτη, οὔτε παρὰ τῶν τῆς Ἐκκλησίας, οὔτε παρὰ τῶν πολιτικῶν νόμων· καὶ εἰ μὴ ἀποσταίη,

1) Παροιμ. ς', 34.

οὐ λύεται ταύτης ἡ ἁμαρτία, καὶ εἰ τὸν χρόνον ἐκτελέσειε τῶν ἐπιτιμίων. Ζήτει καὶ τὸ έ. Κεφ. τοῦ Γ στοιχείου ἀλλὰ δὴ καὶ τὸ ις'.

Νόμοι.

Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι 1).

Πάντας, ὅσοι τὰς γυναῖκας αὐτῶν μοιχευομένας εὑρίσκοντες μὴ ἀπολύουσι, τιμωρεῖσθαι κελεύομεν· πορνοβοσκός ἐστιν, ὁ τὴν ἑαυτοῦ γαμετὴν μοιχευθεῖσαν μὴ ἀπολύσας, οὐ μὴν ὅ ψιλῶς ὑποπτεύσας 2).

Ἀλλὰ ταυῦν, καὶ μετὰ τὴν καταδίκην, δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν ριζ'. Ἰουστινιάνειον νεαρὰν, Κελεύομεν, λέγουσαν, τὴν μοιχευθεῖσαν γυναῖκα, ταῖς προσηκούσαις ὑποβαλλομένην ποιναῖς, μοναστηρίῳ ἐμβάλλεσθαι· καὶ εἰ μὲν εἴσω διετίας ὁ ἀνὴρ αὐτὴν ἀναλαβεῖν βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο ποιεῖν, καὶ συνοικεῖν αὐτῇ, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ, οὐ γὰρ καταβλάπτεται ὁ γάμος διὰ τὰ ἐν τῷ μεταξὺ γεγονότα· εἰ δὲ ὁ προειρημένος χρόνος παρέλθοι, ἢ ὁ ἀνὴρ, πρὶν ἀναλαβεῖν αὐτὴν, τελευτήσειε, κελεύομεν ἀποκείρεσθαι τὴν γυναῖκα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν 3).

Εἰ περὶ μοιχείας ὁ ἀνὴρ κατηγορήσας τῆς γυναικὸς ἀπελέγξειε, τηνικαῦτα, χωρισμοῦ γενομένου, ἔχειν τὸν ἄνδρα κελεύομεν, πρὸς τῇ πρὸ γάμου δωρεᾷ, καὶ τὴν προῖκα· καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα, καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι· εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτῆς συνοικεσίου, καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι· καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον, ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι· καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γαμετὴν, τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς αὐτῆς περιουσίαν, εἰ μέν εἰσιν ἀνιόντες ἢ κατιόντες, ἕως τρίτου

1) Βασ. ς'. ιθ'. — 2) λ'. Βασ. Ξ', λη'. — 3) Νεαρὰ Ἰουστ. ρλδ'. κεφ. ι'.

βαθμοῦ ταύτην λαμβάνειν αὐτούς· εἰ δὲ μὴ, προσκυροῦσθαι ταύτην τῷ δημοσίῳ 1).

Οἱ μοιχοὶ, τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τοῦ τοιούτου ἀσεβήματος γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι, διηνεκεῖ παραπεμφθήτωσαν ἐξορίᾳ 2).

Ἀλλὰ καὶ ἡ λϐ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος, τὰς προσηκούσας ποινὰς διορίζεται τοῖς μοιχοῖς καὶ ταῖς μοιχαλίσιν.

Ἡ δὲ λή. 3), ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζει, καὶ διορίζεται, τὸν μὲν ἄνδρα τῆς μοιχευθείσης κερδαίνειν τὴν προῖκα, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι· τὰ δὲ τῆς προικὸς ἐπέκεινα πράγματα, τοὺς παῖδας αὐτῆς καὶ τὸ μοναστήριον διανέμεσθαι· ἢ, παίδων μὴ ὄντων, τοὺς γονέας αὐτῆς ἢ κατὰ γένος ἄλλως προσήκοντας.

Ἡ μοιχεία οὐ μόνον ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου, καὶ ἀθεμίτου γάμου, καὶ μνηστείας, καὶ παλλακισμοῦ 4).

Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, ἐὰν συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος· ἐν μόνῳ γὰρ τῷ ἰδίῳ οἴκῳ ἐπ' αὐτοφώρῳ δύναται φονεύειν τὸν μοιχὸν ὁ ἀνὴρ, καὶ τοῦτον σκηνικὸν ἢ ἄτιμον ὄντα· οὐ δέδοται δὲ τοῖς ἀνδράσι φονεύειν τὰς μοιχευθείσας αὐτῶν γυναῖκας 5).

Διάφοροι δὲ νόμοι θεσπίζουσι, μὴ ἄλλως τὴν γυναῖκα μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τουτέστι διὰ πέντε μαρτύρων ὀμνυόντων ἰδεῖν ἐπ' αὐτοφώρῳ τὴν μοιχείαν τελουμένην· κατὰ τοῦτο γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ τῆς μοιχείας ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε· ἀνὴρ, πατὴρ αὐτῆς, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, θεῖος πρὸς μητρὸς, οὕτω γὰρ εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεως γίνεται· εἰ δὲ ξένοι εἶεν οἱ κατηγοροῦντες, εἰ μὲν ἀποδείξουσιν, ἐκτομῇ τῶν

1) ἀ. Βασ. ΚΗ΄. ζ΄. — 2) Πρ. Ν. ΛΘ΄, μέ. — οϐ΄. Βασ. Ξ΄, λζ΄. — 3) διερθωτέον πιθανῶς, ἡ δὲ διαληφθεῖσα. — 4) ιέ. Βασ. Ξ΄. λζ΄. — 5) Πρ. Ν. ΛΘ΄, μϐ΄.

ρινῶν οἱ μοιχοὶ τιμωροῦνται· ἂν δὲ ἀπελεγχθῶσι δι' ἔχθραν τὴν κατηγορίαν πεποιηκότες, οὗτοι τὴν τοιαύτην ποινὴν ὑπομένουσιν· ἀλλ' οὐδὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχευθῆναι καταδικάζεται, ὅπερ καὶ ἔστι καινόν 1).

Ὁ δύο γαμετὰς ἔχων τυπτέσθω· ἐκδιωκομένης παρ' αὐτοῦ τῆς ἐπεισάκτου γυναικὸς, μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς παίδων.

Ὁ δύο γαμετὰς ἔχειν πειραθεὶς οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι· ὁ μὲν γὰρ μετὰ ἐλευθέρας συμπλακεὶς, ζώσης τῆς αὐτοῦ γυναικὸς, ὡς πόρνος κατακρίνεται· ὁ δὲ κατὰ γάμου κοινωνίαν δευτέραν ἀγόμενος, ὡς μοιχὸς τιμωρεῖται 2).

Εἰδέναι δὲ δεῖ, ὅτι εἰσὶ πρόσωπα ἁμαρτάνοντα, καὶ οὐκ εὐθύνονται· ὁ μοιχεύων τὴν γυναῖκα τοῦ ἀποδούλου αὐτοῦ, καὶ ὁ μοιχεύων πολύρθορον καὶ πολύκοιτον ὕπανδρον, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται, εἰ μὴ τῷ τῆς πορνείας· καὶ ὁ μὲν ἀνὴρ τιμωρεῖται ὡς μοιχὸς, ἡ δὲ γυνὴ οὐκ εὐθύνεται, ὅτε ἄκουσαν καὶ βεβιασμένην αὐτὴν χειρὶ κρατήσει, εἰ καὶ αὐτὴ ἐρυθριῶσα, τὸ γεγονὸς εὐθὺς οὐκ ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς 3).

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ μοναστηρίων καὶ μοναχῶν.

Συνόδου πρώτης καὶ δευτέρας ά.

Ὁ τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου κανὼν πρῶτος, μὴ ἐξεῖναι κελεύει μοναστήριον οἰκοδομεῖν ἄνευ γνώμης τοῦ ἐπισκόπου, τὴν εἰωθυῖαν πρότερον ἐπιτελοῦντος εὐχὴν, ἐν βρεβίῳ δὲ αὐτό τε τὸ μοναστήριον ἐγγράφεσθαι, καὶ ὅσα πρὸς τοῦ δειμαμένου αὐτῷ ἀφιέρωται, καὶ τὸ βρέβιον τῷ ἐπισκόπῳ προσαποτίθεσθαι, ὡς μηκέτι δύνασθαι τὸν ἀφιερώσαντα ἔστιν ἃ τούτων αὖθις ἐξιδιοῦσθαι· ὧν γὰρ ἀπεξένωσεν ἑαυτὸν διὰ τῆς μονῆς ἀναθεὶς τῷ Θεῷ, πῶς οἷός τε, οἷα δεσπότης ταῦτα διέπειν, οὐχ ὅπως καὶ ἄλλοις διαπιπράσκειν; οὐ μὴν οὐδὲ ἡγούμενον ἑαυτὸν ταύτης ἐξ καθιστᾶναι παρὰ γνώμην τοῦ ἐπισκό-

1) ξή. Βασ. Ξ', λζ'. — 2) πδ'. Βασ. αὐτόθι.—3) λθ'. μ'. ξβ', Βασ. αὐτόθι.

που, οὐδ' ἕτερον ἀνθ' ἑαυτοῦ προχειρίζεσθαι· εἰ γὰρ τὰ ἀνθρώποις δεδωρημένα, οὐκ ἔνι χωρὶς εὐπροσώπου αἰτίας τὸν δωρησάμενον ἀναλαβεῖν, σχολῇ γε τῶν ἀνατεθειμένων Θεῷ τὴν κυριότητα ᾧ ἀναθεὶς ἰδιοποιήσεται, ὡς προσηγορίᾳ μόνῃ καὶ μὴ πράγματι τὴν ἀφοσίωσιν εἶναι.

Συνόδου τετάρτης κδ'. καὶ Συνόδου ἕκτης μθ'.

Ὁ δὲ κδ'. τῆς δ'. Συνόδου κανὼν, ἔτι δὲ καὶ τῆς ς'. ὁ μθ', Τὰ ἅπαξ καθιερωθέντα μοναστήρια, κατὰ τὴν γνώμην τοῦ ἐπισκόπου, ὃν ἔθος εὐχὴν προκαταβάλλεσθαι τῆς οἰκοδομίας, ὥσπερ τινὰ θεμέλιον ἀῤῥαγῆ, ἐπιτάττουσι μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ προσήκοντα τούτοις πράγματα φυλάττεσθαι ἀνεκποίητα, καὶ μηκέτι γίνεσθαι ταῦτα κοσμικὰ καταγώγια· τοὺς δὲ τοῦτο μὴ τηροῦντας, κανονικῶς εὐθύνεσθαι, ἱερωμένους μὲν δηλαδὴ καθαιρέσει, λαϊκοὺς δὲ ὑποβαλλομένους ἀφορισμῷ. Ζήτει καὶ ἐν τῷ ιϐ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα ιζ'. τῆς ζ'. Συνόδου.

Ὁ δὲ ταύτης κ'. οὐκ οἶεται δεῖν ἀπό γε τοῦ νῦν διπλᾶ γίνεσθαι μοναστήρια, καὶ τοῖς μοναχοῖς ἔγγιστα τὰς μοναζούσας οἰκεῖν· σκανδάλου γὰρ καὶ προσκόμματος τοῖς πολλοῖς αἴτιον τοῦτό γε· ἀλλ' ὅσοις ἥρεσε μετὰ τῶν ἰδίων ἀποτάξασθαι συγγενῶν, οἱ μὲν ἄνδρες, εἰς ἀνδρῶν, αἱ δὲ γυναῖκες, εἰς γυναικῶν εἰσίτωσαν, φησὶ, μοναστήρια· τὰ δὲ ἄχρι καὶ τήμερον διαρκέσαντα διπλᾶ μοναστήρια, αἰδοῖ τοῦ ταῦθ' οὕτως ἔχειν τυπώσαντος θείου Πατρὸς ἡμῶν Βασιλείου, οἰκονομείσθωσαν, ὡς ἐκεῖνός γε διατάσσεται· συνδιαιτᾶσθαι δὲ καὶ συναναστρέφεσθαι μοναχοὺς μοναστρίαις οὐ δεῖ, ἅτε βλαβερὸν καὶ ἀθέμιτον· οὔτε παῤῥησίαν πρὸς αὐτὰς ἔχειν, οὔτε ἰδίᾳ προσομιλεῖν, μὴ ὅτι κατὰ μόνας αὐταῖς συνεσθίειν· τὰ δέ γε κομιζόμενα ταῖς κανονικαῖς ἀναγκαῖα τοῦ βίου πρὸς τῶν ἀνδρῶν, ἔξωθεν τῆς θύρας ἡ ἡγουμένη ταῦτα παραλαμβανέτω μεθ' ἑτέρας μοναστρίας γραός· εἰ δὲ καὶ τῶν μοναχῶν τις τὴν καθ' αἷμα προσήκουσαν ἰδεῖν περὶ πλείστου ποιεῖται ἀναγκαίου πράγματος πέρι, τῆς ἡγουμένης ὑπ' ὄψιν ταύτῃ προσομιλείτω δι' ὀλίγων καὶ σμικρῶν λόγων, καὶ ταχέως ὑποχωρείτω.

Συνόδου τετάρτης. δ'.

Ὁ δὲ δ'. τῆς δ'. Συνόδου, μοναστήριον οἰκοδομεῖν ἢ εὐκτήριον, οὐκ ἐν καλῷ τίθεται, παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου· τῶν μέντοι μοναχῶν τοὺς εἰλικρινῶς καὶ μὴ προσχήματι τὸν μονήρη μετιόντας βίον, τὴν ἡσυχίαν μὴ ἐν παρέργῳ τιθέναι κελεύει, μόνῃ τε προσανέχειν τῇ νηστείᾳ καὶ προσευχῇ, καὶ ἐν οἷς ἀπετάξαντο τόποις προσκαρτερεῖν· οἱ γοῦν οὕτω βιοῦντες, δίκαιοι ἂν εἶεν τὰ πρεσβεῖα κατὰ τῶν ἄλλων φέρεσθαι μοναχῶν· ὑπείκειν μέντοι καὶ τούτους τῷ ἐγχωρίῳ ἐπισκόπῳ, ὥσπερ νόμος τοῖς κληρικοῖς, καὶ μηδὲν ἱερατικὸν πράττειν, πρὸς ἑτέραν ἀπαίροντας ἐπαρχίαν, χωρὶς ἀπολυτικῆς ἢ συστατικῆς τοῦ ἐσισκόπου γραφῆς· τούς γε μὴν τὰ ἴδια καταλιμπάνοντας μοναστήρια, καὶ τὰς πόλεις ἀδιαφόρως καὶ ἀτάκτως περιϊόντας καὶ τὰ τῆς Ἐκκλησίας, πρὸς δὲ καὶ τὰ πολιτικὰ διαταράσσοντας πράγματα, ὡς μήτε τὰ θεῖα μέρει τῷ ἑαυτῶν, μήτε τὰ ἀνθρώπινα κατά γε τὴν προσήκουσαν τάξιν ἐῶντας διενεργεῖσθαι, ὑπὸ λαϊκῶν μὲν τὰ βιωτικὰ, ὑπὸ δὲ μοναχῶν καὶ κληρικῶν τὰ τῷ Θεῷ ἀνατεθειμένα, τούτους καὶ ἄκοντας τοῖς μοναστηρίοις ἐγκλείειν κελεύει, εἰμή τινες ἄρα εἰς πολιτικῶν πραγμάτων ἀναγκαίαν διοίκησιν ἐπιτραπεῖεν παρὰ τοῦ τῆς πόλεως ἐπισκόπου, ἅτε τῶν τηνικαῦτα κληρικῶν ἢ λαϊκῶν ἀσφαλέστερον ταῦτα διαθεῖναι μὴ ἀμαθῶς ἔχοντες· ἐπιτάττει δὲ, καὶ μηδένα δοῦλον τοὺς τῶν μοναστηρίων προεστῶτας εἰσδέχεσθαι ἐπὶ τὸ μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται, τὸν δὲ τὸν ὅρον τουτονὶ παραβαίνοντα, ἀκοινώνητον εἶναι· τόν γε δὴ τῆς πόλεως ἐπίσκοπον χρῆναι τὴν δέουσαν ποιεῖσθαι πρόνοιαν τῶν μοναστηρίων, ἵνα μὴ τῇ τῶν προσόντων αὐτοῖς ὀχλήσει πραγμάτων συνταράττηται τοῖς μοναχοῖς· τὸ φιλήσυχον. Ζήτει τὸ κβ'. καὶ τὸ κέ. Κεφ. τοῦ Ε στοιχείου.

Συνόδου ἕκτης μγ'. μ'.

Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς θέλοντας ἀποκαρῆναι.

Ὁ δὲ μγ'. τῆς ς'. Συνόδου κανὼν, Οὐκ ἀπείρηταί, φησι, παντὶ Χριστιανῷ, καὶ μεγάλα ἡμαρτηκότι, τὴν μοναδικὴν μετελθεῖν

πολιτείαν, ἥτις ἡμῖν τὴν ἐν μετανοίᾳ ζωὴν σὺν ἀκριβείᾳ στηλογραφεῖ· οἷά τις γὰρ στήλη τὴν μετάνοιαν ἡμῖν τῷ ἔξωθεν σχήματι, καὶ τῷ βίῳ, καὶ τοῖς ἤθεσιν ὑπογράφει, καὶ ταύτης ἀεὶ μεμνῆσθαι παρασκευάζει· μὴ δῆτα ἡ τῶν πταισμάτων πληθὺς καὶ τὸ βάρος ἀπόγνωσιν ἡμῖν ἐμποιείτω· μηδέ τις τρόπος ἐμποδὼν γενέσθω τινὶ πρὸς τὴν τοῦ θεοφιλοῦς τούτου σκοποῦ ἀποπλήρωσιν· ὁ γὰρ Σωτὴρ ἡμῶν εἴρηκε· Τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω 1).

Ὁ δὲ μ΄, Εἰ καὶ τὸ κολλᾶσθαι Θεῷ, φησὶ, πολλὰ χαίρειν πρότερον τοῖς τοῦ βίου 2) φράσαντας πράγμασι, τῆς ἐκεῖθεν μακαριότητος κληρονόμους οἶδε ποιεῖν 3), ἀλλ' ἀνεξετάστως οὐ δέον· οὐδὲ παρὰ τὸν προσήκοντα δήπου τῆς ἡλικίας καιρὸν, τοὺς τὸν μονήρη βίον αἱρουμένους, τὸν τῆς μονῆς προστατοῦντα προσίεσθαι δεῖ. Τῷ δὲ πλατυνθῆναι περιφανῶς τὴν εὐσέβειαν, τῷ περιόντι τῆς χάριτος τοῦ Θεοῦ, καὶ δεκαέτης ὤν τις μὴ ἀποβεβλήσθω, μόνον εἰ τοὺς τρόπους συμβαίνοντας ἔχοι τῷ ἐπαγγέλματι, μὴ ὅτι καὶ τὸ δέκατον παριππεύσας ἔτος.

Συνόδου ΑΒ΄. ἑ. 6΄.

Ὁ δὲ ἑ. τῆς λεγομένης ΑΒ. Συνόδου κανὼν, τοὺς τῷ μονήρει προσιόντας βίῳ, ἐπὶ τριετίαν ἐν τῇ μονῇ δοκιμάζεσθαι διωρίσατο, τὴν κοσμικὴν περικειμένους ἔτι στολήν· ἀξιόχρεων δὲ τὴν ἐν τούτῳ τοῦ χρόνου περὶ τὸ ἐπάγγελμα πρόθεσιν ἐπιδειξάμενους, τηνικαῦτα τὸ μοναχικὸν ἀμφιέννυσθαι σχῆμα· τὰς γὰρ ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς, ὡς ἐπίπαν ἴσμεν τῇ τῶν μοναχῶν εὐταξίᾳ λυμαινομένας. Οἱ γοῦν προπετῶς ἑαυτοὺς τῷ μονήρει ἐπιῤῥίπτοντες βίῳ, καὶ πρὸς τὸ τραχὺ μετέπειτα καὶ ἐπίπονον τῆς ἀσκήσεως ἀπειπόντες, ἐπὶ τὸν φιλόσαρκον καὶ ὑλικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν. Εἰ δέ τις περὶ πλείστου πεποίητο τὰ τῆς εὐλαβείας καὶ ἀρετῆς, ὡς τὸ φθάσαν τοῦ βίου τοῦ μέλλοντος ὑπάρχειν ἐχέγγυον, καὶ ὁ ἐξαμηνιαῖος ἀποχρήσει καιρός. Ἀλλ' οὐδὲ τῶν εἰσπραττομένων ἔτι τὸ δόκιμον, τοῖς νόσῳ περιπεπτωκόσι βαρείᾳ, τὴν τελείωσιν ὑπερθετέον τοῦ σχήματος. Τοὺς δὲ παρὰ ταῦτα δρῶντας, τόν τε τῆς

1) Ἰω. ς΄, 37. —2) κόσμου Β. — 3) μακαριότητος καθίστασθαι πρόξενον Β.

μονῆς ἐξηγούμενον, φημὶ, καὶ τὸν εἰσαγόμενον, τὸν μὲν, τῆς ἀρχῆς ἐκπίπτειν, καὶ τὴν ὑποταγὴν ὑπεισέρχεσθαι· τὸν δὲ, εἰς ἑτέραν μονὴν ἀπάγεσθαι, μηδὲν τῆς ἀκριβείας ὑφιεμένην 1).

Περὶ τῶν χωρὶς εὐχῆς τὸ μοναχικὸν ἔνδυμα περιβεβλημένων.

Εἰ δέ τις καὶ τῆς τριετίας ἐντὸς τὸ μοναχικὸν καὶ χωρὶς εὐχῶν ἔνδυμα περιβάλλοιτο, μεγάλας ὑφέξει δίκας, εἰ ἀποδύσασθαι τοῦτο βουληθείη, ὡς παίζων ἄντικρυς ἐν οὐ παικτοῖς· καὶ ἄκων γὰρ τοῦτο περιβεβλῆσθαι ἀναγκασθήσεται.

Ὁ δὲ β΄. ταύτης, μὴ ἀποκείρειν ὀντιναοῦν ἐπισκήπτει, καὶ τὸ μοναχικὸν σχῆμα περιτιθέναι, ἂν μὴ πρότερον ὁ μέλλων αὐτὸν εἰς ὑποταγὴν ἔχειν παρῇ, ᾧ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας μελήσει, καλῶς αὐτὸς πρότερον ἔργοις τὴν ἀρετὴν ἀσκηθεὶς, καὶ οἷος πρὸς ταύτην καὶ τοὺς ὑπὸ χεῖρα ἐνάγειν.

Περὶ τῶν διὰ νόσον ἢ λύπην ἀποκειρομένων, εἰ καὶ ἐκ προπετείας, ἢ περὶ τῶν χωρὶς εὐχῶν τὸ μοναχικὸν ἔνδυμα περιβεβλημένων.

Τοὺς μέντοι διὰ νόσον ἢ λύπην ἀποκειρομένους, ἐφ' ᾧ δόξαν μόνον εὐλαβείας ἐντεῦθεν κτήσασθαι, καὶ ἐν τοῖς ἰδίοις αὖθις παρεδρεύοντας οἴκοις, μηδὲν μέλον αὐτοῖς τῶν ἀσκητικῶν ἱδρώτων, καὶ πόνων· τούτους μὲν εἰς ὑποταγὴν ἐν μοναστηρίῳ καθιστᾷν, ἐν ᾧ ἂν ὁ ἐπίσκοπος δοκιμάσῃ· τὸν δὲ παραλόγως αὐτὸν ἀποκείραντα καθαιρεῖσθαι, οἷα τῶν θείων παραβάτην κανόνων, καὶ τὴν μοναχικὴν εὐταξίαν συγχέοντα· διὰ γὰρ τὰς ἀκρίτους ταύτας καὶ ἐπισφαλεῖς ἀποκάρσεις, ὕβρις μὲν τῷ μοναχικῷ προστρίβεται βίῳ, Θεὸν δὲ βλασφημεῖσθαι συμβαίνει. Ἀλλ' οὐδὲ ὁ τὴν τρίχα πρὸς ταῖς τελευταίαις ἀναπνοαῖς, ὥς γε δὴ μοναχοῖς ἔθος, ἀποκαρεὶς, εἰ καὶ μόνῳ τῷ ἀναπνεῖν, τὸ μὴ νεκρὸς εἶναι πιστεύεται, καὶ τὰ ἐπ' αὐτῷ τελούμενα μηδόλως συνεὶς, οἷός τέ ἐστι τὴν μοναχικὴν περιδυθῆναι στολὴν, καὶ τὴν κοσμικὴν αὖθις ἐνδύσασθαι, ἢ ἐν τῷ κόσμῳ διάγειν συγχωρη-

1) ἐφιέμενον Γ.

θήσεται, εἰ μὴ βούλοιτο δεσμοῖς ἐπιτιμίων ὑποβληθῆναι· οὐ μὴν οὐδὲ τοῖς ἐκ προπετείας, τὸ μοναχικὸν σχῆμα περιτιθεμένους, τοῦτο δοθήσεται.

Συνόδου ἑβδόμης ιθ'.

Ὁ δὲ ιθ', τῆς ζ'. Συνόδου, ἀπειρήκει παντάπασι τοῖς τὸν μονήρη βίον ἐν σεμνείῳ μετελθεῖν προθεμένοις, διὰ χρημάτων τὴν εἰς αὐτὸ ποιεῖσθαι εἰσέλευσιν, ἀλλ' οὐδ' εἰς ἕτερον ἱερατικόν τι τάγμα 1)· οὐ γὰρ οἷόν τε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, καὶ οὗ ἡ ἀρχὴ ἀδόκιμος, κατὰ τὸν μέγαν Βασίλειον, καὶ τὸ πᾶν ἀπόβλητον· τὸν δὲ τοῦτο διαπραττόμενον ἐπίσκοπον, ἢ ἡγούμενον, ἢ παύσασθαι κελεύει ἢ καθαιρεῖσθαι· εἰ δὲ ἱερωσύνης ὁ ἡγούμενος ἀμοιροῖ, προβέβληνται γὰρ ἔσθ' ὅτε καὶ ἐκ τοιούτων, τοῦ μοναστηρίου ἐκβάλλεσθαι, καὶ ἑτέρῳ πρὸς ὑποταγὴν παραδίδοσθαι· τοῦτο δὲ καὶ ἡγουμένη τοιαῦτα τολμήσασα ὑφέξει τὸ ἐπιτίμιον.

Ἄττα δὲ οἱ γονεῖς ἐκ τοῦ κλήρου τῶν παίδων τῇ μονῇ ἀφορίζουσιν, ἀφαιρεῖν αὖθις οὐκ ἔξεστιν· ἀφιέρωται γὰρ τῷ Θεῷ κἂν τε μένῃ ἐν τῷ μοναστηρίῳ, κἂν τε ἐξέλθῃ ὁ ταῦτα προσενεγκών· εἰ μὴ ἄρα πρὸς τοῦ ἡγουμένου ἡ αἰτία συμβαίη τῆς μονῆς τοῦτον ὑποχωρῆσαι.

Συνόδου ΑΒ'. ς'.

Ὁ δὲ ς'. τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου, Οἱ μοναχοί, φησί, οὐδὲν ἴδιον ἔχειν ὀφείλουσιν, ἅτε νεκρωθέντες τῷ κόσμῳ διὰ τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν· οὕτω γὰρ ὁ μακάριος Λουκᾶς τοὺς τὴν μοναδικὴν πολιτείαν τυπώσαντας, δήλους ἡμῖν πόρρωθεν καθιστᾷ, τῶν πιστευσάντων ἔφησεν οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Ἔνθεν τοι καὶ τοῖς μονάζειν ἐθέλουσιν, ἔξεστι περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο ταῦτα παραπέμπεσθαι προσώποις, μὴ κεκωλυμένοις παρὰ τοῦ νόμου, οἷον αἱρετικοῖς ἢ νόθοις παισί· μετὰ γάρ τοι τὸ μονάσαι, τῶν προσόντων αὐτοῖς πάντων τὸ μονα-

1) πρᾶγμα B.

στήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάττεσθαι τούτοις παρακεχώρηται· εἰ δέ τις φωραθείη κτῆσιν ἡντιναοῦν ἰδιοποιησάμενος, ταύτην μὲν ὁ ἡγούμενος τῆς μονῆς, ἢ ὁ τῆς χώρας ἐπίσκοπος, λαβὼν καὶ πωλήσας, πολλῶν μαρτύρων ἐπ' ὄψεσι, τὴν ἐντεῦθεν διαβολὴν φυλαττόμενος, πτωχοῖς καὶ ἀπόροις διανειμάτω· τὸν δὲ τὴν τοιαύτην κτῆσιν κατ' ἐκεῖνον τὸν Ἀνανίαν ὑποσυλᾷν μελετήσαντα, τῷ προσήκοντι ἐπιτιμίῳ σωφρονισάτω· τούτοις πᾶσιν ὑπεύθυνος καὶ ἡ τῶν μοναζουσῶν ἔσται φατρία.

Συνόδου ἕκτης μά, μβ', μζ'.

Ὁ δὲ μά. τῆς ς'. Συνόδου, σφαλερὸν ἡγήσατο πάντῃ καὶ ἰταμὸν, τοὺς τῆς κοσμικῆς ἀνακεχωρηκότας ἄρτι διαίτης, ἑαυτοὺς εὐθὺς ἐν οἰκίσκῳ βραχυτάτῳ ἐγκλείειν, καὶ σφίσιν αὐτοῖς γίνεσθαι τοῦ μονήρους βίου καθηγητάς· δεῖ γὰρ πρότερον ἐν ἀδελφῶν πλειόνων σεμνείῳ τὸ τῆς ὑποταγῆς γινόμενον ἐπὶ τριετίαν ἐνδείξασθαι· εἶτα ἐφ' ἕτερον ἕνα προσμείναντας χρόνον, ἔνθα δὴ καὶ ἐπικλείσασθαι εἵλοντο, καὶ τῆς σφῶν γνώμης ἀμεταθέτως ἔχειν ἄντικρυς ἐλεγχθείσης, ὡς οὐ κενῆς ἄρα δόξης, ἀλλ' ἀρετῆς ἐφέσει ταύτῃ διάγειν οἱ τοιοῦτοι προήρηνται, μετ' ἐπιτροπῆς τοῦ κατὰ τὴν χώραν ἐπισκόπου, ἐπικλεισαμένους μένειν, καὶ μηκέτι τοῦ οἰκίσκου τὸ παράπαν ἐξιέναι, εἰ μήπου κατ' ἀνάγκην ἐκβιασθεῖέν τινα, ἤτοι διὰ κοινὴν τοῦ λαοῦ λυσιτέλειαν, ἢ διὰ νόσον, ὅσον οὐκ ἤδη τὴν τοῦ θανάτου ψῆφον μηνύουσαν ἔσεσθαι, ἀλλὰ καὶ τότε μὴ ἄνευ γνώμης τοῦ ἐπισκόπου· εἰ γὰρ δὴ ἄλλως ἐξελθεῖν βουληθεῖεν, καὶ ἄκοντας εἰσωθεῖν εἰς τὸν οἰκίσκον ἐκεῖνον χρὴ, καὶ ἀσφαλῶς καθειργνύειν, ὡς μηκέτι ῥᾳδίαν εἶναι σφίσι τὴν ἔξοδον· προσέτι καὶ νηστείαις αὐτοὺς ὑποβάλλειν, καὶ σκληραγωγίαις κατατρύχειν, ὡς ἂν οὕτω θεραπευθείη τὸ τῆς γνώμης αὐτῶν εὐμετάβολον· Οὐδεὶς γὰρ, φησὶν ὁ Σωτὴρ, βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν 1).

Περὶ ἐρημιτῶν.

Ὁ δὲ μβ', τοὺς λεγομένους ἐρημίτας, καὶ μέλανα περικειμέ-

1) Λουκ. Θ', 62.

νους ἱμάτια, τάς τε κόμας ἐπὶ πολὺ καθειμένους, καὶ ἀνδρῶν μεταξὺ καὶ γυναικῶν ἀναστρεφομένους, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντας, τούτους ἤτοι τὰς κόμας κελεύει περιελεῖν, καὶ σχῆμα μοναχικὸν ἀνῃρῆσθαι, καὶ ἐν φροντιστηρίῳ μοναχοῖς συγκαταλεγῆναι, ἢ μὴ αἱρουμένους, τῶν πόλεων ἀπελαύνεσθαι, καὶ πρὸς τὰς ἐρημίας ἀποπέμπεσθαι, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἑαυτοῖς ψευδῶς ἀνεπλάσαντο.

Ὁ δὲ μζ', μήτε ἐν ἀνδρῴῳ μοναστηρίῳ γυναῖκα, μήτε μὴν ἄνδρα ἐν γυναικείῳ, κελεύει καθεύδειν· παντὸς γὰρ σκανδάλου καὶ προσκόμματος ἀνωτέρους εἶναι δεῖ τοὺς πιστοὺς, καὶ μάλιστά γε τοὺς μοναχοὺς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ τὸν ἑαυτῶν βίον ῥυθμίζειν, καὶ διευθύνειν· τοῖς δὲ εἰς τοῦτο τόλμης ἰοῦσι κληρικοῖς τε καὶ λαϊκοῖς, ἀφορισμοῦ καὶ ἀμφοῖν τιμᾶται.

Συνόδου ἑβδόμης κδ'.

Ὁ δὲ κδ'. τῆς ζ'. Συνόδου, ἱερωμένοις, καὶ οἷς ὁ βίος μονότροπος, ἐπιπλήττει κατ' ἰδίαν γυναιξὶ συνεσθίουσιν, εἰ καὶ καθ' αἷμα τούτοις αὗται προσήκουσιν· εἰ δὲ ταύτας συνδείπνους δεήσει λαβεῖν, μὴ ἄλλως ἢ θεοφόρων συμπαρόντων ἀνδρῶν, ἢ καὶ τιμίων καὶ εὐλαβῶν γυναικῶν, ἵνα καὶ αὐτὸ τὸ τραπέζης αὐταῖς καὶ ἀλῶν κοινωνεῖν, πρὸς ὠφέλειαν εἴη πνευματικήν· Εἴτε γὰρ ἐσθίετε, φησὶν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν τοῦ Θεοῦ ποιεῖτε 1)· καί· Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει 2). Ἀλλὰ καὶ λογισμοὺς καθαίρειν κελευόμεθα, ἤγουν ἐκπλύνειν, ἢ καθαιρεῖν, ἤτοι καταβάλλειν, καὶ μὴ ἐᾷν αὐτοὺς ἡμῶν κατεξανίστασθαι· ὁδοιποροῦντι δέ τινι τούτων, καὶ μὴ εὑποροῦντι ἢ καταχθείῃ, καὶ ἐν πανδοχείῳ καταλύειν οὐκ ἀπείρηται, τῆς χρείας αὐτὸν κατεπειγούσης, μόνον σωφρόνως καὶ μετ' εὐλαβείας. Οἱ μέντοι γυναιξὶ καὶ τέκνοις συζῶντες, καὶ κατὰ κόσμον βιοῦντες, οὐ κωλύονται γυναιξὶ συνεσθίειν· οὐ γὰρ διαβέβληται τοῦτο, εἰ μετ' εὐχαριστίας τῆς πρὸς Θεὸν γίγνοιτο, καὶ μὴ μετὰ θυμελικῶν ἐπιτηδευμάτων, καὶ σατανικῶν ᾀσμάτων, καὶ πορνικῶν λυγισμάτων, οἷς ἐπέρχεται ἡ προ-

1) 1. Κορ. Ι', 31. — 2) αὐτόθι, 23.

φητικὴ ἀρά· Οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες 1), καὶ τὰ ἑξῆς.

Καρθαγένης λή.

Οὐδὲ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου λή. κανὼν ἐφίησι μοναχοῖς ἢ κληρικοῖς ἀδεῶς εἰσιέναι πρὸς παρθένους, ἢ χήρας, αἳ δὴ τῷ Θεῷ καθιέρωνται, τοῦ ἐπισκόπου μὴ ἐπιτετραφότος, ἢ τοῦ πρεσβυτέρου, εἰ ἐκεῖνος ἀπῇσι· ἀλλὰ καὶ τότε μὴ μόνους μόναις ἐντυγχάνειν, ἀλλὰ παρόντων ἢ κληρικῶν ἑτέρων, ἢ Χριστιανῶν ἐντίμων καὶ εὐλαβῶν, ὥστε πᾶσαν ὑποψίαν περιαιρεῖσθαι· Ἀπρόσκοποι γὰρ, φησὶν ὁ Ἀπόστολος, γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· ἐπεὶ φεύγειν τὰς πονηρὰς ὑπολήψεις προστετάγμεθα, κἂν ὦσι ψευδεῖς 2).

Συνόδου ἑβδόμης κά.

Περὶ μεταβάσεως ἀπὸ μοναστηρίου εἰς μοναστήριον.

Ὁ δὲ κά. τῆς ζ'. Συνόδου οὐκ ἐπιτρέπει μοναχὸν ἢ μονάστριαν, τὴν οἰκείαν καταλιμπάνειν μονὴν, καὶ εἰς ἑτέραν ἀπιέναι· συμβὰν δὲ οὕτω, ξενοδοχεῖσθαι μὲν, ὡς ἀναγκαῖον, δι' ἐπαίνου τίθεται, ἵνα μὴ κοσμικοῖς καὶ ἀδιαφόρως βιοῦσιν ἐκβιασθεῖσα συμμίξαι· προσλαμβάνεσθαι δὲ οὐ δῆτα ἄνευ γνώμης τῶν σφῶν ἡγουμένων.

Συνόδου ΑΒ'. γ', δ'.

Ὁ δὲ γ'. τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου, ἀφορισμῷ τὸν ἡγούμενον ὑποτίθησιν, εἰ μὴ ἐπιμελῶς ἀναζητοίη τοὺς τῆς ἑαυτοῦ ποίμνης ἀποδιδράσκοντας μοναχοὺς, καὶ πρὸς τὸν ἱερὸν ἐπανάγει σηκὸν, τῇ καταλλήλῳ θεραπείᾳ τὸ νενοσηκὸς ἐπιῤῥωνὺς πρόβατον· εἰ γὰρ ὁ ζῶων ἀλόγων ποιμὴν, ἀμελῶς περὶ τὸ ποίμνιον διακείμενος, τιμωρίαν ἀναγκαίως ὑπέχει, ὁ τῶν τοῦ Χριστοῦ θρεμμάτων τὴν σωτηρίαν περὶ ἐλαχίστου δι' οἰκείαν ῥᾳστώνην τιθέμενος, πῶς οὐκ ἀπαραίτητον εἰσπραχθήσεται δίκην; Ἀπειθῶν δὲ ὁ ἀνακαλούμενος μοναχὸς ἐπανιέναι ὅθεν δῆτα καὶ ἐξελήλυθε πρὸς τοῦ ἐπισκόπου ἀφορισθήσεται.

Ὁ δὲ δ', τὸν ἀποδράντα τῆς ἰδίας μονῆς μοναχὸν, καὶ πρὸς

1) Ἡσ. Ε, 12. —2) ά. Κορ. Ι'. 22.

ἑτέραν μετακεχωρηκότα, ἢ εἰς κοσμικὸν ἀσέμνως εἰσκωμάσαντα καταγώγιον, αὐτόν τε καὶ τὸν τοῦτον ὑποδεξάμενον, ἀφωρισμένον εἶναι κελεύει, ἕως ἂν ὁ ἀποφοιτήσας πρὸς τὴν μονὴν, ἧς κακῶς ἐξελήλυθεν, ἐπανήκῃ· εἰ μέντοι ὁ τῆς χώρας ἐπίσκοπος, ἔστιν οὓς τῶν ἐπ' εὐλαβείᾳ σεμνυνομένων μοναχῶν, ἐκ τῆς ἑαυτῶν εἰληφὼς, εἰς ἑτέραν ἐγκαταστήσειε προστασίαν μονῆς, καὶ ἀμφοτέρων αὐτῷ ὑποκειμένων δηλαδὴ τῶν μονῶν, ἢ καὶ κοσμικὴν οἰκίαν ἐπιτηρεῖν διορίσαιτο, τοῦτο καὶ τοὺς ὑποδεχομένους, καὶ τοὺς μοναχοὺς, ἀνευθύνους εἶναι ποιεῖ.

Καρθαγένης π'.

Ὁ δὲ π'. τῆς ἐν Καρθαγένῃ Συνόδου, ἐπιτιμᾶσθαι τὸν ἐπίσκοπον ἀξιοῖ, ὃς τὸν ἀλλότριον ὑποδεχόμενος μοναχὸν, εἰς βαθμὸν καθίστησι κλήρου, ἢ καὶ ἡγουμενίαν οἰκείου μοναστηρίου, ἄνευ ἀπολυτικῆς τοῦ οἰκείου ἐπισκόπου γραφῆς· καὶ τὸν μὲν ἐπίσκοπον τῇ τοῦ ἰδίου λαοῦ ἐφεῖς κοινωνίᾳ καὶ μόνον, ἑτέρους αὐτῷ κελεύει μὴ κοινωνεῖν· τὸν δὲ μοναχὸν, τοῦ κλήρου ἢ τῆς ἡγουμενείας ἐκπίπτειν. Ζήτει καὶ τὸ ς'. Κεφ. τοῦ Α στοιχείου, καὶ ἐν θ'. Κεφ. τοῦ αὐτοῦ στοιχείου, κανόνα κγ'. τῆς δ'. Συνόδου, καὶ ἐν τῷ ιθ'. Κεφαλαίῳ τοῦ Γ στοιχείου κανόνα ιή. τῆς ζ'. Συνόδου, καὶ τὸ κθ'. Κεφάλαιον τοῦ Ε στοιχείου· ἔτι δὲ καὶ τὸ λγ'. καὶ τὸ κ'. Κεφάλαιον τοῦ Κ στοιχείου, καὶ ἐν τῷ λϐ'. Κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνα ζ'. τῆς δ'. Συνόδου.

Γάγγρας ιγ'. ιδ'.

Ὁ δὲ ιγ'. τῆς ἐν Γάγγρᾳ Συνόδου τῷ ἀναθέματι παραπέμπει τοὺς τέκνα ἔχοντας, καὶ προφάσει ἀσκήσεως ταῦτα χαίρειν ἐῶντας, καὶ μὴ τὰ τῆς θεοσεβείας καὶ λοιπῆς ἀρετῆς ἐξασκοῦντας, πρὸς δὲ καὶ τὰ τῷ βίῳ αὐτάρκη πορίζοντας, οἷα περὶ πλείστου [illegible] εὐλάβειαν ποιουμένους καὶ ἄσκησιν, καὶ μὴ ἐξὸν σω[illegible]ς ἐν τῷ κόσμῳ ἐπιτυχεῖν. φησὶ γὰρ ὁ μέγας Παῦ[illegible]ῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, [illegible] τ[illegible]στιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων 1)· καὶ [illegible]ρ τῶν χηρῶν διαταττόμενος, εἰ ἐτεκνοτρόφησαν, προστίθησι,

1) ἀ. Τ. μ. Β', 10.

καὶ ταῖς ἀφηλικεστέραις τὰς νέας σωφρονίζειν παρεγγυᾷ, φιλάνδρους εἶναι, φιλοτέκνους· καὶ ἐν ἄλλοις, τοῖς πατράσι τρέφειν ἐπισκήπτει τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου 1). Ὡς ἔστι δεινὸν, θῆρας μὲν, τοὺς σφετέρους σκύμνους τρέφειν τε καὶ περιέπειν, καὶ μέχρι θανάτου τούτων προκινδυνεύειν, ἀνθρώπους δὲ, καὶ τὴν τῶν θηρίων ἐν τούτῳ παρελαύνειν ὠμότητα. Ἀλλὰ τῷ ἤδη ἀποκειραμένῳ οὐκ ἐφεῖται τῆς τῶν τέκνων χάριν ἐπιμελείας, τὴν μονὴν ἐᾷν, καὶ ἐπιχωριάζειν τοῖς ἐν τῷ κόσμῳ· μελήσει γὰρ τῷ Θεῷ, τῷ πατρὶ τῶν ὀρφανῶν, καὶ κριτῇ τῶν χηρῶν, καὶ τῆς τούτων προνοίας.

Ὁ δὲ ιδ΄, τοῦ ἀναθέματος ἀξιοῖ, καὶ τῶν παίδων, ὅσοι προφάσει τῆς ἀσκήσεως, μὴ διὰ τιμῆς τοὺς οἰκείους πατέρας ἄγουσι, μηδὲ γηροβοσκεῖν αἱροῦνται· ἀλλ᾽ ἀπρονοήτους ἐῶσι πιστούς τε ὄντας, ἢ καὶ ἀπίστους· προτιμητέον μέντοι, φησὶ, παντάπασι τὴν εὐσέβειαν, ὅταν οἱ ἄπιστοι γονεῖς δηλαδὴ, πρὸς τὴν οἰκείαν δυσσέβειαν, τοὺς παῖδας ἕλκειν πειρῶνται. Ὁ δὲ ιθ΄, Εἴ τις, φησὶ, τῶν παρθενευόντων δῆθεν διὰ τὸν Κύριον κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

Περὶ μοναζουσῶν.

Συνόδου ἕκτης μέ.

Ὁ δὲ μέ. τῆς ς΄. Συνόδου κωλύει τὰς κείρεσθαι μελλούσας τῶν γυναικῶν, λαμπροτέραις κοσμουμένας στολαῖς, τῷ θυσιαστηρίῳ προσάγεσθαι, κἀκεῖ μὲν τὴν φλυαρίαν ἐκείνην περιδύεσθαι, ἐνδιδύσκεσθαι δὲ τὰ τῶν μοναχῶν ἄμφια· ταραχὴν γὰρ ἐπεγείρει τοῦτο τῇ ψυχῇ, ὡς ἀποσπωμένῃ τῶν τοῦ κόσμου ἡδέων.

Ὁ δὲ μς΄. τὰς τὸν ἀσκητικὸν αἱρουμένας βίον, ἀπροΐτους βούλεται μένειν ἐν τῇ μονῇ· ἀπαραιτήτου δὲ χρείας κατεπειγούσης, μετ᾽ εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης ἐξέρχεσθαι· καὶ τότε μέντοι μὴ μόνας, ἀλλὰ συμπαρομαρτουσῶν αὐταῖς πρεσβυτίδων, ἢ τὰ πρῶτα τῶν ἐν τῇ μονῇ φερουσῶν, καὶ μάλιστα, εἰ νέαν ἄγουσιν ἐκεῖναι τὴν ἡλικίαν, ἥτις καὶ ἀφυ-

1) Ἐφεσ. ς΄. 4.

λάκτοις ὀφθαλμοῖς παγίς ἐστιν οὐχ ὑπερβῆναι ῥᾴδια· καὶ αὐταῖς ταύταις, πρὸς τῷ φύσει ὀλισθηρῷ τοῦ γυναικείου φρονήματος, μέγα μέρος εἰς κακίαν καὶ ἡ νεότης συμβάλλεται· ἀλλ' οὐδὲ νυκτὸς ἔξω μεῖναι τῆς μονῆς συγχωρεῖ τὸ παράπαν· οἵ γε μὴν μοναχοί, χρείας κατεπειγούσης, μετ' εὐλογίας τοῦ ἡγουμένου, καὶ καθ' ἑαυτοὺς προϊέναι οὐκ εἴργονται, προσέτι καὶ τῆς μονῆς ἐκτὸς, ἔστιν οὗ διανυκτερεῦσαι· ταῦτα δὲ εἴρηται περὶ τῶν ὑπόπτων διὰ τὴν νεότητα γυναικῶν, οὐ μὴν ἀνυπόπτων διὰ γῆρας καὶ ἀρετήν.

Καρθαγένης μδ'. ρκγ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μδ', τὰς ἱερὰς ἐπισκήπτει παρθένους, τῶν πατέρων χωριζομένας, ὑφ' ὧν ἐν ἀσφαλείᾳ διετηροῦντο τῇ τοῦ ἐπισκόπου προνοίᾳ ἢ τοῦ πρεσβυτέρου, ἀποδήμου ὄντος ἐκείνου, ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι εἰς συνοίκησιν, ἢ πάσας τὰς νεωτέρας ὁμοῦ συνοικεῖν· ἵνα συζῶσαι διηνεκῶς ἔχοιεν ἀλλήλας ὁρᾶν καὶ διατηρεῖν, καὶ μὴ τῆδε κἀκεῖσε περιϊοῦσαι τὴν ὑπόληψιν βλάπτοιεν καὶ εὐκοσμίαν τῆς Ἐκκλησίας. Ἀλλ' ἡ τῶν νεωτέρων ἀνδρῶν τε καὶ γυναικῶν ἐφ' ἑνὶ συνοίκησις οἴκῳ, παρ' ἡμῖν μὲν ἐν τῷ τέως ἠμέληται· παρὰ δὲ τοῖς Λατίνοις εἰσέτι φυλάττεται.

Ὁ δὲ ρκ'. τῷ ἐπισκόπῳ καὶ μόνῳ, τὰς κόρας μετασχηματίζειν ἀνατίθησι, πλὴν μὴ πρὸ τῶν κέ. ἐτῶν, εἰ μήπου δι' ἀνάγκην· τοῦτο δὲ ἀνῄρηται παρὰ τοῦ εἰρημένου μ'. κανόνος τῆς ς'. Συνόδου, δεκαετεῖς διοριζομένου ἀποκείρεσθαι καὶ ἄῤῥενας καὶ θηλείας.

Γάγγρας ιέ.

Ὁ δὲ ιέ. τῆς ἐν Γάγγρᾳ Συνόδου, τὰς διὰ νομιζομένην θεοσέβειαν ἀποκειραμένας τῶν γυναικῶν ὑποβάλλει τῷ ἀναθέματι, ἀνθ' ὧν παραλύουσι τὸ σύμβολον τῆς ὑποταγῆς· ὡς που φησὶν ὁ Ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς 1), τὸ σημεῖον δηλαδὴ τῆς πρὸς τὸν ἄνδρα ὑποταγῆς, ἤτοι τὰς τρίχας· καὶ αὖθις· Εἰ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, καλυπτέσθω 2)· καί· Γυνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν,

1) α΄ Κορ. ΙΑ, 10. — 2) αὐτόθι 6.

ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ 1)· καὶ ἡ φύσις γὰρ οἰκεῖον εἰδυῖα τὴν κόμην ταῖς γυναιξὶν, οὐδὲ φαλάκρωμα ταύταις ἐργάζεται. Ἡ μέντοι μοναδικὴν ἑλομένη πολιτείαν, καὶ ἄκοντος τοῦ ἀνδρὸς ἀποκαρήσεται.

Περὶ μοναχῶν ἀρρένων καὶ θηλειῶν ἐκπιπτόντων.

Ἀγκύρας ιθ'.

Ὁ δὲ ιθ'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου, τοὺς παρθενίαν ἐπαγγειλαμένους ἄνδρας τε καὶ γυναῖκας, λαϊκὴν ἀμπεχόνην ἔτι περικειμένους, μὴ μέντοι ἀποταξαμένους καὶ μοναχικὸν ἐπανῃρημένους ἔνδυμα, τούτους, τὴν ἐπαγγελίαν ἠθετηκότας, καὶ πρὸς γάμον ἐκκλίναντας νόμιμον, τῷ τῶν διγάμων ὅρῳ καὶ ἐπιτιμίῳ ὑποβάλλεσθαι διορίζεται.

Βασιλείου ς', ιή.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ ς'. κανόνι, Τὰς τῶν κανονικῶν πορνείας, φησὶ, κληρικῶν δηλαδὴ καὶ μοναχῶν, καὶ τῶν ἀσκουμένων τοῦ θήλεος γένους, εἰς γάμον οὐ χρὴ καταλογίζεσθαι. Οὐ γὰρ κατὰ τὸν λέγοντα πολιτικὸν καὶ ἐφ' ἡμῖν ἔσται νόμον, ὅτι ὁ πρὸς ἐλευθέραν εἰσελθὼν, μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ· ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν, εἰ καὶ αἱροῦνται τῆς ἡδονῆς ἀπολαύειν, ἐπειδή γε τῆς τιμῆς ἐκπεπτώκασι· τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ λυσιτελὲς, ἀνακοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾶν, καὶ τοῖς αἱρετικοῖς καθ' ἡμῶν οὐ δώσει λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτοὺς τοὺς ἐξ ἑτέρας θρησκείας, ἐφιέντων αὐτοῖς ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ τοὺς ἀθέσμους γάμους μὴ κωλυόντων.

Ἐν δὲ τῷ ιή. Εἰ καὶ οἱ ἐν Ἀγκύρᾳ Πατέρες, φησὶ, τὰς ἐκπεπτωκυίας μετὰ τὸ ἐπαγγείλασθαι παρθενεύειν, κατὰ τοὺς διγάμους ἐπιτιμᾶσθαι κεκρίκασιν, ἀλλ' ἐπεί τοι γε τὰ τῆς Ἐκκλησίας, Θεοῦ χάριτι, ἐπιδέδωκεν, οἷα μοιχαλίδας δίκαιον ταύτας κολάζεσθαι, ἐκ διαφόρων ἐπιχειρημάτων τὸν οἰκεῖον κατασκευάζων λόγον· ἐκείνας δέ φαμεν, αἶ, τὸν ις'. ἢ ιζ'. χρόνον

1) ά. Κορ. ΙΑ, 15.

ἀμείβουσαι, τὴν ἀγαμίαν ἑκουσίως ὁμολογήκασι, πολλὰ χαίρειν εἰποῦσαι τῷ γάμῳ· οὐ μὴν ἃς προσάγουσιν οἱ γονεῖς, ἢ καὶ οἱ ἄλλως προσήκοντες, βιωτικόν τι ἐντεῦθεν σφίσιν αὐτοῖς διοικούμενοι, μὴ εὐποροῦντες τυχὸν τὴν ὑπὲρ αὐτῶν ἀποτίσαι προῖκα· ταύτας δὴ τὰς μὴ ὁρμηθείσας οἴκοθεν, οὐ δεῖ ῥᾳδίως προσδέχεσθαι, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην· ἀλλ' ἐπὶ τῶν μοναζουσῶν καὶ ἀσκουμένων, τοῦτο οὐκ εἴωθε γίνεσθαι· κἂν γὰρ ἐν ἥττονι τῆς ὁρισθείσης τῷ ἁγίῳ καὶ ἀπαλῇ πάνυ τῇ ἡλικίᾳ τὴν κοσμικὴν ἀπόθωνται τρίχα, βεβαία ἔσται καὶ εἰς τὸ ἑξῆς αὐτῶν ἡ ὁμολογία.

Ἐν δὲ τῷ ιθ', Ἀνδρῶν δὲ, φησὶν, ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, οἵτινες κατὰ τὸ σιωπώμενον δοκοῦσι τὴν ἀγαμίαν παραδέχεσθαι· ἀλλὰ καὶ τούτους ἐρωτᾶσθαι προσῆκε, καὶ φανερῶς τὴν ἀγαμίαν ὁμολογεῖν, ἵνα, ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύοντες ἐπιτιμηθῶσιν· ἀλλά γε καὶ οἱ μὴ ποιήσαντες μοναχοὶ τοιαύτην ὁμολογίαν, ῥακενδύται μόνον γεγονότες, μεταμφιάσασθαι, καὶ εἰς γάμον ἐλθεῖν οὐ δύνανται.

Ἐν δὲ τῷ ξ', Τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ἀθετήσασαν τὴν ἐπαγγελίαν, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐκπληροῦν ἀξιοῖ, ἔτη δηλαδὴ ιέ. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναζόντων, φησὶ, γινέσθω.

Ἀλλὰ καὶ ὁ ἱερὸς Χρυσόστομος, ἐν τῇ πρὸς Θεόδωρον β'. ἐπιστολῇ, Τὸν γὰρ τῷ ἐπουρανίῳ, φησὶ, συναφθέντα νυμφίῳ, τοῦτον μὲν ἀφεῖναι, γυναικὶ δὲ ἑαυτὸν συνάψαι, μοιχείας ἐστὶ πρᾶγμα, κἂν μυριάκις αὐτὸν σὺ γάμον καλῇς· μᾶλλον δὲ καὶ μοιχείας τοῦτο χαλεπώτερον, ὅσῳ κρειττων ἀνθρώπων ὁ Θεός. Εἰ γὰρ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ, πολλῷ μᾶλλον οἱ ἐν Χριστῷ ζῶντες οὐκ ἂν εἶεν αὐτοὶ τοῦ σώματος αὐτῶν κύριοι 1).

Συνόδου ἕκτης μδ'.

Ὁ δὲ μδ'. τῆς ς'. Συνόδου, Τὸν ἁλόντα πορνείᾳ μοναχὸν, καὶ μεταμελείᾳ μετὰ τοῦτο χρησάμενον καὶ ἐξομολογήσει, φι-

1) ὁ § οὗτος οὐ κεῖται ἐν τοῖς ὑπ' ὄψιν ἡμῶν Κώδιξιν, ἀλλὰ μόνον παρὰ Β.

λανθρωπότερόν τι ποιῶν, μηδὲν πλέον τῶν πορνευόντων ἐπιτιμᾶσθαι κελεύει. Οἶμαι τοίνυν τουνονὶ τὸν κανόνα δεόντως κρατεῖν, οἷα τῶν ἄλλων μεταγενέστερον. Ζήτει καὶ τὸ ιά. Κεφ. τοῦ Γ στοιχείου, καὶ ἐν τῷ ιϐ΄. Κεφαλαίῳ τοῦ Δ στοιχείου κανόνα δ΄. τῆς δ΄. Συνόδου, καὶ ἐν τῷ ιϐ΄. Κεφ. τοῦ Ε στοιχείου κανόνα ιζ΄. τῆς ζ΄. Συνόδου.

Νόμοι.

Ἐκποίησις μοναστηρίου μὴ γινέσθω, ἐφ' ᾧ τὸ ἱερατικὸν σχῆμα εἰς ἰδιωτικὴν μετασχηματίζεσθαι διαγωγὴν, ἐπεὶ ἄδειαν ἔχουσιν οἱ ἐπίσκοποι ἐκδικεῖν, καὶ εἰς τὸ πρότερον ἐπανάγειν σχῆμα 1).

Ἀπὸ δὲ τῆς ρλά. Ἰουστινιανείου νεαρᾶς γνοίης ἄν, ὅτι τὰ γινόμενα παρὰ τῶν κτητόρων ἐν τοῖς μοναστηρίοις τυπικὰ, στέργειν ὀφείλουσιν, εἰ μήπου τοῖς κανόσιν ἐναντιοῦνται· οὐ γὰρ ἔξεστιν αὐτοῖς ἀπείργειν τοὺς ἐγχωρίους ἐπισκόπους τῶν κανονικῶν δικαίων ἐν τοῖς παρ' αὐτῶν κτιζομένοις μοναστηρίοις· οὐδὲ οἱ ἀνεγείροντες ἀρχιερεῖς μοναστήρια, ἐπισκήπτειν μετ' ἐπιτιμίου δύνανται τοῖς μετ' αὐτοὺς ἀρχιερεῦσι, μηδ' ὁτιοῦν εἰς ταῦτα δίκαιον ἔχειν· στρέφεται γὰρ ὁ παράλογος ἀφορισμὸς εἰς τὰς ἐκείνων κεφαλάς 2).

Ὅπως προβάλλεται ἡγούμενον ὁ ἐπίσκοπος.

Ὁ ἐπίσκοπος τὸν ἀββᾶν, ἢ τὸν ἀρχιμανδρίτην ἑκάστου μοναστηρίου, μὴ πάντως κατὰ τὸν βαθμὸν προβαλλέσθω, ἀλλ' ὃν οἱ μοναχοὶ πάντες, ἢ οἱ εὐϋπόληπτοι ἐπιλέξωνται, ἐπὶ τῶν Εὐαγγελίων λέγοντες, ὡς οὐ διὰ φιλίαν ἢ χάριν αὐτὸν ἐπελέξαντο· ἀλλὰ γινώσκοντες αὐτὸν ὀρθόδοξον, καὶ σώφρονα, καὶ τῆς διοικήσεως ἄξιον, καὶ δυνάμενον φυλάξαι τὴν ἐπιστήμην τῶν μοναχῶν, καὶ τὴν τοῦ μοναστηρίου κατάστασιν· τὰ αὐτὰ καὶ περὶ τῶν γυναικείων μοναστηρίων καὶ ἀσκητηρίων 3).

Νεαρά.

Ἡ δὲ ρκγ΄, Ἐν ἅπασι δὲ τοῖς μοναστηρίοις, φησὶν, ἅπερ κα-

1) Νεαρ. ρκ΄, κ΄. —θ΄, Βασ. Ε΄. 6΄. — 2) Νεαρ. ρλά. ί. — 3) Νεαρ. ρκγ΄. λδ΄. — 6΄. Βασ. Δ΄. ά.

λοῦνται κοινόβια, κελεύομεν κατὰ τοὺς μοναχικοὺς κανόνας, ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαι· καὶ ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς· ταῦτα δὲ πάντα καὶ περὶ τὰ τῶν γυναικῶν φυλάττεσθαι μοναστήρια 1).

Τὸ δὲ ιέ. ταύτης Κεφάλαιον, Οὐκ εἰσελεύσεται, φησίν, οὔτε γυνὴ παντάπασιν εἰς ἀνδρῶν μοναστήριον, οὔτε ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει μνήμης τινὸς τελευτήσαντος κἀνταῦθα κειμένου, ἢ διά τινα ἑτέραν αἰτίαν· οὐδὲ εἴτις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν, ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε· συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἔστι, τοῖς γε τὸν ἐν Οὐρανοῖς ζηλώσασι βίον· καὶ μήτε ἄνδρες ἐν γυναικείῳ μοναστηρίῳ τάφοις κατατιθέσθωσαν, μήτε γυναῖκες ἐν ἀνδρικοῖς μοναστηρίοις κατορυττέσθωσαν, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν, ἃ μὴ θέμις δρᾶν, τρυφᾶν τε καὶ παίζειν, καὶ τὰ θεῖα πράγματα καταισχύνειν 2).

Ἀλλ' εἰ καὶ γυνή τις ἐν γυναικείῳ θάπτεσθαι μέλλοι μοναστηρίῳ, (ἄνδρα γὰρ οὐκ εὐαγὲς εἶναι κρίνομεν), τοὺς τὴν κλίνην φέροντας μόνους, καὶ τοὺς ὀρύξαντας εἰσφοιτᾶν ἐπ' αὐτό· καὶ τὰς μὲν μοναχὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ· μόνην δὲ τὴν θυρωρὸν καὶ τὴν ἡγουμένην, εἴγε βουληθείη, παρεῖναι τοῖς γινομένοις· καὶ θᾶττον ἐκείνους τελέσαντας τὰ περὶ τὴν ὁσίαν, εὐθὺς ἀπιέναι, μήτε θεασαμένους τινὰς τῶν μοναζουσῶν, μήτε ὑπ' αὐτῶν θεαθέντας· τρίτα δὲ ποιοῦντας καὶ ἔννατα, ὥς γε δὴ νόμος ἐν τεθνεῶσίν ἐστιν, καὶ ἀκολούθως τεσσαρακοστὰ, καὶ λοιπὰ κατὰ τοὺς τεταγμένους καιροὺς μνημόσυνα, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν· εἰ δὲ ἀνδρῷον, ἄνδρας 3).

Μὴ πολλὰς δὲ εἶναι τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχὸν, ἐφεστάναι τε τῇ πύλῃ ἄνδρας γεγηρακότας καὶ σώφρονας, οἵπερ οὔτε τοῖς μοναχοῖς συγχωρήσουσιν ἐκφοιτᾶν τοῦ μοναστηρίου χωρὶς γνώμης τοῦ ἡγουμένου, οὔτε τοῖς

---

1) N. ρκγ'. κεφ. λς'.—δ'. Βασ. αὐτόθι.—2) N. ρλγ'. γ'.—ιθ'. Βασ. αὐτόθι. — 3) N. ρλγ'. γ'.—κ'. Βασ. αὐτόθι.

ἔξωθεν ἀδεῶς γίνεσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ μεθ' ἡμέραν 1).

Ὁ εἰς τὸν μοναχικὸν ἐρχόμενος βίον, εἰ μὲν γνώριμος εἴη ὅτι οὐδεμιᾷ ὑπόκειται τύχῃ, τοῦτον, ὁπόταν δοκιμάσῃ ὁ ἡγούμενος, τὸ μοναχικὸν σχῆμα περιβαλλέτω· εἰ δὲ ἄγνωστος, εἰς τριετίαν δοκιμαζέτω, καὶ εἰ ἄξιος κριθείη, ἀποκειρέσθω, μηδὲν δεινὸν παθεῖν ὑφορώμενος, εἰ ὄχλησις μετὰ ταῦτα συμβαίη. Ζήτει νόμον καὶ ἐν τῷ ιϐ'. Κεφ. τοῦ Δ στοιχείου 2).

Προνοίᾳ τοῦ ἐπισκόπου, μήτε μοναχοὶ, μήτε μονάστριαι κατὰ τὰς πόλεις περιερχέσθωσαν, ἀλλὰ διὰ τῶν ἀποκρισιαρίων τὰς ἀποκρίσεις αὐτῶν ποιείτωσαν, ἐν τοῖς μοναστηρίοις μένοντες. Ζήτει καὶ ἐν τῷ ζ'. Κεφαλαίῳ τοῦ Κ στοιχείου 3).

Εἴ τις τῶν μοναχῶν τὸ μοναστήριον καταλιπὼν, εἰς κοσμικὸν μετέλθοι βίον, οὗτος τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τινα ἐκτήσατο, γυμνωθεὶς πρῶτον πρὸς τοῦ ἐγχωρίου ἐπισκόπου καὶ τοῦ ἄρχοντος, αὖθις μεθ' ὧν ἐπεκτήσατο πραγμάτων ἐν τῷ μοναστηρίῳ καὶ ἄκων ἐμβαλλέσθω 4).

Οἱ τὸν μονήρη βίον ἐπανηρημένοι, οὔτε κουρατορεύουσιν, οὔτε ἐπιτροπεύουσιν, οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ' ἂν συγγενεῖς ὦσιν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας καὶ μόνης μονῆς, καὶ τότε συναινέσει τοῦ ἡγουμένου 5).

Ἐὰν μοναχὸς καταλίπῃ τὸ ἴδιον μοναστήριον, καὶ εἰς ἕτερον ἔλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ, καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν, ἔχειν φανείη, τῷ πρώτῳ μοναστηρίῳ, εἰς ὃ εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν 6).

Ἀπαγορεύομεν τοῖς γονεῦσι, τοὺς παῖδας μοναχικὸν ἐπιλεγομένους βίον, ἐκ τῶν εὐαγῶν ἀφέλκειν μοναστηρίων, ἢ τῆς ἰδίας αὐτοὺς ἀποκλείειν κληρονομίας, εἰ καὶ αἰτία τις πρὸ τοῦ μοναχικοῦ παρηκολούθησε βίου 7).

Ὁ μέλλων εἰσιέναι εἰς μοναστήριον διατιθέσθω τὰ κατ' αὐτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ· ἐπεὶ προσκυροῦται τῷ μονα-

---

1) ρλγ'. ά. — ιζ'. Βασ. Δ'. ά. — 2) ρκγ'. λέ. — γ'. Βασ. αὐτόθι — 3) ρκγ'. μϐ'. — ιγ'. Βασ. αὐτόθι. — 4) ρκγ'. μϐ'.—ιή. Βασ. αὐτόθι. — 5) ρκγ'. έ. καὶ ς'.—ιά. Βασ. Γ'. ά. — 6) ρκγ'. μϐ'. — ιγ'. Βασ. αὐτόθι. — 7) ρκγ'. μά. — ις'. Βασ. αὐτόθι.

στηρίῳ τὰ αὐτοῦ πάντα, εἰ καὶ μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτά, καὶ οὐκ ἔτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν 1).

Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ μέρος ἕν, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει 2).

Ἐὰν ἀδιάθετος ὁ μονάσας τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὴν ἐξ ἀδιαθέτου κληρονομίαν, τουτέστι τὸ φαλκίδιον, καὶ τὰ λοιπὰ δίδοται τῷ μοναστηρίῳ 3).

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος, δεκαετῆ μὲν εἰσιέναι τὸ μοναστήριον τὸν παῖδα κελεύει, κατὰ τὸν ῥηθέντα τῆς ς'. Συνόδου κανόνα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν, μὴ μέντοι καὶ διατίθεσθαι περὶ τῶν οἰκείων, μέχρις ἂν ὁ ις'. ἢ ιζ'. ἐπιστῇ χρόνος· Οἶμαι γὰρ, φησὶ, διὰ τοῦτο καὶ τὸν μέγαν Βασίλειον, τουτονὶ τὸν χρόνον ὁρίσαι ἐν τῇ ἀσκητικῇ αὐτοῦ βίβλῳ, ὡς μηδὲν ἐμποδὼν οὔσης τηνικαῦτα τῆς ἡλικίας εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι 4).

Δεῖ δὲ διπλοῦν τὸ ἔργον τοῖς μοναχοῖς εἶναι, ἢ ταῖς θείαις ἐνασχολεῖσθαι Γραφαῖς, καὶ ταύτας ἀεὶ μελετᾷν, ἢ τὰ μοναχοῖς πρέποντα ἐργόχειρα μετιέναι· διάνοια γὰρ μάτην σχολάζουσα, οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτέκοι 5).

Λαϊκὸς, καὶ μάλιστα σκηνικὸς, ἢ πόρνος, κεχρημένος ἢ μιμούμενος τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα, σωματικῶς τιμωρεῖται, καὶ ἐξορίζεται πρὸς τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων· ὡσαύτως καὶ ὁ ἐμπαῖξαι βουληθεὶς οἱανδήτινα ἐκκλησιαστικὴν κατάστασιν. Ζήτει καὶ ἐν τῷ λγ'. Κεφ. τοῦ Ε στοιχείου. Ζήτει καὶ ἐν τῷ ιγ'. Κεφαλαίῳ τοῦ Ε στοιχείου 6).

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Περὶ τοῦ ἁγίου μύρου.

Ζήτει ἐν τῷ θ'. Κεφ. τοῦ παρόντος στοιχείου κανόνα ις'. τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἐν τῷ ά. Κεφ. τοῦ Β στοιχείου κανόνα μή. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

---

1) Νεαρ. Ε. έ.—Πρ. Ν. ΚΔ'. β'.— 2) ρκγ'. λή. Πρ. Ν. αὐτόθι. γ'.—3) αὐτόθι. — 4) Ν. ς'. — 5) Ν. ρκγ'. ς'. — κδ'. Βασ. Δ'. ά. — 6) Ν. ρκγ'. μδ'. — ις'. Βασ. αὐτόθι.

ΑΡΧΗ ΤΟΥ Ν ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ ναῶν οἰκοδομῆς καὶ καθιερώσεως.

Ζήτει τὸ ιϐ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ νεὼ περιβόλων συμπόσια γίνεσθαι, ἢ καπηλεῖα εἶναι, ἤ τι κατ' ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἤτινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ ιέ. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΑΦΑΛΑΙΟΝ Γ΄.

Περὶ νηπίων ἐκτιθεμένων, ἢ ἀμφιβαλλομένων, εἰ ἐβαπτίσθησαν.

Ζήτει τὸ κθ΄. Κεφάλαιον τοῦ Γ στοιχείου, καὶ τὸ β΄. Κεφ. τοῦ Β στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ νηστείας.

Ἀποστόλων ξθ΄.

Ὁ ξθ΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, τὸν πρὸ τοῦ ἁγίου Πάσχα τεσσαρακονθήμερον χρόνον, μηδὲν σπουδῆς τοὺς πιστοὺς ἀνιέντας, νηστείᾳ θεσπίζει προσανέχειν καὶ ἐγκρατείᾳ, εἰς μνήμην ἄγων τῶν ἡμερῶν δήπου ἐκείνων, ἐν αἷς ὁ Κύριος, νηστείᾳ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἵλε πολέμιον· οὐ μὴν, ἀλλὰ καὶ πᾶσαν τετράδα καὶ παρασκευὴν ἑκάστης τῶν ἄλλων τοῦ ἐνιαυτοῦ ἑβδομάδων, ἐξ ἴσης ἐκείναις ἐν νηστείᾳ

διάγειν καὶ ξηροφαγίᾳ 1)· τοῖς γε μὴν οὐκ ἀνεχομένοις ἐν ταύταις ἁπάσαις νηστεύειν, κληρικοῖς μὲν καθαίρεσιν, λαϊκοῖς δὲ ἀφορισμὸν ἐπισείει, εἰ μήπου τις, φησὶν, ἀσθενείᾳ κάτοχος ὢν, εἴργεται· ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σφριγώσης σαρκός· ταύτης δὲ νόσῳ καταστάλείσης, οὐ πάνυ τοι ἀναγκαῖον, τὸ νηστείᾳ ταύτην δαμάζειν. Τοὺς γοῦν ἀσθενῶς ἔχοντας, καὶ τὴν ἐξ ἰχθύων ἐδωδὴν προσιεμένους, ἄγνωμον μὴ συγγνώμης τυγχάνειν· κρεῶν δὲ ὅλως ἅψασθαι, οὐδὲν διενήνοχε δυσσεβείας, εἰ καὶ τὰ λοίσθιά τις πνέων, τῇ μεταλήψει τούτων ἀναῤῥωσθῆναι δοκεῖ· ἐν μέν τοι τοῖς σάββασι καὶ ταῖς Κυριακαῖς τοῦ τεσσαρακονθημέρου, ἀφθονωτέρᾳ κεχρῆσθαι τροφῇ συγκεχώρηται, κατὰ τὸν ξς΄. Ἀποστολικὸν κανόνα, ὃν καὶ ζήτει ἐν τῷ λζ΄. Κεφαλαίῳ τοῦ Κ στοιχείου· κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου Πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται· εἰ γὰρ ἦσαν καὶ ἕτεραι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανών· πλὴν καὶ κατὰ τὰς ἄλλας νηστίμους, τῶν ἁγίων Ἀποστόλων, φημὶ, τῆς κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῆς Χριστοῦ γεννήσεως, οὐδεὶς εὖ φρονῶν, οἶμαι, νηστεύουσιν ἐγκαλέσειεν.

Ζήτει καὶ ἐν τῷ λζ΄. Κεφ. τοῦ Κ στοιχείου τὸν ιέ. κανόνα τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας.

Τιμοθέου ί.

Ὁ δὲ δέκατος τοῦ Τιμοθέου Ἀλεξανδρείας, ἐν ταῖς πρὸ τοῦ Πάσχα νηστίμοις ἡμέραις, καὶ οἴνου μεταλαμβάνειν, καὶ ἐλαίου, δικαιοῖ τὸν ὑπὸ νόσου ἐκτετηκότα, καὶ μὴ παραπλησίως τοῖς ἄλλοις, τῆς νενομισμένης ἔχεσθαι ξηροφαγίας, ἀλλ' ὡς ὑπομεῖναι δεδύνηται, ἢ ἑκάστης καταλύειν, ἢ παρ' ἡμέραν, κατὰ τὴν ἐπίκρισιν ᾧ προσανέθετο τὴν οἰκονομίαν τῶν οἰκείων λογισμῶν. Ζήτει καὶ τὸ κέ. Κεφάλαιον τοῦ Γ στοιχείου.

---

1) ἐνταῦθα προστίθενται ἐν τῷ Κ 1375 τὰ ἑξῆς.

Τῶν γὰρ Ἰουδαίων δὶς τοῦ σαββάτου, ἤτοι τῆς ἑβδομάδος, εἰωθότων νηστεύειν, δευτέραν, φημὶ, καὶ πέμπτην, ἡμᾶς οἱ τῆς χάριτος τετράδα καὶ παρασκευὴν νηστείαν ἄγειν ἐθέσπισαν.

Γάγγρας ιή.

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ Συνόδου ιή. κανὼν, Εἴ τις τῶν ἀσκουμένων, φησὶ, χωρὶς ἀνάγκης σωματικῆς ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλαττομένας ὑπὸ τῆς Ἐκκλησίας παραλύοι, ὑποικουροῦντος ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω. Καὶ ὁ μὲν μά. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, νήστεις εἶναι κελεύει τοὺς τελοῦντας τὰ τοῦ θυσιαστηρίου ἅγια διακόνους καὶ ἱερέας, μιᾶς ἐξῃρημένης ἐτησίως ἡμέρας, καθ' ἣν τὸ Κυριακὸν ἐπιτελεῖται δεῖπνον, τῆς μεγάλης δηλαδὴ πέμπτης· μετὰ γὰρ τὴν σωματικὴν, τὰ τῆς πνευματικῆς, ὡς ἔοικε, τροφῆς ἐπετέλουν· ἀλλὰ καὶ δήλης ὑψίας οὐτινοσοῦν τελευτήσαντος, εἰ μὲν εἶεν οἱ τὰ ἅγια τελοῦντες νήσεις, φησὶ, μόναις εὐχαῖς ἐκτελείτωσαν ταῦτα· τοῦτο δὲ τὸ νῦν ἔχον παρὰ τοσοῦτον οὐ πράττεται, παρόσον καὶ ἡμῖν, ὅτι καὶ λέγειν ἠγνόηται· ἀλλὰ δύο κανόνες δίκην ὡς εἰπεῖν τούτῳ λαχόντες, σχολὴν ἄγειν ἐπιτετιμήκασιν.

Λαοδικείας ν'.

Ὁ μὲν γὰρ ν'. τῆς ἐν Λαοδικείᾳ Συνόδου, μὴ δεῖν, φησὶ, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, πολυτελεστέροις δηλαδὴ βρώμασι κεχρημένους, καὶ ὅλην ἐντεῦθεν τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ πᾶσαν ἐν νηστείᾳ διϊέναι καὶ ξηροφαγίᾳ, ἐκτὸς δηλαδὴ τῶν ἐν ταύτῃ σαββάτων καὶ Κυριακῶν.

Συνόδου ς'. κθ'.

Ὁ δὲ κθ'. τῆς ς'. Συνόδου ταῦτά τε, ὡς ἔχει λέξεως, δίεισι, καὶ προσεπάγει, ὡς οἱ θεῖοι Πατέρες δι' αἰτίας ἴσως λυσιτελεῖς τῷ τότε καιρῷ τῇ οἰκονομίᾳ ταύτῃ ἐχρήσαντο· ἡμῖν δὲ οὐκ ἀναγκαῖον τὰς Ἀποστολικὰς καὶ Πατρικὰς ἀθετεῖν παραδόσεις, τὸν ῥηθέντα αἰνιττόμενος ζθ'. Ἀποστολικὸν κανόνα, καὶ τὸν τῆς ἐν Λαοδικείᾳ Συνόδου τουτονί.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ὅτι οὐ δεῖ νηστεύειν ἐν τοῖς σάββασι καὶ ταῖς Κυριακαῖς.

Ζήτει τὸ λζ΄. Κεφάλαιον τοῦ Κ στοιχείου.

[ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Ὅτι τοὺς νηστεύοντας οὐχ ὡς βδελυκτῶν τῶν βρωμάτων ἀπέχεσθαι δεῖ.

Ζήτει τὸ θ΄. Κεφάλ. τοῦ Β στοιχείου, καὶ ἐν τῷ β΄. Κεφ. τοῦ Ε στοιχείου, τὸν κγ΄. κανόνα τοῦ μεγάλου Βασιλείου.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ Νόμου.

Νόμος ἐστὶ κοινὸν παράγγελμα· φρονίμων ἀνδρῶν δόγμα· ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιστροφὴ, ἤτοι σωφρονισμός· πόλεως συνθήκη κοινή· ἔστι δὲ καὶ θεῖον εὕρημα. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι 1).

Οὐ περὶ τοῦ καθέκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται. Ὁ νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται, ἔστι γὰρ τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου 2).

Τοὺς νόμους, ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως εἰσάγεσθαι δεῖ, οὐδὲ ἀπὸ τῶν δυναμένων ἐν ἑνὶ συμβῆναι θέματι· παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς 3).

Οἱ προγενέστεροι νόμοι εἰς τοὺς μεταγενεστέρους ἕλκονται· αἱ δὲ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσίν 4).

Ἐν οἷς οὐκ ἔστιν ἔγγραφος νόμος, ἡ μακρὰ συνήθεια, ἐπὶ πολ-

1) ιγ΄. ιδ΄. καὶ ιή. Βασ. Β΄. ά. — 2) ιθ΄. καὶ ά. αὐτόθι. — 3) ιέ. ις΄. καὶ ιζ΄. αὐτόθι. — 4) λς΄. αὐτόθι καὶ έ, Βασ. Β. ς΄.

λοὺς ἐνιαυτοὺς δοκιμασθεῖσα, ἀντὶ νόμου κρατεῖ, τάξιν ἔχουσα νόμου 1).

Τὰ κακῶς κριθέντα καὶ τυπωθέντα, οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια βεβαιοῖ 2).

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ νομῆς.

Νόμοι.

Ὅτι δεκαετία ἢ εἰκοσαετία οὐ βοηθεῖ τῷ κακῇ πίστει νεμομένῳ, εἰ μὴ ἡ τριακονταετία καὶ μόνον, εἴπερ ἀδιακόπως ἐνέμετο, καὶ ὄχλησιν ἐν δικαστηρίῳ μὴ ὑπέμεινε 3). Ζήτει καὶ ἐν τῷ θ'. Κεφ. τοῦ Δ στοιχείου.

Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις, ἐπὶ τῶν μὴ κεχρημένων, διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν παρόντων, δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων, εἰκοσαετίᾳ ἀπόλλυται 4).

Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην 5).

Ὁ δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ, εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατὰ τοῦ ἀγροῦ δουλείαν, ἐν τῷ νενομισμένῳ τριετίας χρόνῳ, μὴ κωλύσαντος αὐτὸν τοῦ δεσπότου τοῦ ἀγροῦ 6).

Τὰ κινητὰ πράγματα, ἐπὶ τριετίαν ἀνεπιφωνήτως κρατούμενα, δεσπόζονται 7).

---

1) μβ'. Βασ. Β'. ά. —2) μζ'. αὐτ. —3) γ'. Βασ. Ν'. ί. — 4) ί. Βασ. ΝΗ, ζ'. — 5) έ. Βασ. ΝΗ, γ', — 6) 6'. Βασ. ΝΗ. ζ'. — 7) δ'. Βασ. Ν'. ί.

ΑΡΧΗ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ ξοάνων καθαιρέσεως.

Καρθαγένης νή. πδ΄.

Ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν νή, καὶ μέντοι καὶ ὁ πδ΄, τὰ ξόανα πάντα κελεύουσι καθαιρεῖν, καὶ τὰ τῶν εἰδώλων ἐγκαταλείμματα, ῥίζαις αὐταῖς ἐξελεῖν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ὅτι δεῖ τοὺς ξένους τῶν κληρικῶν ὑποδέχεσθαι.

Ζήτει τὸ θ΄. Κεφάλαιον τοῦ Α στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ὅτι οἰκονόμον ἔχειν δεῖ τὸν ἐπίσκοπον καὶ τὸν ἡγούμενον.

Ζήτει τὸ κδ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ οἰωνισμῶν.

Ζήτει τὸ γ. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ ὀνειρασθέντος.

Ζήτει τὸ κή. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ὅρκων.

Ζήτει τὸ λϐ'. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ παιγνίων θυμελικῶν.

Ζήτει τὸ ά. Κεφ. τοῦ Θ στοιχείου, καὶ ἐν τῷ ιέ. Κεφ. τοῦ Μ στοιχείου, κανόνα κζ'. τῆς ζ'. Συνόδου, καὶ τὸ ζ'. Κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἐν πανδοχείῳ ἐσθιόντων κληρικῶν.

Ζήτει τὸ ζ'. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ παραιτήσεως ἐπισκόπων.

Ζήτει τὸ κή. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν παρθενίαν ἁλομένων γυναικῶν.

Ζήτει τὸ ιέ. Κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς ἐν τῇ παρασκευῇ νηστείας.

Ζήτει τὸ δ'. Κεφάλαιον τοῦ Ν στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Περὶ παρακαταθήκης.

Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινι διδόμενον 1).

Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε ταύτην, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια· ὁ γὰρ παρακαταθήκην λαμβάνων, δόλον μόνον καὶ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη 2).

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τοῦ ἁγίου Πάσχα.

Εἶτα τὰς μὲν ἄλλας τῶν ὑποθέσεων, ἃς τὸ προκείμενον ἀπαιτεῖ σύνταγμα, τοῦ μηδὲν ἐλλείπειν τῶν ἡκόντων εἰς δύναμιν τοῖς σμικρὰ καὶ φρονοῦσι καὶ δρῶσιν ἡμῖν ἐμέλησε, τοῦ δὲ σεβασμίου τοσοῦτον κατολιγωρήσομεν Πάσχα, ἐν ᾧ τὸ κεφάλαιον τῆς περὶ ἡμᾶς τοῦ Κυρίου οἰκονομίας ἐξείργασται, ὡς μὴ τὰς μεθόδους αὐτοῦ, καὶ τὰς τούτων αἰτίας, ὡς οἷόν τε δήλας θεῖναι τοῖς ἀγνοοῦσι; καὶ τίς ἂν ἡμᾶς δικαίας οὕτω παραιτήσαιτο μέμψεως; Τοιγάρ τοι καὶ πρό γε τῶν θείων χρησμῶν, μικρά μοι δοκεῖ διαλαβεῖν ἄττα.

Τοῦ Πάσχα τοῦ ἱεροῦ πολλοῦ δέομεν ἐν περινοίᾳ γενέσθαι, μηδέπω κατειληφότες τὸ νομικόν· δεῖ γὰρ τοὺς τύπους ἡγεῖσθαι πρὸς τὴν τῆς ἀληθείας συντέλειαν. Τὸ πάσχα τοίνυν τὸ νομικόν, Μωσῆς ἐκεῖνος ὁ πάνυ, κατά γε τὴν ιδ΄. τοῦ πρώτου σεληνιακοῦ μηνὸς τελεῖσθαι νενομοθέτηκε. Πρῶτος δὲ μήν ἐστιν ὁ παρ' Αἰγυπτίοις μὲν Φαμενὼθ, Δίστρος δὲ παρ' Ἕλλησι, Νισὰν δὲ παρ' Ἑβραίοις, παρὰ δὲ Ῥωμαίοις ὀνομαζόμενος Μάρτιος· ἐν ᾧ τὴν ἐναντίαν τοῦ παντὸς διϊππεύων ὁ ἥλιος, τὸ πρῶτον ἄρχεται τοῦ ζωδιακοῦ κύκλου δωδεκατημόριον εἰσιέναι, ὅ δὴ καὶ ἰσημερινὸν, καὶ μηνῶν ἀρχὴν, καὶ κεφαλὴν τοῦ κύκλου, καὶ ἄφεσιν τοῦ δρόμου 3) τῶν πλανητῶν, οἱ περὶ ταῦτα ἐσχολακότες φιλοῦσι καλεῖν· τὸ δὲ πρὸ τούτου,

1) Πρ. Ν. ΙΗ΄, ά. — 2) αὐτόθι ιά. — 3) νόμου Β.

μηνῶν ἔσχατον, καὶ τελευταῖον δωδεκατημόριον, καὶ τέλος τῆς τῶν πλανητῶν περιόδου. Τὸν Μάρτιον δὲ πρῶτον εἶναι μῆνα 1) πιστεύομεν, ἐξ ὧν ὁ Μωϋσῆς εἴρηκεν, ὡς κελεύσειεν ὁ Θεὸς κατ' ἐκεῖνο τοῦ καιροῦ, τὰ δένδρα, καὶ τὰ ἄνθη, καὶ τὰς πόας ἀναβλαστῆσαι· ὁρῶμεν δὲ οὐκ ἐν ἑτέρῳ, ἀλλ' ἐν τούτῳ νόμῳ φύσεως, τοῦ Θεοῦ πληρούμενον τὸ ἐπίταγμα. Ὁ μὲν οὖν εἰρημένος μὴν, ὥσπερ ἄρα καὶ οἱ λοιποὶ πάντες, οὐχ ἧττον τοῖς ὀνόμασιν ἢ τῷ ἀριθμῷ τῶν ἡμερῶν διαφέρουσι παρ' ἑκάστοις τῶν εἰρημένων ἐθνῶν.

Περὶ ἰσημερίας 2).

Τήν γε μὴν ἰσημερίαν, ἡ μὲν τοῦ παντὸς φύσις, τὸν αὐτὸν ἀεὶ χρόνον καθ' ἕκαστον ἔτος ποιεῖ, τῷ πολλὴν φέρειν ἀεὶ πρὸς ἑαυτὸ τὴν ἰσότητα τὸ τοῦ ἐνιαυσίου χρόνου διάστημα· ὁ ἀριθμὸς μέντοι τῶν ἡμερῶν τε καὶ μηνῶν, ὅ,τε τοῖς ἄλλοις εἰωθὼς ἔθνεσι, καὶ ᾧ κατὰ Ῥωμαίους ἡμεῖς χρώμεθα, οὔτε τὴν αὐτὴν ὥραν, οὔτε τὴν αὐτὴν ἡμέραν συγχωρεῖ γίνεσθαι. Ἐπεὶ γὰρ τὸ ἐνιαύσιον μέγεθος, πρὸς ταῖς τξέ. ἡμέραις, καὶ τέταρτον ἔγγιστα προσλαμβάνει, ὅταν ᾖ ἡ ἰσημερία περὶ μεσημβρίαν, τὸ μὲν ἑξῆς ἔτος ἔσται περὶ δύσιν ἡλίου, τὸ δὲ ἑξῆς, περὶ μέσας νύκτας, καὶ οὕτω μέχρι παντός. Ἐπεὶ δ' αὖθις ἡ ἐπὶ τξέ. ἡμέρας ἐπουσία, οὐχ ὅλον τέταρτον ἡμέρας περιέχει, ἀλλὰ παρὰ τριακοσιοστὸν, ὡς προϊόντες ἀκριβέστερον δείξομεν 3), ἡμεῖς δὲ τῷ τῶν ἡμερῶν καὶ μηνῶν ἀριθμῷ κατὰ Ῥωμαίους χρώμεθα, ὡς τοῦ τετάρτου ἀεὶ τελείου προσγινομένου, καὶ παρὰ τοῦτο κατὰ τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ταῖς τξέ. προστίθεμεν, ἐξ ἀνάγκης τὴν ἰσημερίαν συμβαίνει ἐν τοῖς τ'. ἐνιαυτοῖς πρὸ μιᾶς ἡμέρας γίνεσθαι· οἷον, ἐπεὶ κατὰ τὸ παρὸν ἡ ἰσημερία ἐπιλελόγισται ἡμῖν γινομένη τῇ ὀκτωκαιδεκάτῃ τοῦ Μαρτίου μηνὸς, μετὰ τριακόσια ἔτη, ἔσται τῇ ἑπτακαιδεκάτῃ· εἶτα μετὰ ἕτερα τοσαῦτα, τῇ δεκάτῃ ἕκτῃ, καὶ οὕτως ἀεί· καὶ γὰρ κατὰ τοὺς χρόνους Ναβουνασάρου περὶ λῆξιν ἐσπερίαν ἐτύγχανεν οὖσα τῆς τοῦ Μαρτίου πέμπτης καὶ εἰκο-

1) οὐ κεῖται τὸ, μῆνα, παρὰ Β. — 2) Γ. — 3) ὡς καὶ ἐν ἑτέρεις εἰρήκαμεν 1340 ε.

στῆς· ἐν δὲ τοῖς Φιλίππου τοῦ Ἀριδαίου, περὶ μεσημβρίαν τῆς τετάρτης καὶ εἰκοστῆς αὐτοῦ· ἡνίκα δὲ ὁ Χριστὸς τὸν σωτήριον ὑπὲρ ἡμῶν ὑπήρχετο θάνατον, περὶ μέσην νύκτα τῆς κγ΄. τοῦ αὐτοῦ μηνός· ἐφ' ἡμῶν δὲ νῦν, ὡς δεδήλωται, περί που τὴν δεκάτην ὀγδόην αὐτοῦ 1).

Οἱ μὲν οὖν λογιώτεροι τῶν Ἑβραίων, καὶ μάλιστα οἱ τὴν Ἰουδαίαν οἰκοῦντες, οἷος ἦν Ἰώσηπος καὶ Φίλων, ἄνδρες φιλοσοφίας ἁπάσης ἐπ' ἄκρον ἐληλακότες, οὐκ ᾤοντο δεῖν πρὸ τῆς ἰσημερίας τὸ νομικὸν ἄγειν πάσχα· αὐτοὶ γὰρ οὗτοί φασι δεῖν τὰ διαβατήρια θύειν ἐπίσης ἅπαντας μετὰ ἰσημερίαν ἐαρινὴν, μεσοῦντος τοῦ πρώτου μηνός· οἱ δὲ ἀγροικότερον διακείμενοι, καὶ πανταχῆ τῆς οἰκουμένης διεσπαρμένοι, πρῶτον ἐξ ἀμαθίας μῆνα ὑπολαμβάνοντες, ἐν ᾧ τὴν ἐαρινὴν γίνεσθαι συμβαίνει μόνον ἰσημερίαν, εἴτε δὲ πρὸ ταύτης, εἴτε μετὰ ταύτην ὁ πλησιφανὴς ἁπαντᾷ τῆς σελήνης σχηματισμὸς, οὐδ' ὁτιοῦν μέλον αὐτοῖς, οὔτε μὴν εἰ μήπω καθαρῶς τοῦ τῆς ἰσημερίας σημείου ἐπέβη ὁ ἥλιος, ἐν τούτῳ ἀσυντηρήτως καὶ πρὸ τῆς ἰσημερίας ἐπετέλουν τὸ πάσχα· περὶ ὧν μοι δοκεῖ καὶ ὁ ζ΄. τῶν θείων Ἀποστόλων κανὼν διορίζεσθαι, ἀφορισμὸν καταψηφιζόμενος, εἴ τις τῶν τοῦ κλήρου, τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν μετὰ Ἰουδαίων πρὸ τῆς ἐαρινῆς τελέσειεν ἰσημερίας· ἐπεὶ γὰρ οὐ διεζευγμένως ὁ κανὼν ἐπιτιμᾶσθαι θεσπίζει, τὸν μετὰ Ἰουδαίων, ἢ πρὸ τῆς ἐαρινῆς ἰσημερίας ἑορτάζοντα, τὸ εἰρημένον ἄνωθεν νοεῖν ὑποτίθησι. Συμβαίνει δὲ, πέμπτον τῆς σελήνης κύκλον διερχομένης, ᾧ τινι ἐξ ἀνάγκης ὁ εἰκοστὸς ὄγδοος θεμέλιος ἕπεται, (οὕτω γὰρ τοῖς πολλοῖς ὁ περιττεύων ἀπὸ τῶν αὐτῆς κύκλων τῶν ἡμερῶν ἀριθμὸς ὀνομάζεται), καὶ περί που τὴν τοῦ Μαρτίου ἑπτακαιδεκάτην τὸ πλησιφαὲς ἀκριβῶς ὑπολευκαινούσης, ἐκείνους μὲν ἀνεπιστημόνως πάνυ καὶ προπετῶς τηνικαῦτα τὴν ἑορτὴν ἄγειν· τοῦτο γὰρ ἔτι καὶ νῦν ὁρῶμεν παρανόμως ποιοῦντας, τοὺς ταῖς ἡμετέραις πόλεσιν ἐπιχωριάζοντας· ἡμεῖς δὲ τὸ ἀδεὲς ἡμῖν αὐτοῖς περιποιούμενοι, καὶ ὡς οὐχ ὅσια δρῶσι πολλὰ χαίρειν αὐτοῖς φάσκοντες, ἐπὶ τὸν ἑξῆς σεληνιακὸν ἐπειγόμεθα μῆνα, ὃν αἱ τοῦ

1) τὰ ἀπὸ τοῦ, ἐφ' ἡμῶν δὲ νῦν, οὐ κεῖται παρὰ Β.

Ἀπριλίου ἀριθμεῖν ἡμέραι πεφύκασιν, ἡνίκα καὶ μακρῷ τῷ τῶν ἡμερῶν διαστήματι διέχειν συμβαίνει τοῦ παρ' Ἰουδαίοις τὸ ἡμέτερον πάσχα· οὕτω γὰρ οἱ θεῖοι Πατέρες σοφῶς ἄγαν καὶ ἠκριβωμένως ἐσκόπησαν, τοὺς τῶν θείων Ἀποστόλων θεσμοὺς, παντὸς μᾶλλον οἰκονομούμενοι τὸ βέβαιον ἔχειν 1), οὐ μὴν εἰ μετὰ τὴν ἐαρινὴν ἐκείνην τὸ πάσχα τελέσουσιν 2) ἰσημερίαν, συνεορταστέον αὐτοῖς· τοῦτο γὰρ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ πρῶτος ἀπαγορεύει κανὼν, ἐξεπίτηδες, ὡς ἔοικε, τὸν νοῦν ἑρμηνεύων τοῦ Ἀποστολικοῦ τοῦδε κανόνος, ὅτι δύο τίθησιν ἐπὶ τοῦ πάσχα διορισμοὺς ὁ κανὼν, εἰ καὶ οὕτω τὸν λόγον προήγαγε 3), τοῖς Ἰουδαίοις ἡμᾶς μὴ συνεορτάζειν, καὶ τὴν ἐαρινὴν περιμένειν ἰσημερίαν, οἷς ἕτεροι δύο ἐξ ἀνάγκης ἐπηκολούθησαν, ἄγειν τε τὴν ἑορτὴν εὐθὺς τῇ πρώτῃ μετὰ τὴν ἰσημερίαν πανσελήνῳ, καὶ μετὰ ταύτην μὴ ἐν οἱᾳδήποτε τῶν ἡμερῶν ἁπλῶς, ἀλλ' ἐν τῇ πρώτῃ μετὰ τὴν πανσέληνον εὐθὺς τῆς ἑβδομάδος ἡμέρᾳ. Καὶ οἱ μὲν ἄλλοι τῶν διορισμῶν ἔτι καὶ νῦν βεβαίως διατηροῦνται· ἡ δὲ μετὰ τὴν πανσέληνον πολλάκις ἡμῖν ὑπερτίθεται κυριακὴ, τῷ δύο προστίθεσθαι ἡμέρας ἑκάστου ἔτους τῷ πάσχα τῷ νομικῷ, καὶ μετ' ἐκείνας ἐπὶ τὴν κυριακὴν ἔρχεσθαι. Συνέβη δὲ τοῦτο οὐκ ἐξ ἀγνοίας ἢ ἀπειρίας τῶν θεσπισάντων Πατέρων τὸν περὶ τοῦ πάσχα τουτονὶ νόμον, ἀλλὰ τῷ δρόμῳ τῆς σελήνης τὰ τῆς αἰτίας ἀναφέρεται τούτης· ἐπειδὴ γὰρ αὖθις τὸ ἐνιαύσιον κίνημα δι' ἡμερῶν ἀποκαθίσταται τριακοσίων ἑξήκοντα πέντε καὶ τεταρτημορίου ἡμέρας ἔγγιστα, ὡς εἴρηται, αἱ δὲ μέσαι τῆς σελήνης κατὰ μῆκος πάροδοι οὐκ ἀποκαθίστανται ἐν ὅλοις ἔτεσι ιθ'. τοῖς κατὰ προσθήκην τοῦ τετάρτου ἀριθμουμένοις, ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα τριάκοντα ἑπτὰ, τούτου χάριν ἐν τδ'. ἐνιαυτοῖς, οὐχ ὅλοις πάλιν, ἀλλ' ἐλαττουμένοις ἡμέρας οὐδὲν, ἑξηκοστὰ πρῶτα νζ'. καὶ δεύτερα νθ', ἤτοι μίαν ἡμέραν ἔγγιστα, ἡ εἰρημένη γίνεται ἀποκατάστασις· διὰ δὴ

1) ἐν μέντοι τοῖς δεκαεννέα σεληνιακοῖς κύκλοις εἰς τοῦτο συμβαῖνον ἴδοι τις ἄν· 1375. — 2) τελοῦσιν B. Γ. — 3) Ὅτι τέσσαρες οἱ τοῦ ἡμετέρου πάσχα προσδιορισμοί· ἐπιγραφὴ ἐν χ. 1375.

τοῦτο ἀρτίως δύο μετὰ τὴν πανσέληνον ἡμέραι εὑρίσκονται προσιθέμεναι ἐν τῇ τοῦ νομικοῦ πάσχα εὑρέσει, τῆς πανσελήνου μὴ δυναμένης καταλαβεῖν ἀρτίως τὴν ὁρισθεῖσαν τότε τοῖς Πατράσι ποστὴν τοῦ μηνὸς, ἐλαττουμένης, ὡς εἴρηται, ἐν τριακοσίοις τέσσαρσιν ἔτεσι, μίαν ἡμέραν ἔγγιστα. Καὶ τοιαύτην μὲν ὁ χρόνος περὶ τὴν ἡμέραν τοῦ πάσχα, καὶ ἡ τῶν φωστήρων κίνησις τὴν ἀνωμαλίαν πεποίηκε· τῇ εὐσεβείᾳ γε μὴν οὐδοπωστιοῦν τοῦτο λυμαίνεται, ὅτι μὴ καὶ τὰ μεγάλα συμβάλλεται· περιφανεστέρα γὰρ ἐντεῦθεν ἡ διάστασις δείκνυται τῆς τε τοῦ νομικοῦ καὶ τοῦ ἡμετέρου τελετῆς πάσχα, οὐ μιᾶς ἡμέρας, ὡς τότε, ἀλλὰ τριῶν μεσολαβουσῶν τοὐλάχιστον. Διὰ γὰρ τοῦτο πάντως καὶ τὴν ἡμέραν οἱ Πατέρες μετενηνόχασιν ἐπὶ τὴν κυριακήν· εἰ δ' ἐν κυριακῇ τὸ νομικὸν τύχοι πάσχα, ἐπὶ τὴν ἑξῆς μεταβαίνειν διωρίσαντο, τὴν θεομάχον καὶ ἀνέορτον αὐτῶν ἑορτὴν ἡμᾶς ἐκτρέπεσθαι, καὶ μακρῷ τῷ διαστήματι τὴν ἡμετέραν ἐκείνης πᾶσι τρόποις ἀποδιΐστασθαι, ἐν καλῷ κεῖσθαι σκοπήσαντες 1). Ταῦτα δὲ πλατυκώτερον ἡμῖν προϊοῦσι δειχθήσεται, ἔνθα καὶ κανόνια ἐκτέθεινται, τήν τε ἰσημερίαν καὶ τὰς πανσελήνους ὁλοσχερέστερον ἑρμηνεύοντα, καὶ ἐν ποίοις ἔτεσι φανερῶς ἡ τῶν συζυγιῶν διαφορὰ δείκνυται.

Tivos ἕνεκα μετ' ἰσημερίαν τὸ πάσχα γίνεται;

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη σκοπῆσαι, καὶ τίνος ἕνεκεν μετ' ἰσημερίαν ἐαρινὴν τὸ πάσχα τελεῖν προστετάγμεθα· ὅτι τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν κόσμον παραγαγόντος τοῦ Θεοῦ, ἀπὸ τῆς πρώτης ἡμέρας ἄχρι καὶ τῆς ἑβδόμης ἀκριβὴς ὑπῆρχεν ἰσημερία, μήτε τῆς ἡμέρας, μήτε μὴν τῆς νυκτὸς τὴν ἑτέραν, μηδὲ τὸ ἀκαριαῖον πλεονεκτούσης· εἰ γὰρ καὶ ἡ τετάρτη τῶν ἡμερῶν, τῶν φωστήρων ηὔχει θεωμένη τὴν γένεσιν, ἀλλ' οὐκ ἦν αὐτοῖς ἐπιτετραμμένον καὶ τὴν ἐναντίαν ἶέναι, ὥς γε δὴ τανῦν, τοῦ παντός· ὁ μὲν γὰρ ἥλιος, τὸ πρῶτον ἰσημερινὸν

1) Εἰ γὰρ μὴ τοῦτο ἦν, ἀτάκτως κἂν προῤῥαινε συμπίπτον, ὡς ἔοικε, τὸ ἡμέτερον· οὐκ ἀεὶ δύο, πλειόνων δὲ ἢ ἐλαττόνων ἑκάστου ἔτους τῶν ἡμερῶν ἐπιγινόμενον· ταῦτα εὕρηται ἐν χ. ε.

εὐθὺς τμῆμα τοῦ ζωδιακοῦ ὑπελθὼν, ἐν τῇ πρώτῃ τοῦ κριοῦ ἵδρυτο μοίρᾳ· ἡ δέ γε σελήνη, ἐν τῇ κατὰ διάμετρον τούτου χώρᾳ παραχρῆμα διΐστατο, τὸ φθινοπωρινὸν μὲν, ἰσημερινὸν δὲ καὶ αὕτη, τὸν ζυγὸν, διϊππεύουσα, μηδὲ βραχὺ τοῦ ἡλίου προεκπηδῶσα, ὡς γοῦν πέφυκε τρέχειν τὴν τήμερον, οὐ γὰρ ἦν ἄλλως τὸ πλησιφαὲς ἀκριβῶς αὐτῇ περισώζεσθαι, μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ὑποδεικνύντος πεποιηκέναι, εἰ καὶ τὸ τετραμμένον πρὸς τὸν ἥλιον αὐτῆς ἅπαν μέρος, διόλου πεφωτισμένον τυγχάνον, τῷ διαφόρῳ τῆς κινήσεως ποικίλα τὰ τῶν φωτισμῶν ἡμῖν ὑποφαίνει σχήματα. Ὁμαλῶς τοίνυν καὶ ἄμφω τὰ φῶτα, μᾶλλον δὲ ἀκινήτως ὁμοῦ τῷ παντὶ συγκινούμενα, τὸ τέλος οἱονεὶ τῆς τοῦ παντὸς δημιουργίας ἀνέμενον. Τῇ γε μὴν ἕκτῃ, χερσὶ Θεοῦ ὁ ἄνθρωπος πλάττεται, ἰσημερίας εἰσέτι καλὸν ἐπανθούσης, καὶ τῆς σελήνης τῷ δαψιλεῖ τῆς αἴγλης πρὸς τὸν ἥλιον ἱσταμένης ἐξ ἐφαμίλλου σχεδόν· οὐ γὰρ ἦν εἰκὸς, ἢ τὸν πρῶτον ἄνθρωπον πρὸ τῆς ἰσημερίας πλασθῆναι, ἵνικα σκότῳ τὰ πάντα ἐκρύπτετο, ὃς διὰ τὴν πολλὴν πρὸς τὸ φῶς οἰκειότητα, καὶ τοῖς ἀπηλλοτριωμένοις τοῦ τῆς εὐσεβείας φωτὸς, φῶς κατὰ λόγον προσείρηται, ἢ τοὺς φωστῆρας τοῦ προσήκοντος καθυφεῖναι κόσμου, νῦν πρῶτον δορυφοροῦντας τῷ βασιλεύειν τῆς κτίσεως μέλλοντι· ἄλλως τε καὶ τοῦ χρόνου μέλλοντος δημιουργεῖσθαι, ἔδει τὴν ἡμέραν δήπου καὶ τὴν νύκτα ἄρτι παραγενομένας, ἐκ τῆς ἰσότητος ἄρξασθαι· ἐπεὶ καὶ προτέρα κατὰ φύσιν αὕτη τῆς ἀνισότητος, ὡς αἱ ἕξεις τῶν στερήσεων, τοῦ Θεοῦ ἡμᾶς ἐντεῦθεν διδάσκοντος τὸν τῆς ἰσότητος νόμον, ἐν ᾧ τὸ τῶν ἀρετῶν ἕστηκεν, ἐπίπροσθεν τιθέναι πάσης πλεονεξίας καὶ ἀνισότητος· εἶθ' οὕτω τῶν φωστήρων μετὰ τὴν ἑβδόμην ἡμέραν, ὡς ἐξ ἀφετηρίας τρέχειν ὑπαρξαμένων, καὶ μὴ ἰσοταχῶς πεφυκότων κινεῖσθαι, τὴν ἀνωμαλίαν ἐπεισελθεῖν. Ἐπεὶ γοῦν τὴν ἐξ ἁμαρτίας τοῦ ἀνθρώπου πτῶσιν εὐδόκησεν ὁ Κύριος ἐπανορθώσασθαι, προσῆκον ἦν ἐν τῇ τοῦ χρόνου ἰσημερινῇ ἀρχῇ, καθ' ἣν ὁ ἄνθρωπος τὴν πρώτην ἔσχε πλάσιν, καὶ τὴν αὐτοῦ οἰκονομηθῆναι ἀνάπλασιν, καὶ ὅτι, ἐπειδὴ τὸ φῶς ἔμελλεν αὔξειν τῆς εὐσεβείας, καὶ τὸ σκότος τῆς ἀσεβείας μειοῦσθαι, μετ' ἰσημερίαν τὸ σωτήριον πάσχα οὐκ ἔξω λόγου

τελεῖται, ἡνίκα τὸ μὲν τῆς ἡμέρας φῶς ἐπιδίδωσι, τῆς νυκτὸς δὲ τὸ σκότος ἐλαττοῦται.

Διατί οὐ γίνεται κύριον πάσχα κατ' ἔτος.

Οὐκ ἀεὶ δὲ κύριον γίνεται πάσχα, διότι ἐπὶ τούτου χρὴ πολλὰ συνδραμεῖν· οὐ μόνον γὰρ τὸ κατ' ἔτος ἐπιζητούμενον τῆς σελήνης πλῆρες, ὅπερ ἡ τῶν ἡμερῶν τεσσαρεσκαιδεκάτη ταύτῃ χαρίζεται, τῇ ἰσημερίᾳ δεῖ συνελθεῖν, ἀλλὰ καὶ τὴν ἕκτην τῶν ἡμερῶν, καὶ τὴν τοῦ Μαρτίου τρίτην καὶ εἰκοστήν, ἅπερ καὶ ὅτε ὁ πρῶτος Ἀδὰμ ἐπλάττετο, καὶ ὅτε πρὸς τοῦ δευτέρου Ἀδὰμ αὐτὸς οὗτος ἀνεπλάττετο, συνημμένα ἦν· ταῦτα δὲ σπανίως εἰώθει συμπίπτειν· διὸ καὶ οἱ λεγόμενοι ἐμβόλιμοι μῆνες εἰσαγόμενοι, τὴν περὶ τὸν καιρὸν τοῦ πάσχα ποιοῦσιν ἀνωμαλίαν· ἐπιζητοῦμεν γὰρ ἐπὶ τῷ σωτηρίῳ πάθει, προηγουμένως μὲν, ὡς δεδήλωται, τὴν τῆς σελήνης ιδ'. μετ' ἰσημερίαν εἶναι· εἰ γὰρ μικρὸν γοῦν φθάσειε ταύτην, νόμος παρ' ἡμῖν θεῖος, τὸν μὲν σεληνιακὸν ἐκεῖνον μῆνα παντάπασιν ἀθετεῖν, πρὸς δὲ τὴν ιδ'. τοῦ ἑξῆς ἁπαντᾷν· ἔπειτα κυριακῇ τὸ πάσχα τελεῖν, καὶ τοῖς Ἰουδαίοις μὴ συνεορτάζειν· οὗ χάριν, καὶ εἴγε κυριακῇ τὸ Ἰουδαϊκὸν πάσχα συνέλθοι, εἰς τὴν ἑξῆς ἡμεῖς ὑπερτιθέμεθα τὸ ἡμέτερον, ἵνα καθαρὰ δήπου καὶ ἐλευθέρα τῆς τῶν Ἰουδαίων ἔσαι τελετῆς. Ἀνωμαλίας οὖν διὰ ταῦτα περὶ τὴν ἑορτὴν γινομένης τοῦ πάσχα, τῆς κυρίας τοῦ μηνὸς ἡμέρας ἐπὶ τὸ πλεῖστον διαμαρτάνομεν. Ὁ γὰρ Κύριος τὸ σωτήριον ὑπῆλθε πάθος, ,εφλθ'. ἔτους ἐνισταμένου, τρίτον μὲν καὶ εἰκοστὸν τοῦ ἡλίου κύκλον διανύοντος, δέκατον δὲ τῆς σελήνης· καὶ οἱ μὲν Ἰουδαῖοι περὶ τὸ Ἰουδαϊκὸν εἶχον πάσχα, τῇ τελευταίᾳ μὲν τῆς ἑβδομάδος ἡμέρᾳ, ὡς φασιν οἱ Εὐαγγελισταὶ, μεγάλην ἀποκαλοῦντες τὴν ἡμέραν ἐκείνην τοῦ σαββάτου, τετάρτῃ δὲ τοῦ Μαρτίου καὶ εἰκοστῇ· τῆς δὲ ἐπιούσης κυριακῆς, ἥτις τῷ ἡλίῳ ἀφώρισται κατεξαίρετον, καὶ εἰς τὴν πέμπτην καὶ εἰκοστὴν ἀκολούθως τοῦ Μαρτίου ἐτέλει, ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος Χριστὸς ἐκ τοῦ τάφου ἀνέτειλεν. Ἐπεὶ τοίνυν τὸ νομικὸν, ὡς εἴρηται, πάσχα, ιδ'. τῆς σελήνης μετ' ἰσημερίαν τελεῖται, ἀπὸ τῆς κά. τοῦ Μαρτίου μέχρι τῆς ιή. τοῦ Ἀπριλίου εἰωθὸς ἐμπίπτειν, τὸ δὲ ἡμέτερον τῇ μετὰ τοῦτο

κυριακῇ, δημιουργὸς δὲ τῶν ἡμερῶν τε καὶ ἑβδομάδων ὁ ἥλιος, ἀμφοτέρων τῶν φώτων τοὺς κύκλους διαμετρούμενος, τὸ προκείμενον ἐκ τοῦ ῥάστου θηρῶμεν. Κύκλοι τοίνυν ἐτέθησαν τῇ μὲν σελήνῃ ιθ', ὀκτὼ δὲ καὶ εἴκοσι τῷ ἡλίῳ· κἀκεῖνοι μὲν ἀπὸ τοῦ Ἰανουαρίου νόμῳ φύσεως ἄρχονται, ὥσπερ δὴ καὶ ὁ ταύτης θεμέλιος· οἱ δέ γε τοῦ ἡλίου, τὴν ἀρχὴν τοῦ Ὀκτωβρίου ἔσχον ἀρχήν· οὐδέτερον ἀλόγως οἶμαι, εἰ καὶ τὰς αἰτίας τούτων ἔργον διεξελθεῖν.

Διὰ τί ιθ' τῆς σελήνης εἰσὶ κύκλοι;

Μέχρι μὲν οὖν τῶν ιθ'. οἱ τῆς σελήνης ἀναβιβάζονται κύκλοι 1)· διὰ τοῦτον τὸν τρόπον ὁ σεληνιακὸς μὴν τέως, κατὰ τὸ πρόχειρον, δι' ἡμερῶν γίνεται κθ'. καὶ ἡμισείας· ταύτῃ τοι καὶ κατ' ἐνιαυτὸν οἱ τῆς σελήνης ιβ'. μῆνες, εἰς ἡμέρας ποσοῦνται τνδ', ἐνδεουσῶν πρὸς τὰς τξέ. καὶ τοῦ τεταρτημορίου τῆς ἡμέρας, ἃς ὁ ἥλιος κατ' ἐνιαυτὸν ποιεῖται, ἡμερῶν ια. καὶ τετάρτου· ἐννεακαιδεκάκις δὲ τῇ ἡλιακῇ κινήσει γινόμενος ὁ ἐνιαυτὸς, καὶ ποιῶν ἡμέρας ,ς ϡλθ'. πρὸς τῷ ἡμίσει καὶ τετάρτῳ, τοὺς μὲν ιβ'. σεληνιακοὺς μῆνας εἰς σκή. περιίστησιν ἐν ἡμέραις ,σψκς', τὰς δὲ εἰρημένας περιττὰς ἡμέρας, ἤτοι τὰς ια. καὶ τὸ δ'. εἰς ἑτέρους σεληνιακοὺς μῆνας ἑπτὰ, ἔχοντας ἡμέρας σς'. καὶ ἡμίσειαν· ἔτι δὲ εὑρίσκονται περιττεύουσαι ἡμέραι ζ'. καὶ τέταρτον· ἀλλὰ καὶ αὗται τῇ τοῦ κύκλου τῆς ἐννεακαιδεκαετηρίδος ὁλότητι συνυπάγονται, ὡς δειχθήσεται. Ἐπεὶ γὰρ, κατὰ τὸν Πτολεμαῖον, οὐχὶ κθ'. ἡμερῶν καὶ λ'. πρώτων λεπτῶν μόνον, ἤτοι ἡμισείας ἡμέρας, ὁ σεληνιακὸς γίνεται μὴν, ἀλλὰ καὶ ἑτέρου λεπτοῦ ἑνὸς ἡμίσεως καὶ τρίτου, ἤγουν ἑνὸς πρώτου καὶ ν'. δευτέρων· καὶ τοῦτο ἀποδείκνυσι διὰ τῶν γινομένων ὅλων μηνῶν ἀπὸ ἐκλείψεως εἰς ἔκλειψιν· ταῦτα, τὸ ἓν, λέγω, λεπτὸν, καὶ τὸ ἥμισυ, καὶ τὸ τρίτον, ἐν ταῖς εἰρημέναις σλέ. τῆς σελήνης περιόδοις ἀναβιβαζόμενα, ποιοῦσι λεπτὰ πρῶτα υλ', καὶ δεύτερα ν', ἅπερ ἅπαντα ἐπὶ τὰ ἑξήκοντα μεριζόμενα, τὰ μὲν υκ'. ποιοῦσιν ἡμέρας ἑπτά· τὰ δὲ ὑπολειπόμενα πρῶτα δέκα, καὶ

1) κύκλοι τοίνυν ἐτέθησαν τῇ μὲν σελήνῃ ιθ'. 1240.

πεντήκοντα δεύτερα, οὐ δύνανται τέταρτον ἡμέρας ποιῆσαι· λείπουσι γὰρ λεπτὰ πρῶτα τέσσαρα, καὶ δεύτερα δέκα· καὶ τοῦτο κατὰ λόγον, διὰ τὸ ἐνδεῖν ἑκάστῃ ἐννεακαιδεκαετηρίδι, ὡς ἀποδέδεικται τῷ Πτολεμαίῳ, λεπτῶν πρώτων τριῶν καὶ δευτέρων λζ΄. εἰ δὲ καὶ ἔτι λείπουσι λεπτὸν πρῶτον ἓν, καὶ κζ΄. δεύτερα, οὐκ ἔξω λόγου καὶ τοῦτο, διότι οὐχὶ τέταρτον ἡμέρας ὁλόκληρον συναπαρτίζει τὸν ἐνιαύσιον κύκλον, ἀλλὰ παρὰ τριακοστὸν ἡμέρας, ὡς ἐν ἄλλοις εἰρήκαμεν. Καὶ οὕτω μὲν ὁ σεληνιακὸς κύκλος ἐξ ἀνάγκης ἐν μόνοις γνωρίζεται ιθ΄. ἔτεσιν, ὡς καὶ τοῦ περιττεύοντος τῶν κατ' ἔτος σεληνιακῶν περιόδων, διὰ δεκαεννέα 1) μόνων ἐτῶν εἰς τὰς τοιαύτας ἐντελεῖς περιόδους ἀναβιβαζομένου, καὶ πάσας τὰς εἰρημένας σλέ. ποιοῦντος πάντη ἀνελλιπεῖς, καὶ μηδέν τι λοιπὸν ἐχούσας περιττὸν, ὥσπερ ἦν τῷ κύκλῳ τούτῳ σκοπός· ἐκάλεσαν δὲ τὸν χρόνον τοῦτον περιοδικὸν, ὡς εἰς μίαν ἀποκατάστασιν ἄγοντα τὰς διαφορὰς τῶν κινήσεων τῶν φώτων ἀμφοῖν.

Διὰ τί εἰσιν εἰκοσιοκτὼ οἱ τοῦ ἡλίου κύκλοι;

Εἰς κή. δὲ κύκλους ἄνεισιν ὁ τοῦ ἡλίου δρόμος, ὅτι αἱ τξέ. καὶ τέταρτον ἡμέρας τοῦ χρόνου ποιοῦσιν ἑβδομάδας νϐ΄. καὶ περιττεύει καθ' ἕκαστον χρόνον ἡμέρα μία, καὶ κατὰ τέσσαρας χρόνους, αὖθις ἑτέρα μία· ὅθεν καὶ ζητοῦντες εὑρεῖν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως τὴν τῆς ἑβδομάδος ἡμέραν, καθ' ἕκαστον κύκλον αὐτοῦ, ἡμέραν μίαν προσλαμβάνομεν, καὶ μετὰ τέσσαρας χρόνους, χάριν τοῦ βισέκτου, ἑτέραν μίαν· καὶ συμποσοῦντες, τὴν ζητουμένην ἡμέραν εὑρίσκομεν. Αἱ οὖν περιττεύουσαι αὗται ἐν οὐδενὶ ἑτέρῳ χρόνῳ ὁλοκλήρους ἑβδομάδας ἀπαρτίσαι δύνανται, ὡς ἐν τῷ τέλει τοῦ χρόνου καὶ τέλος ἑβδομάδος εὑρεθῆναι, εἰ μὴ ἐν τῷ κή. κύκλῳ· αἱ γὰρ κή. ἡμέραι, ἑβδομάδες γίνονται τέσσαρες, καὶ τὰ κή. τέταρτα τῶν ἡμερῶν, ἑβδομὰς αὖθις μία, ὅπερ ἐν ἑτέρῳ οὐχ οἷόν τε συμβῆναι κύκλῳ, εἰμὴ ἐν τῷ κή. ἢ ἐν τῷ δὶς κή, ἢ τρὶς κή. καὶ ἑξῆς· ἐὰν δὲ ἐπέκεινα τῶν ιθ΄. τῆς σελήνης κύκλων, ἢ τῶν κή. τοῦ ἡλίου, ἐθελήσωμεν ἐκτεῖναι τὸν ἀριθ-

1) δι' ἀριθμῶν μόνων ιθ΄. ἐτῶν 1373.

μὸν, εὑρεθήσεται τὸ ζητούμενον ἐν τοῖς ἐπέκεινα κύκλοις, ὡς καὶ ἐν τῷ ά. ἢ β΄. ἢ γ΄. κύκλῳ ἐπεγινώσκετο.

Διὰ τί ἀπὸ τοῦ Ἰανουαρίου οἱ τῆς σελήνης κύκλοι καὶ θεμέλιοι ἄρχονται;

Ἀπὸ δὲ τοῦ Ἰανουαρίου μηνὸς τόν τε κύκλον τῆς σελήνης καὶ τὸν θεμέλιον ψηφίζειν ἀρχόμεθα, ὅτι τῇ μὲν τετάρτῃ τῆς ἑβδομάδος ἡμέρᾳ, ὅ,τε ἥλιος καὶ ἡ σελήνη τῷ δημιουργῷ λόγῳ εἰς τὸ εἶναι παρήχθησαν, τῷ δὲ πεντεκαιδεκάτῳ δρόμῳ τοῦ κατὰ τὸν Μάρτιον μῆνα σεληνιακοῦ μηνὸς, ἄρτι πρῶτον ἀνατετάλκασιν, ἅτε τῆς σελήνης πεντεκαιδεκαταίας εὐθὺς καὶ τελείας ἀναφανείσης, μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ Θεοῦ πεποιηκέναι θελήσαντος· ἵνα μετὰ τὸ δύναι τὸν ἥλιον πρωΐ ἀνατείλαντα, καὶ τὴν εἰς ἐξουσίαν αὐτῷ δοθεῖσαν ἡμέραν ὅλην καταφωτίσαντα, ὅλην καὶ αὐτὴ καταυγάσῃ τὴν ὑπεξούσιον νύκτα. Ἀπὸ τῆς ιέ. οὖν τοῦ Μαρτίου μέχρις ὅλου τοῦ Δεκεμβρίου, μῆνες εὑρίσκονται ἡλιακοὶ μὲν θ΄. καὶ ἥμισυ, διαφόρους ἡμερῶν ἕκαστος ποσότητας ἔχοντες· οἱ δὲ τῆς σελήνης, δι' ἡμερῶν ἀεὶ γινόμενοι κθ΄. καὶ ἡμισείας, οὐ μόνον μῆνες ὁρῶνται τοσοῦτοι, ἀλλὰ πρὸς τούτοις καὶ ἡμέραι περιττεύουσιν ιά. ὁ γὰρ Ἰανουάριος καὶ ὁ Φεβρουάριος συντιθέμενοι, οὐδὲν πλέον φέρουσι σεληνιακῶν δύο μηνῶν. Ἐπεὶ οὖν τῇ τοῦ Ἰανουαρίου ά. ὁ περιττεύων τῶν ιά. ἡμερῶν ἀριθμὸς σαφῶς ἀνεφάνη μετὰ τὸν ἀπαρτισμὸν τοῦ τελείου τῆς σελήνης κύκλου, ἀναγκαίως ἀπὸ τοῦ Ἰανουαρίου ὅ,τε κύκλος αὐτῆς, καὶ ὁ περιττεύων ἀριθμὸς ἄρχεται, θεμέλιος τῶν ἡμερῶν τοῦ ἑξῆς αὐτῆς κύκλου, καὶ ὢν, καὶ καλούμενος.

Διὰ τί ἀπὸ τοῦ Ὀκτωβρίου οἱ κύκλοι τοῦ ἡλίου ἄρχονται;

Ἀπὸ δὲ τοῦ Ὀκτωβρίου τὰς τῶν κύκλων τοῦ ἡλίου φαμὲν ἄρχεσθαι περιόδους, ὅτι τῷ ιέ. δρόμῳ τοῦ Μαρτίου μηνὸς, ἀνατείλαντος τοῦ ἡλίου, μέχρι τοῦ Ὀκτωβρίου μηνὸς, ἐνηλλαγμένως αἱ τῶν μηνῶν ἡμέραι πρὸς τὰς τῆς ἑβδομάδος ἐφέροντο· τῇ δὲ ά. τοῦ Ὀκτωβρίου εὑρεθείσης καὶ τῆς ἑβδομάδος ἐν τῇ ά. τῶν αὐτῆς ἡμερῶν, ἐκεῖθεν καὶ ἀρχόμεθα· οὐδεὶς γὰρ τῶν μηνῶν ἕτερος, ὅτι μὴ μόνος ὁ Ὀκτώβριος, κατὰ τὴν πρώτην τοῦ

ἡλίου περιόδον, τὴν πρώτην τῶν αὐτοῦ ἡμερῶν τῇ πρώτῃ τῆς ἑβδομάδος ἔχει συμπίπτουσαν. Ἐκ τούτου τοίνυν ἀρχόμενοι, ἑκάστου τῶν ἑξῆς μηνῶν, τὰς μὲν κή. ἡμέρας ἐῶμεν, ὡς ὁλοκλήρους ἑβδομάδας ἀπαρτιζούσας, τὰς δὲ ἐπέκεινα τούτων λαμβάνομεν, ἕως ἂν εἰς τὴν ἡμέραν ἔλθωμεν, περὶ ἧς τὴν ζήτησιν ἔχομεν. Ὅτι δὲ κατὰ τὸν πρῶτον τῆς δημιουργίας τοῦ ἡλίου κύκλον οὕτω συνήντησε, καταμαθεῖν εὐπετές· ἀπὸ τῆς ιέ. τοῦ Μαρτίου, ἐν ᾗ τὴν γένεσιν ἔσχεν ὁ ἥλιος, μέχρις ὅλου τοῦ Σεπτεμβρίου, μετὰ τῶν πρὸ τοῦ ἡλίου τριῶν ἡμερῶν ἡμέραι γίνονται σγ΄, αἵτινες ποιοῦσιν ἑβδομάδας ἐννέα καὶ εἴκοσιν· ἑπτάκις γὰρ τὰ εἴκοσιν, ἑκατὸν τεσσαράκοντα, καὶ ἑπτάκις τὰ ἐννέα, ἑξήκοντα τρία· λοιπὸν ἡ πρώτη τοῦ Ὀκτωβρίου ἐγένετο καὶ πρώτη τῆς ἑβδομάδος.

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται κύκλος;

Ἀλλ' ἡνίκα τὸν τῆς σελήνης κύκλον εὑρεῖν ἐθελήσειας, τοῖς δακτύλοις τῶν χειρῶν τὸ ἐνιστάμενον ἔτος λάμβανε. Κείσθω δὴ τὸ ἐφ' ἡμῶν ͵ϛωμγ΄. καὶ ἐπεὶ τὴν αὐτὴν ἀναλογίαν ἔχουσι τῷ ιθ΄. ἀριθμῷ τῶν τῆς σελήνης κύκλων, ὅ,τε ρκ΄. καὶ ὁ α϶΄, ἄφελε πρῶτον ἐκ τρίτου τὸν α϶΄· εἶτα τῶν μεινάντων αρμγ΄. ἀφελὼν ἑξάκις τὸν ρκ΄, ἕξεις τὰ περιλειπόμενα τρία, ἅπερ εἰσὶν ὁ κύκλος τῆς σελήνης. Εἰ δὲ βούλει, κράτησον τὸ μικρὸν ἔτος μόνον, ἤτοι τὰ μγ΄. πρόσθες καὶ τὰ ιζ΄. τὰ περισσεύσαντα ἀπὸ τῆς παρελθούσης ἑκατονταετηρίδος, καὶ τὰ ὁμοῦ γινόμενα ξ΄. ὕφελε ἐπὶ τῶν ιθ΄. καὶ τὰ καταλειφθέντα τρία δηλοῦσι τρανῶς τῆς σελήνης τὸν κύκλον.

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται θεμέλιος;

Τὸν δὲ ταύτης θεμέλιον ἀκριβῶς εἴσῃ, ἐάν περ ὃν εὗρες αὐτῆς κύκλον ἐνδεκαπλασιάσας, καὶ τρεῖς ἡμέρας τούτοις προσθεὶς, ὑφέλῃς ἐπὶ τῶν λ΄. καὶ τὸν καταλειφθέντα ἀριθμὸν, ὡς θεμέλιον τῆς σελήνης κρατήσῃς· αἱ δὲ τρεῖς αὗται ἡμέραι προστίθενται, διὰ τὸ μὴ ἀποκαθίστασθαι τὰς τῆς σελήνης κατὰ μῆκος παρόδους ἐν ὅλοις ιθ΄. ἔτεσιν, ὡς εἴρηται· ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα τριάκοντα ἑπτὰ, ὥστε εἰς

τριακοσίους τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ἔγγιστα τὸν κύκλον ἐλαττοῦσθαι τῆς σελήνης· διὰ δὴ τοῦτο ἐπὶ μὲν τοῦ ,εϡκθ΄. ἔτους τοῦ κόσμου, οὐδεμία ἡμέρα τῷ ἐνδεκαπλασιασμῷ τοῦ κύκλου τῆς σελήνης προσετίθετο· τὸ ἀπ' ἐκείνου δὲ ἄχρι τοῦ ,σλγ΄. ἔτους, μία προσετέθη· ἐντεῦθεν δὲ μέχρι τοῦ ,σφλζ΄. ἔτους, δύο· αὖθις δὲ ἄχρι τοῦ ,σωμα΄, τρεῖς· εἰσέπειτα δὲ κατὰ τὸ ἴσον τοῦ εἰρημένου χρόνου διάστημα, τέσσαρες προστεθήσονται· πλὴν καὶ κατὰ τὸ παρὸν τὸν ιζ΄, τὸν ιή, καὶ τὸν ιθ΄. κύκλον τῆς σελήνης ἐνδεκαπλασιάζων, τέσσαρας ἡμέρας προσθήσεις, καὶ οὕτω τὴν ποστὴν τοῦ σεληνιακοῦ εὑρεῖν ἂν δυνηθείης μηνός.

Πῶς οἱ τοῦ ἡλίου κύκλοι εὑρίσκονται;

Ὡσαύτως καὶ ἐπὶ τοῦ ἡλίου, κράτησον ταῖς χερσὶ τὸ τρέχον ἀρτίως ,σωμγ΄. ἔτος· καὶ ἐπεὶ ὁ εἰκοστὸς ὄγδοος τῶν κύκλων τοῦ ἡλίου ἀριθμὸς ἀναλογεῖ τῷ τε σπ΄ καὶ τῷ ,βώ. ἄφελε ἐκ δευτέρου τὸν ,βώ. καὶ τῶν περιλειπομένων ,σμγ΄. αὖθις ἄφελε τετράκις τὸν σπ΄. εἶτα τῶν μεινάντων ρκγ΄. τετράκις ἀφελόντος σου τὸν κή, ἀνεξάντλητος μένει ὁ ιά. ὅς ἐστιν ὁ τοῦ ἡλίου κύκλος.

Ἄλλως.

Ἢ καὶ οὕτω· κράτησον τὰ μικρὰ ἔτη τῆς παρούσης ἑκατονταετηρίδος, ἤτοι τὰ μγ΄. πρόσθες καὶ τὰ καταλειφθέντα τῆς παρελθούσης κδ΄. καὶ τὰ ὁμοῦ γινόμενα ξζ΄. μέρισον ἐπὶ τὰ κή. καὶ τὰ τούτων ἐλάττονα ιά, ὁ κύκλος ἐστὶ τοῦ ἡλίου.

Ἕτέρως.

Ἀλλὰ γὰρ μηδὲ ταύτην ἀπαξιώσῃς τὴν μέθοδον, καὶ ῥᾷσα τὸν ἐπιζητούμενον κύκλον καὶ ἀμφοτέρων συνήσεις τῶν φώτων. Ὁ ιθ΄. κύκλος τῆς σελήνης, καὶ ὁ κή. κύκλος τοῦ ἡλίου, ἀλλήλοις πολυπλασιαζόμενοι, τὸν φ΄. καὶ λϐ΄. συνάγουσιν ἀριθμὸν, ἄλφα τισὶν ὀνομαζόμενον, παρὰ τὸ συνάγεσθαι τὴν αὐτὴν ποσότητα τοῖς ἐξ ὧν τὸ ἄλφα στοιχεῖον σύγκειται· τούτῳ τοίνυν καὶ τὸ πλήρωμα τῶν κύκλων ἀκολούθως συνέρχεται· ὁ μὲν γὰρ εὐθὺς ιθ΄. ὁ τῆς σελήνης, ὄγδοος δὲ καὶ εἰκοστὸς ὁ τοῦ ἡλίου γίνεται· οὐκοῦν μέρισον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη ἐπὶ τὰ φλϐ΄. οὕτω· δωδεκάκις τὰ πεντακόσια, ἑξακισχίλια· δωδεκάκις τὰ λ΄.

τριακόσια ἑξήκοντα· δωδεκάκις τὰ δύο, κδ΄· ὁμοῦ ,στπδ΄. λοιπὰ υξά. πρὸς τὸ σήμερον τυχὸν ,ςωμέ. ἔτος· καὶ ἂν μὲν τὸν κύκλον τῆς σελήνης ἐθέλῃς εὑρεῖν, μέρισον τὰ υξά. ἐπὶ τὰ ιθ΄. οὕτως· κ΄. τὰ δέκα, σ΄· κ΄. τὰ θ΄. ρπ΄· δ΄. τὰ ί. μ΄· τετράκις τὰ θ΄. λς΄. ὁμοῦ υνς΄. λοιπὰ έ. ταῦτα πέφυκεν ὁ τῆς σελήνης κύκλος· ἂν δὲ τοῦ ἡλίου ζητῇς, οὕτως· δεκάκις τὰ κ΄. σ΄· δεκάκις τὰ ή. π΄· ἑξάκις τὰ κ΄. ρκ΄· ἑξάκις τὰ ή. μή. ὁμοῦ υμή. λοιπὰ ις΄. ἃ δὴ πέφυκεν ὁ κύκλος τοῦ ἡλίου.

Πῶς εὑρίσκεται ἡ ἴνδικτος;

Οὕτω καὶ ἐπὶ τῆς ἰνδίκτου ποιεῖ· τὰ μὲν ἀπὸ κτίσεως κόσμου ἔτη ἀναλύων ἐπὶ τὰ ιέ. τὰ δὲ μικρὰ, μετὰ προσθήκης ἐτῶν έ. μερίζων αὖθις ἐπὶ τὰ ιέ. Εἰ γὰρ καὶ τοῖς τὰ Ἑλλήνων φρονοῦσι Ῥωμαίοις ἐξεύρηται τὸ τῆς ἰνδίκτου καὶ ἐπινεμήσεως ἔθος, διὰ τὸ φανερῶς ἐπὶ τοσούτοις ἐναλλάττειν χρόνοις τὰς τῶν ἀνθρώπων ἡλικίας, ἀλλ' ἔλαθον ἑαυτοὺς τῇ ἀληθείᾳ καὶ οὗτοι συνενεχθέντες, καὶ τοῖς τῷ μεγάλῳ Μωσεῖ ἀναγεγραμμένοις ἀπὸ κτίσεως κόσμου συμφθεγγόμενοι χρόνοις.

Πῶς τὸ νομικὸν εὑρίσκεται πάσχα;

Ἀλλὰ καὶ ἐπὶ τὴν εὕρεσιν ἤδη τοῦ νομικοῦ ἴωμεν πάσχα· Ἐνδεκαπλασίασον τὸν τηνικαῦτα διϊππεύοντα τῆς σελήνης κύκλον, προστίθει τούτοις ἡμέρας ἓξ, τὰς συνισταμένας ἐκ τοῦ εἰρημένου λεπτοῦ ἑνὸς καὶ ἡμίσεως καὶ τρίτου, ἅπερ κατ' ἐπέκεινα τῶν κθ΄. καὶ ἡμισείας ἡμερῶν ἔχων δέδεικται ὁ τῆς σελήνης μηνιαῖος κύκλος· ἀπὸ δὲ τοῦ ιζ΄. κύκλου μέχρι τοῦ ιθ΄. ἡμέρας προσθήσεις ἑπτά· πλείων γὰρ ἡ ἐκείνων ποσότης ἐν τούτοις συνάγεται· καὶ ἑνώσας ἁπάσας, ἔκβαλε τὰς τριακοντάδας· καὶ τὰ περιλειφθέντα ἥττονα τῶν λ΄. κάτασχε μόνα· καὶ τούτοις προστίθει τὰς τοῦ Μαρτίου ἡμέρας, μέχρις ἂν εἰς τὸν ν΄. ἔλθῃς ἀριθμόν· εἰ δὲ οὐκ ἀρκέσουσιν αἱ τοῦ Μαρτίου πᾶσαι, πρόσθες καὶ ἐπὶ τοῦ Ἀπριλίου, καὶ κατ' ἐκείνην τὴν ποστὴν τοῦ μηνὸς, ἥτις ἀνεπλήρωσε τὸν πεντηκοστὸν ἀριθμὸν, ἴσθι τὸ νομικὸν γινόμενον πάσχα.

Ἄλλως.

Εἰ δὲ δοκεῖ σοι καὶ ἑτέρως, προσίθει τῷ ἐν τῇ ά. τοῦ Ἰανουαρίου

εὑρεθέντι θεμελίῳ τῆς σελήνης ἐπακτὰς γ΄. τῆς δὲ σελήνης εἰς τὸν ιζ΄. ἀφιγμένης κύκλον, καὶ ἀνιούσης μέχρι τῶν ιθ΄, τέσσαρας ἐπακτὰς τῷ θεμελίῳ προστίθει· καὶ ἐὰν πλέον τῶν λ΄. ὁ ἀριθμὸς γένηται, ὕφελε τὰ λ΄. καὶ τοῖς περιλειφθεῖσι προστίθει ἀπὸ τῆς ά. τοῦ Μαρτίου, μέχρις ἂν ὁ ν΄. ἀριθμὸς πληρωθῇ· εἰ δὲ τοῦ Μαρτίου πᾶσαι οὐκ ἀνεπλήρωσαν τὸν ν΄, πρόσθες τὰς λοιπὰς ἀπὸ τοῦ Ἀπριλίου, καὶ κατ' ἐκείνην τὴν ποστὴν τοῦ μηνὸς, ἥτις ἀνεπλήρωσε τὸν ν΄, τελούμενον γίνωσκε πάσχα τοῦ νόμου.

Ἄλλως.

Εἰ δὲ βούλει, καὶ οὕτω· κράτησον τὸν ἐν τῇ ά. τοῦ Ἰανουαρίου μηνὸς εὑρεθέντα τῆς σελήνης θεμέλιον· τούτῳ προστίθει ἐκ τῶν τοῦ Μαρτίου ἡμερῶν, ἕως ἂν γένωνται ἡμέραι μζ΄, ἡ ἐκείνων μόνων μὴ ἐξαρκουσῶν, προστίθει καὶ ἀπὸ τῶν τοῦ Ἀπριλίου· πλὴν τὸν ιζ΄. κύκλον τῆς σελήνης θεούσης, μέχρι τοῦ ἐννεακαιδεκάτου, ἡμέρας ἀρίθμει μή΄. κἀκεῖ τὸ νομικὸν τελούμενον γίνωσκε πάσχα· πλέον δὲ τῶν εἴκοσι καὶ ἓξ ἡμερῶν ἔχοντος τοῦ θεμελίου τῆς σελήνης, μὴ λάμβανε τὰς τοῦ Μαρτίου πάσας ἡμέρας, ἀλλὰ μίαν μόνην· ἐκ δὲ τοῦ Ἀπριλίου ἀνάπλήρωσον τὰς μζ΄. ἡμέρας.

Δεῖ δέ σε καὶ τοῦτο εἰδέναι, ὡς ἡ κατὰ τὸ νομικὸν πάσχα κυρίως πανσέληνος ἐν τῷ μέ. εὑρίσκεται ἀριθμῷ, οὕτω γὰρ ἀναπληροῦται εἷς καὶ ἥμισυς σεληνιακὸς μήν. Ὡσαύτως καὶ ἐπὶ τῶν ῥηθεισῶν ἑτέρων μεθόδων, αἳ συνάγουσι τὸν ν΄, οὐκ ἐπὶ τούτου, ἀλλ' ἐπὶ τοῦ μή΄. ἀριθμοῦ ἡ σελήνη φθίνειν ὑπάρχεται· ἡ δὲ ἀνωμαλία ταύτης, ὡς εἴρηται, καὶ τὰς ἑτέρας δύο προστέθεικεν ἡμέρας· καὶ ἐνταῦθα μὲν τὸν μζ΄. συνάγουσιν ἀριθμὸν, ἐκεῖ δὲ τὸν ν΄. 1).

Ὅπως τὸ Χριστιανικὸν εὑρίσκεται πάσχα.

Καὶ οὕτω μὲν ἡ ἐν τῷ νομικῷ πάσχα ποστὴ τοῦ μηνὸς ἡμέρα

1) παρὰ δὲ Γ΄. ἀναγινώσκεται καὶ ταῦτα· Ἄλλως, εἰ μὲν ἐν τῷ μαρτίῳ τὸ ἐνεστὼς εὑρίσκεται τῶν Ἰουδαίων πάσχα, προσθετέον ἡμέρας ιθ΄, κἀκεῖ τὸ ἐπιὸν εὑρεθήσεται· εἰ δὲ ἐν τῷ Ἀπριλίῳ τὸ ἐνεστὼς, ὑφαιρετέον ἡμέρας ἑνδεκα, κἀκεῖ τὸ ἐρχόμενον ἔσται· ἐπὶ δὲ τοῦ ἑκκαιδεκάτου μόνου κύκλου, δώδεκα ἀφαιρετέον, καὶ τὸ ἐπιὸν εὐθὺς ἔσται δῆλον.

εὑρίσκεται. Δεῖ δέ σε εἰδέναι καὶ ποία ταύτῃ συνέρχεται τῆς ἑβδομάδος ἡμέρα, ὡς ἂν ἐκεῖθεν ἐπὶ τὴν κυριακὴν ἐρχόμενος, καὶ τὴν ἐν αὐτῇ τοῦ μηνὸς αὖθις καταλαμβάνων ποστὴν, ἐκεῖ τὸ Χριστιανικὸν τελούμενον πάσχα γινώσκῃς. Κράτησον οὖν τὸν κύκλον τοῦ ἡλίου· προστίθει τούτῳ τὰς λεγομένας ἐπακτὰς, ἤτοι κατὰ δ΄. χρόνους μίαν, αἵτινές εἰσι τοῦ βισέκτου· εἶτα τὰς ἕνδεκα τοῦ τετραμήνου, ἤγουν ἀπὸ τοῦ Ὀκτωβρίου μέχρι τοῦ Ἰανουαρίου, ἀπὸ τοῦ ἔχοντος μηνὸς ἡμέρας λ΄, δύο λαμβάνων, τρεῖς δὲ ἀπὸ τοῦ ἔχοντος κά· ἀπὸ δὲ τοῦ Φεβρουαρίου μὴ λάμβανε, διὰ τὸ ἐσχάτως αὐτὸν κεκολοβῶσθαι· καὶ εἰ μὲν ἐν τῷ Μαρτίῳ εὑρίσκεται τὸ πάσχα τὸ νομικὸν, λάβε καὶ τὰς μέχρι τοῦ πάσχα τούτου ἡμέρας· εἰ δὲ ἐν τῷ Ἀπριλίῳ, λάβε καὶ ἀπὸ τοῦ Μαρτίου μόνας τρεῖς, καὶ τὰς τοῦ Ἀπριλίου, ὅσαι μέχρι τοῦ πάσχα εὑρίσκονται, καὶ ἑνώσας ἁπάσας, ἀνάλυσον ἐπὶ τὰ ζ΄, καὶ εἰ μὲν μία περιλειφθείη ἡμέρα, ὑπάρχει κυριακὴ, καὶ δεῖ σε προσμένειν τὴν ἐρχομένην· εἰ δὲ δύο, δευτέρα· εἰ δὲ τρεῖς, τρίτη, καὶ ἑξῆς μέχρι τῶν ἑπτά· καὶ ἀφ' ἑκάστης, ἐπὶ τὴν κυριακὴν ἀπαντᾷν, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ μηνὸς, ἐφ' ἣν ἡ κυριακὴ εὑρίσκεται, λέγε τὸ Χριστιανικὸν εἶναι πάσχα.

Ὅπως εὑρίσκεται ἡ ἀπόκρεως.

Μετὰ δὲ τὸ εὑρεῖν τὴν ἡμέραν τοῦ μηνὸς, καθ' ἣν τὸ τῶν Χριστιανῶν πάσχα γίνεται, προστίθει ταύτῃ τρεῖς ἡμέρας ἑτέρας, τέσσαρας δὲ, εἰ ὁ χρόνος βίσεκτος εἴη, καὶ ἑνώσας ἁπάσας, εἰ μὲν ὁ ἀριθμὸς τούτων εἰς τὸν Μάρτιον πίπτει, ζήτει τὴν ἀπόκρεω ἐν τῇ ἰσαρίθμῳ τοῦ Ἰανουαρίου ἡμέρᾳ· εἰ δὲ ἐκεῖνος ἐν τῷ Ἀπριλίῳ εὑρίσκεται, σκόπει ταύτην ἐν τῷ Φεβρουαρίῳ. Σκόπει δὲ καὶ οὕτω· τὸν ἐνιστάμενον τῆς σελήνης θεμέλιον, ἄχρι καὶ πεντηκοντάδος ἐκτενεῖς, προσεπιβάλλων αὐτῷ τὰς ἀπὸ τῆς πρώτης τοῦ Ἰανουαρίου καὶ πρόσω ἡμέρας, καὶ τοῦ ν΄. τελευτήσαντος ἀριθμοῦ εἰς οἱανδήποτε ἑβδομάδος ἡμέραν, τῇ ἑξῆς κυριακῇ τὴν ἀπόκρεω βεβαίως ἐπιτέλει· ἀλλὰ τῆς σελήνης εἰς τὸν κς΄. καὶ περαιτέρω θεμέλιον προϊούσης, μίαν μόνην ἐκ τοῦ Ἰανουαρίου λήψῃ, τὰς δέ γε λοιπὰς, ἐκ τοῦ Φεβρουαρίου· οὕτω δὲ τὴν ἀπόκρεω, ἣ πίπτει, γνωρίσεις· εἰ μὲν εἰς τὸν Ἰανουάριον,

τὸ πάσχα πάντως ἔσται τὸν Μάρτιον, (τὸ τῶν Χριστιανῶν φημί)· εἰ δὲ εἰς τὸν Φεβρουάριον αὖτη, ἐκεῖνο τὸν Ἀπρίλιον· ἀφαίρεσιν μόνον τοσούτων ἐνθάδε ποιῶν ἡμερῶν, ὅσων ἐκεῖ προσθήκην, τριῶν δηλαδὴ, εἰ δὲ βίσεκτον εἴη, τεσσάρων. Ἀλλὰ καὶ τὸ νομικὸν ἐντεῦθεν πάσχα γινώσκεται, τῇ αὐτῇ μὲν ἀεὶ τῆς ἑβδομάδος ἡμέρᾳ συμπίπτον, ἣν ὁ πεντηκοστὸς ἀριθμὸς ἐπὶ τῆς ἀποκρέω δείκνυσι 1), μετ' ἀφαίρεσιν δὲ κἀνταῦθα τριῶν ἢ τεσσάρων τοῦ μηνὸς ἡμερῶν.

Περὶ τοῦ νομικοῦ πάσχα, καὶ τῆς περὶ τὴν παγκόσμιον διαφωνίας 2).

Ἄριστα μὲν πάντων, καὶ ὡς οὐκ ἄν τις φήθη κάλλιον, τὸ παρὸν κανόνιον τοῖς Πατράσι συντέθειται· τοὺς γὰρ κύκλους ἀμφοτέρων τῶν φώτων, ἡλίου τε, φημὶ, καὶ σελήνης, τοῖς ἔξω σελιδίοις ἔχον περικειμένους, τῷ μὲν τῆς σελήνης κύκλῳ, τὸ νομικὸν ἐγγὺς ὃν δείκνυσι πάσχα, τῷ δὲ τοῦ ἡλίου, τὸ Χριστιανικὸν, ἐπὶ τῆς αὐτῆς ἔνθα καὶ τὸ νομικὸν κείμενον εὐθείας. Ἆρ' οὖν οὐκ ἐναργὴς τὰ στοιχεῖα ταυτὶ τῶν πραγμάτων εἰκών; Ἆρ' οὐκ ἀμφοτέρων κηρύττει τῶν διαθηκῶν ἐπιφανῶς τὸ διάφορον; Ἡ γὰρ σελήνη τὸν ἐπείσακτον εἰκονίζουσα νόμον, τὸν ἐν τῇ νυκτὶ τῆς πολυθέου πλάνης ἀμυδρῶς αὐγάζοντα τὴν τῆς θεογνωσίας ἀλήθειαν, ἀπόῤῥητον ὂν τοῖς πλείστοις, οἷα μυστήριον, καὶ ὥσπερ ἐν σκότει καλυπτόμενον τὸ τέλειον τῆς τρισηλίου Θεότητος φῶς, οὐκ ἔξω λόγου, καὶ τὸ τοῦ νόμου δείκνυσι πάσχα· τὴν δὲ πλουσίαν εἰκονίζων τῆς χάριτος δαδουχίαν ὁ πᾶσιν ἡδὺς ἰδεῖν ἥλιος, καὶ τὴν τρανὴν καὶ ἀνακεκαλυμμένην ὡς ἐν μεσημβρίᾳ τῆς ἀληθείας ἀκτῖνα, καὶ τὴν τῆς Τριάδος ἐπίγνωσιν, ἣν ὁ τῆς δικαιοσύνης πᾶσιν ἐφήπλωσεν ἥλιος, ὑφηγητὴς εἰκότως καὶ τοῦ ἀληθινοῦ πάσχα δείκνυται. Ἀλλ' ἐπειδὴ γὰρ ὁ νόμος τὴν τῆς σελήνης ὁλόκληρον περίοδον μῆνα καλεῖν εἰώθει, καὶ τῇ ιέ. τοῦ πρώτου αὐτῆς μηνὸς, τὸ πάσχα θεσπίζει τελεῖν, ἡμῖν δὲ τούτους κατὰ Ῥωμαίους ἔθος μετρεῖν, χρη-

1) εἰ μὴ βίσεκτον εἴη B. οὐ κεῖται δὲ ἐν τοῖς ὑπ' ὄψιν Κώδιξι. — 2) Ματθαῖος ἔγνω ταυτὶ συντεταχέναι. 1375.

σίμως τὸ παρὸν εὕρηται κανόνιον, ὑποδεικνύον τὸν πλησιφαῆ τοῦ πρώτου μηνὸς τῆς σελήνης σχηματισμὸν, ἐν ποίᾳ τοῦ Ῥωμαϊκοῦ μηνὸς ποστῇ γίνεται· καὶ αὖτη πάλιν ἐν ποίᾳ τυγχάνει τῆς ἑβδομάδος ἡμέρᾳ· ἵν' ἡμεῖς ἐκεῖθεν ἐπὶ τὴν πρώτην τῆς ἑβδομάδος ἐλθόντες, καὶ τὴν κατ' αὐτὴν αὖθις τοῦ μηνὸς γνόντες ποστὴν, τὸ ἡμέτερον πάσχα βεβαίως πανηγυρίζωμεν.

Ὅτι τέσσαρες οἱ τοῦ Πάσχα διορισμοί.

Τέσσαρες δέ εἰσιν οἱ ἀναγκαίως ζητούμενοι περὶ τὸ ἡμέτερον τοῦτο πάσχα διορισμοί· δύο μὲν, οὓς ὁ Ἀποστολικὸς θεσπίζει κανὼν, ὡς ἐν τῷ τοῦ πάσχα Κεφαλαίῳ πρὸ βραχέος 1) εἰρήκαμεν, καὶ δύο, οἷς ἐξ ἀγράφου χρώμεθα παραδόσεως· ἀ. ὅτι δεῖ μετὰ ἰσημερίαν ἐαρινὴν τὸ πάσχα ἐπιτελεῖν· β'. ὅτι οὐ τὴν αὐτὴν ἡμέραν τῆς Ἰουδαϊκῆς τελετῆς· γ'. ὅτι οὐχ ἁπλῶς μετ' ἰσημερίαν, ἀλλὰ μετὰ τὴν πρώτην μετ' ἰσημερίαν πανσέληνον· καὶ δ'. ὅτι καὶ μετὰ τὴν πανσέληνον, εὐθὺς τῆς ἑβδομάδος πρώτῃ. Ἵνα τοίνυν καὶ οἱ τέσσαρες οὗτοι διορισμοὶ πᾶσιν ἐπίσης διατηρῶνται σοφοῖς τε καὶ ἰδιώταις, καὶ οἱ ἀνὰ πᾶσαν τὴν οἰκουμένην Χριστιανοὶ τὸν αὐτὸν ἑορτάζωσι χρόνον, καὶ μὴ ἀστρονόμων ἑκάστοτε δέωνται, τὸ παρὸν οἱ Πατέρες ἡμῶν κανόνιον συντετάχασι, καὶ τῇ Ἐκκλησίᾳ παραδεδώκασιν, οἰηθέντες δι' αὐτοῦ μηδένα τῶν ῥηθέντων προσδιορισμῶν καταλύεσθαι. Εἴργασται δὲ αὐτοῖς ὁ κανὼν οὕτω· λαβόντες ιθ'. ἑξῆς ἐνιαυτοὺς τοὺς ἀπὸ τοῦ ,σλγ'. ἔτους ἀπὸ γενέσεως κόσμου, μέχρι τοῦ ,σνά. καὶ ἐπιλογισάμενοι τὴν ἐν ἑκάστῳ αὐτῶν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν πρώτην πανσέληνον, (ἐπέβαινε δὲ τοῦ τῆς ἰσημερίας σημείου τηνικαῦτα ὁ ἥλιος, ὅτε τοῖς Πατράσι ταῦτα ἐσκοπεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν τοῦ Μαρτίου μηνὸς, ὡς τὰ ἰδίως ἡμῖν ἐκτεθέντα σαφῶς δηλοῦσι κανόνια), ἐσημειώσαντο καὶ ποίαν ἡμέραν τοῦ Μαρτίου ἢ τοῦ Ἀπριλίου συμβαίνει τῶν πανσελήνων ἑκάστην γίνεσθαι· περιλαβόντες οὖν τὴν ἐννεακαιδεκάδα ταύτην τῶν ἐτῶν τε καὶ πανσελήνων ἑνὶ κανονίῳ δύο περιέχοντι σελίδια, καὶ μέχρι τριακοσίων ἐτῶν τὰς μετ' ἰσημε-

1) ἀντὶ πρὸ βραχέος, παρὰ Β. καὶ τοῖς Κώδιξιν ε καὶ Κ εὕρηται, κατὰ τὸ Π στοιχεῖον.

ΚΑΝΟΝΙΟΝ ΕΝ ΠΟΙΟΙΣ ΕΤΕΣΙΝ

Η ΚΑΤΑ ΤΟ ΝΟΜΙΚΟΝ ΠΑΣΧΑ ΠΑΝΣΕΛΗΝΟΣ

Σελήνης κύκλος.	Ποία συνέρχεται ποστῇ τοῦ μηνὸς, κατὰ ποῖον ἀπὸ μεσημβρίας ὁλοχερέστερον ά, ἢ β'. τῆς ἡμέρας λεπτόν.					
Α.	,ς. σ. λγ.		,ς. φ. λζ.		,ς. ω. κα.	
Β.	,ς. σ. λδ.	Μαρ. κβ. κγ′ μθ″	,ς. φ. λη.		,ς. ω. κβ′.	Μαρτ..... λδ′.
Γ.	,ς. σ. λε.	Ἀπρ. ι. κγ′ μ″	,ς. φ. λθ.	Ἀπρ. θ κε′ κε″	,ς. ω. μγ.	Ἀπρ. η. κζ′ νς″
Δ.	,ς. σ. λς.	Μαρ κθ. με′ μα″	,ς. φ. ν.	Μαρ. κη. μζ′ ν″	,ς. ω. μδ.	Μαρ. κζ, μθ′ νη″
Ε.	,ς. σ. λζ.	Ἀπρ. ιζ. λθ″ λδ″	,ς. φ. να.	Ἀπρ. ις. μα′ μβ″	,ς. ω. με.	Ἀπρ. ιε. μγ′ ν′
ς.	,ς. σ. λη.	Ἀπρ. ζ. α′ λς″	,ς. φ. νβ.	Ἀπρ. ς. γ′ μδ″	,ς. ω. μς.	Ἀπρ. ε. ε′ νβ″
Ζ.	,ς. σ. λθ.	Μαρ. κζ. κγ′. λη″	,ς. φ. νγ.	Μαρ. κς″ κε′ μ″	,ς. ω. μζ.	Μαρ, κε. κς′ μδ′.
Η.	,ς. σ. μ.	Ἀπρ. ιδ. ιζ′ κθ″	,ς. φ. νγ.	Απρ. ιγ. ιθ′ λζ″	,ς. ω. μη.	Ἀπρ. ιβ. κ′ μς′.
Θ.	,ς. σ. μα.	Ἀπρ. γ. λθ′ λα″	,ς. φ. νδ.	Ἀπρ. β. μα. λθ″	,ς. ω. μθ.	Ἀπρ, α. κγ′ κζ″
Ι.	,ς. σ. μβ.	Μαρ. κδ. α′ λγ″	,ς. φ. νε.	Μαρ. κγ. γ′ μα″	,ς. ω. ν.	Μαρ. κβ. ε′ μα′
ΙΑ.	,ς. σ. μγ.	Ἀπρ. ια. νε′ κε″	,ς. φ. νς′.	Ἀπρ. ι. νζ′ λγ″	,ς. ω. να.	Ἀπρ. θ. νθ′ κα″
ΙΒ.	,ς. σ. μδ.	Μαρ. λα. ιζ′ κζ″	,ς. φ. νζ′.	Μαρ. λ. ιθ′ λε″	,ς. ω. νβ.	Μαρ. κθ. κα′ μγ″
ΙΓ.	,ς. σ. με.	Μαρ. κ λθ′ κθ″	,ς. φ. νη′.	Μαρ. ιθ. μα′ λζ″	,ς. ω. νγ.	Μαρ. ιη. μγ′ με″
ΙΔ.	,ς. σ. μς.	Ἀπρ. η. λγ′ κα″	,ς. φ. νθ.	Ἀπρ. ζ λε′ κθ″	,ς. ω. νδ.	Ἀπρ. ς. λζ′ λζ″
ΙΕ.	,ς. σ. μζ′.	Μαρ. κη. νε′ κγ′.	,ς. φ. ξ.	Μαρ. κζ νε′ λα″	,ς. ω. νε.	Μάρ. κς. νθ′ λθ″
Ις.	,ς. σ. μη.	Ἀπρ. ιε. μθ′ ιε″	,ς. φ. ξα.	Ἀπρ. ιδ. να′ κγ″	,ς. ω. νς.	Ἀπρ. ιγ. νγ′ λα″
ΙΖ.	,ς. σ. μθ.	Ἀπρ. ε. ια′ ιζ″	,ς. φ. ξβ.	Ἀπρ. δ. ιγ′ κε″	,ς. ω. νζ.	Ἀπρ. γ. ιε′ λγ″
ΙΗ.	,ς. σ. ν.	Μαρ. κε. λγ′ ιθ′	,ς. φ. ξγ′.	Μαρ. κδ. λε′ κζ″	,ς. ω. νη.	Μαρ. κγ. λζ′ λε″
ΙΘ.	,ς. σ. να.	Ἀπρ. ιγ. κζ′ ια″	,ς. φ. ξδ′.	Ἀπρ. ιβ. κθ′ ιθ″	,ς ω. νθ.	Ἀπρ. ια, λα′ κζ′.

Θεμέλ. τῆς Σελ.	Κύκλ. τῆς Σελ.	Τὸ Νομικὸν Φάσκα	α′.	β′.	γ′.	δ′.	κς′.	ε,	ς′,
			ζ′.	η′.	κδ′.	θ′,	ι,	ιά.	κγ′.
			ιβ′.	ιγ′,	ιδ′,	ιε.	κζ,	ις′.	ιζ′.
			ιη′.	ιθ′,	κε.	κ′.	κά.	κβ′.	κή.
ιδ′.	α′.	Απρ. β′.	Απρ. ζ′, γ′.	Ἀπρ. ς′, δ′.	Ἀπρ. ε. ε.	Ἀπρ. δ′. ς′.	Ἀπρ. γ′. ζ′,	Ἀπρ. β′. ά.	Ἀπρ. β′.
κε′.	β′.	Μαρ. κβ′.	Μαρ. κδ. ς′.	Μαρ. κγ′, ζ′.	Μαρ. κε. ά.	Μαρ. κθ′. β′.	Μαρ. κζ′, γ′.	Μαρ. κς′. δ′,	Μαρ. κ ε.
ς′.	γ′.	Απρ. ι′.	Ἀπρ, ιδ′. δ′.	Ἀπρ. ιγ′. ε.	Ἀπρ. ιβ′. ς′.	Ἀπρ, ια′, ζ′.	Ἀπρ. ιζ′, ά.	Ἀπρ, ις′. β′.	Ἀπρ. ι γ′.
ιζ′.	δ′.	Μαρ. λ′.	Μαρ. λα′. ζ′.	Ἀπρ. ς′. ά.	Ἀπρ, ε. β′.	Ἀπρ. δ′, γ′.	Ἀπρ. γ′. ο′.	Ἀπρ. β′. ε.	Ἀπρ, ς′,
κη′.	ε′.	Απρ, ιη′.	Ἀπρ, κ′. η′,	Ἀπρ. κ′. ς′.	Ἀπρ. ιθ′. ζ′.	Ἀπρ. κε′. ά.	Απρ. κδ′. β′.	Ἀπρ,κγ′. γ′.	Ἀπρ.κβ δ′,
θ′.	ς′.	Απρ. ζ′.	Ἀπρ. ιδ′, α′.	Ἀπρ.ιγ′, β′.	Ἀπρ. ιβ′. γ′,	Ἀπρ. ια. δ′.	Ἀπρ, ι. ε.	Ἀπρ, θ′. ς′.	Ἀπρ. ζ′.
κ′.	ζ′.	Μαρ κζ′.	Μαρ. λα′. δ′,	Μαρ. λ′. ε.	Μαρ. κθ′. ς′.	Ἀπρ. ιή, ζ′,	Ἀπρ, ιζ′. ά.	Ἀπρ.ις′. β′.	Απρ. κβ γ′.
α′,	η′.	Απρ. ιε,	Ἀπρ, κά. β′,	Ἀπρ. κ′. γ′.	Ἀπρ. ιθ′. δ′.	Ἀπρ. ιή. ε,	Ἀπρ, ιζ. ς′.	Ἀπρ, ις′, ζ′.	Απρ, κβ ά.
ιβ′.	θ′,	Απρ. δ′.	Ἀπρ. ζ′. ε.	Ἀπρ. ς′. ς,	Ἀπρ. ε. ζ′.	Ἀπρ. ιδ′. ά,	Ἀπρ. ι. β′,	Ἀπρ, θ′, γ′.	Ἀπρ. δ′.
κγ′.	ι′.	Μαρ, κδ′.	Μαρ. λά, ά,	Μαρ. λ′. β′.	Μαρ. κθ′. γ′.	Μαρ. κή. δ′.	Μαρ, κζ′. ε.	Μαρ. κς′. ς′.	Μαρ, κ ζ′.
δ′.	ια′.	Απρ. ιβ′,	Απρ. ιδ′. ς′.	Ἀπρ. ιγ′. ζ′.	Ἀπρ. ιθ′. ά.	Ἀπρ. ιή. β′,	Ἀπρ. ιζ′, γ′.	Ἀπρ, ις′, δ′.	Ἀπρ. ι ε.
ιέ,	ιβ′,	Απρ α′.	Ἀπρ. ζ′. β′,	Ἀπρ. ς′. γ′.	Ἀπρ, ε. δ′,	Ἀπρ. δ. ε.	Ἀπρ, γ′. ς′.	Ἀπρ, β′. ζ′.	Ἀπρ, ά,
κς′.	ιγ′,	Μαρ. κα′.	Ἀπρ.κδ′. ε.	Ἀπρ,κγ′. ς′.	Ἀπρ,κβ′, ζ. –	Μαρ. κή. ά.	Μαρ, κζ′. β′.	Μαρ, κς′. γ′.	Μαρ. κε δ′.
ζ′,	ιδ′,	Απρ. θ′.	Ἀπρ. ιδ′, γ′.	Ἀπρ, ιδ′. δ′.	Ἀπρ. ιβ′. ε.	Ἀπρ, ια. ς′.	Ἀπρ. ι, ζ′,	Ἀπρ. ις′. ά.	Ἀπρ. ι β′.
ιή′,	ιε′.	Μαρ. κθ′.	Μαρ. λά, ς′.	Μαρ. λ′. ζ′.	Ἀπρ. ε, ά.	Ἀπρ. δ′, β′.	Ἀπρ. γ′. γ′.	Ἀπρ. β′. ὁ,	Ἀπρ. ε,
κθ′.	ις′,	Απρ. ιζ′.	Ἀπρ.κά, δ′.	Ἀπρ. κ′, ε.	Ἀπρ. ιθ′. ς′,	Ἀπρ. ιή, ζ′.	Ἀπρ.κδ′. ά.	Απρ. κγ′. β′.	Ἀπρ,κβ γ′,
ιά.	ιζ′.	Απρ, ε′.	Ἀπρ. ζ′. ς′.	Ἀπρ. ς′, ζ′.	Ἀπρ. ιβ′, ά,	Ἀπρ. ιά, β′.	Ἀπρ. ι. γ′.	Ἀπρ, θ′. ὁ′.	Ἀπρ. ε.
κβ′.	ιη′.	Μαρ. κε′.	Μαρ. λά, β′.	Μαρ. λ′. γ′.	Μαρ. κθ′. δ′.	Μαρ. κή. ε,	Μαρ. κζ′, ς′.	Μαρ. κς′, ζ′.	Ἀπρ, ά.
γ′.	ιθ′.	Απρ. ιγ′.	Ἀπρ. ιδ′, ζ′,	Ἀπρ, κ′. ά,	Ἀπρ. ιθ′. β′,	Ἀπρ, ιή. γ′,	Ἀπρ, ιζ′. δ′,	Ἀπρ.ιζ′, ε.	Ἀπρ, ιέ ς′.

ρίαν ἐαρινὴν τοῦ πρώτου μηνὸς πανσελήνους ταῖς αὐταῖς τῶν μηνῶν συμπίπτειν ἡμέραις σκοπήσαντες, τῇ ἐφεξῆς ἀνακυκλήσει τῶν ἐννεακαιδεκαετηρίδων, τούτῳ ἡμῖν χρῆσθαι τῷ κανόνι παρέδοσαν, κατά γε τὰ ἑξῆς ἅπαντα ἔτη, ὡς οὐκ ἄτοπον ὄν, οὐδὲ τῇ εὐσεβείᾳ λυμαινόμενον, εἰ παρὰ τὴν ἀνώμαλον τῆς σελήνης κίνησιν, μετὰ τὴν ἐξαρίθμησιν τῶν ῥηθέντων τ'. ἐτῶν, ὁ κανὼν οὗτοσὶ, μὴ κατὰ τὴν πανσέληνον τοῦ πρώτου μηνὸς, ἀλλὰ μετὰ μίαν ἢ δύο ἡμέρας τὸ νομικὸν δείξει πάσχα, καὶ παρὰ τοῦτο συμβήσεται τὸν δ'. ἐνίοτε μὴ τηρεῖσθαι τοῦ πάσχα διορισμὸν, ἅτε τῆς προσθήκης τῶν δύο ἡμερῶν ὑπερβαίνειν ἔσθ' ὅτε ποιούσης τὴν μετὰ τὴν πανσέληνον πρώτην κυριακὴν, κἀκείνην μὲν τῇ τῶν Βαΐων 1) ἀφοσιοῦν ἑορτῇ, τῇ γε μὴν ἑξῆς τὸ σωτήριον πάσχα ἐπιτελεῖν· τοῦτο δὴ τὸ ἐφ' ἡμῖν ἀρτίως συμβαῖνον, καὶ τοὺς πολλοὺς ἐκτεράττον, ὡς ἀναγκαίου τινὸς καταλυομένου δόγματος καὶ ἀξίου μὴ παρορᾶσθαι. Τοῦτο δὲ ὥσπερ πάλαι ἐπιτυγχάνον οὐκ ἄχρηστον, οὕτω νῦν διαμαρτάνον ἀκίνδυνον δειχθήσεται· οὐ γὰρ λέληθε τοῦτο τοὺς πάντας ἀρίστους ἐκείνους Πατέρας, οὐδὲ παρὰ τὸ ἀνεπιστημόνως ἔχειν αὐτοὺς περὶ τὴν ἀστροθεάμονα τέχνην, τοῦτο συμβέβηκεν, ἀλλὰ παρὰ τὴν τῶν φωστήρων, ὡς εἴρηται, κίνησιν· τὸ δ' ὅπως, αὐτίκα ῥηθήσεται. Τὸ ἐνιαύσιον κίνημα δι' ἡμερῶν ἀποκαθίσταται τξέ. καὶ τεταρτημορίου ἡμέρας ἔγγιστα· αἱ δὲ μέσαι τῆς σελήνης κατὰ μῆκος πάροδοι οὐκ ἀποκαθίστανται ἐν ὅλοις ἔτεσι ιθ'. τοῖς κατὰ προσθήκην τοῦ τετάρτου ἀριθμουμένοις· ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα λζ'. καὶ διὰ τοῦτο ἐν τδ'. ἐνιαυτοῖς οὐχ ὅλοις πάλιν, ἀλλ' ἐλαττουμένοις ἡμέρας οὐδὲν, λεπτὰ πρῶτα νζ'. καὶ δεύτερα νδ'. ἤτοι μίαν ἡμέραν ἔγγιστα, ἡ εἰρημένη γίνεται ἀποκατάστασις· λαβόντες γὰρ ἀρτίως ἡμεῖς τὴν μετὰ τδ'. ἔτη ἀπὸ τῶν Πατέρων ἐννεακαιδεκάδα, δεκάτην ἑβδόμην οὖσαν τῆς ὑπ' ἐκείνων τῷ τότε ληφθείσης, ἥτις ἄρχεται δηλονότι ἀπὸ τοῦ ,σφλζ'. ἔτους, καὶ ἐπιλογισάμενοι τὰς ἐν αὐτῇ μετ' ἰσημερίαν ἐαρινὴν πανσελήνους, εὕρομεν ἑκάστην γενομένην πανσέληνον πρὸ μιᾶς ἡμέρας τῶν ἐν τῇ ά. ἐννεακαι-

1) Ἑβραίων 1375.

δεκάδι, ὡς προτέτακται ἐν τῷ παρ' ἡμῶν ἐκτεθέντι περὶ τούτων κανονίῳ· ὡσαύτως δὲ καὶ τὰς ὁμοίας ἐπιλογισάμενοι συζυγίας τῆς ἐννεακαιδεκάδος, ἥτις ἀπὸ ταύτης ἐν ἴσῳ διαστήματι ἄρχεται, ἀπὸ τοῦ ,ϛωμά. δηλονότι ἔτους, πρὸ μιᾶς πάλιν ἡμέρας τῶν πρὸ αὐτῶν ταύτας εὕρομεν· καὶ ἐν τοῖς ἑξῆς δὲ τῶν ἐτῶν, τοῖς τῷ ἴσῳ ἀεὶ διέχουσι διαστήματι, μίαν ὁμοίως ἡμέραν ἔγγιστα εὑρήσει τις τὴν τῶν συζυγιῶν διαφοράν· διὰ δὴ τοῦτο ἀρτίως δύο μετὰ τὴν πανσέληνον ἡμέραι εὑρίσκονται προστιθέμεναι ἐν τῇ τοῦ νομικοῦ πάσχα εὑρέσει, τῆς πανσελήνου μὴ δυναμένης καταλαβεῖν τὴν ὁρισθεῖσαν τοῖς Πατράσι ποστὴν τοῦ μηνός, ὁπισθορμήτου γενομένης, ὡς εἴρηται, ἐν τδ΄. ἔτεσιν, μιᾶς ἡμέρας ἔγγιστα διαστήματι· τοσαύτην ὁ χρόνος περὶ τὸν κανόνα τοῦτον πεποίηκε τὴν πλημμέλειαν.

Περὶ τῆς ἐαρινῆς ἰσημερίας.

Ἀλλ' οὐδὲ τὰ τῆς ἰσημερίας ἐπὶ τῆς αὐτῆς ἕστηκεν ἡμέρας ἀεί. Ἐπεὶ γὰρ τὴν ἐπὶ τοῦ λοξοῦ διὰ μέσου τῶν ζωδίων ἰδίαν κίνησιν βραδέως ποιεῖται ὁ ἥλιος, ὡς εἶναι τὴν μίαν αὐτοῦ ἀποκατάστασιν, τὸν ὅλον ἐνιαυτόν, τῷ δὲ παντὶ ἰσοταχῶς σχεδὸν συμπεριπολεῖ, ὥστ' ἐν μιᾷ περιστροφῇ τὸ νυχθήμερον ἔγγιστα ποιεῖν, ὅταν ἄρα ἐπὶ τῶν κοινῶν τομῶν γένηται, τοῦ τε οἰκείου καὶ τοῦ μεγίστου τῶν παραλλήλων, ἴσην ἐξ ἀνάγκης πανταχοῦ κατ' ἐκείνην τὴν περιστροφὴν τὴν ἡμέραν ποιεῖ τῇ νυκτί. Τοῦ γὰρ μεγίστου τῶν παραλλήλων κύκλου ἴσα τμήματα ἔχοντος, τό τε ὑπὲρ γῆν, καὶ τὸ ὑπὸ γῆν, ὅταν ἐπ' αὐτοῦ ὢν ὁ ἥλιος, τὴν μετὰ τοῦ παντὸς ποιῆται περιστροφήν, τῷ ὑπὸ γῆν χρόνῳ ἴσον ποιεῖ τὸν ὑπὲρ γῆν ἐξ ἀνάγκης· τὰ γὰρ ὁμαλῶς κινούμενα, ἐν ἴσῳ χρόνῳ τὰ ἴσα διεξέρχεται διαστήματα. Διὰ ταύτην οὖν τὴν γινομένην ἐπ' αὐτοῦ ἰσότητα τῆς νυκτὸς πρὸς τὴν ἡμέραν, αὐτὸν μὲν ἰσημερινὸν ὀνομάζουσι κύκλον, τὰ δὲ κοινὰ σημεῖα αὐτοῦ τε καὶ τοῦ λοξοῦ, καθ' ἃ αἱ τῶν νυχθημέρων ἰσότητες γίνονται, ἰσημερινά, ἰσημερίαν δὲ τὴν ὥραν, ᾗ πρῶτον τοῦ ἡλίου τὸ κέντρον ἐπὶ τῆς κοινῆς τομῆς γίνεται τῶν εἰρημένων δύο κύκλων· δύο δέ εἰσι τὰ ἰσημερινὰ ταῦτα σημεῖα, τό τε φθινοπωρινόν, τὸ κατ' ἀρχὴν τοῦ ζυγοῦ

κείμενον, ἐν ᾧ γίνεται ὁ ἥλιος ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια διερχόμενος,[1] καὶ τὸ ἐαρινὸν, τὸ κατ' ἀρχὴν τοῦ κριοῦ θεωρούμενον, ᾧ τινι τὸ τοῦ ἡλίου κέντρον συνέρχεται, ἀπὸ τῶν νοτιοτέρων ἐπὶ τὰ βόρεια κινουμένου· καὶ ἡ ὥρα ἐκείνη, ἐαρινὴ καλεῖται ἰσημερία, μεθ' ἣν ὁ θεῖος νόμος, τὸ Πάσχα ἐπιτελεῖσθαι κελεύει. Κατὰ μὲν οὖν τὴν τοῦ παντὸς φύσιν, ἐν τῷ αὐτῷ χρόνῳ τὰ τῆς ἰσημερίας ἀεὶ γίνεται, διὰ τὸ ἴσον εἶναι ἀεὶ τὸ μέγεθος τοῦ ἐνιαυσίου χρόνου· κατὰ δὲ τὸν ἑκάστοτε γινόμενον πρὸς τὴν γῆν τῶν οὐρανίων σχηματισμὸν, καὶ κατὰ τὸ μέτρον τῶν ἡμερῶν τε καὶ μηνῶν, ᾧ κατὰ Ῥωμαίους ἡμεῖς χρώμεθα, οὔτε κατὰ τὴν αὐτὴν ὥραν, οὔτε κατὰ τὴν αὐτὴν ἡμέραν συμβαίνει ἀεὶ τὴν ἰσημερίαν γίνεσθαι. Ἐπεὶ γὰρ ἡ ἐνιαύσιος ποσότης πρὸς ταῖς τξέ. ἡμέραις καὶ τέταρτον ἔγγιστα προσλαμβάνει, ὅταν ᾖ ἡ ἰσημερία περὶ μεσημβρίαν, τὸ μὲν ἑξῆς ἔτος ἔσται περὶ δύσιν ἡλίου, τὸ δὲ ἑξῆς, περὶ μέσας νύκτας, καὶ οὕτω μέχρι παντός· ἐντεῦθεν γὰρ καὶ ἡ τοῦ βισέκτου ἡμέρα εἰς δ'. ἐνιαυτοὺς προσαπαρτίζεται· ἐπεὶ δ' αὖθις ἡ ἐπὶ τξέ. ἡμέραις ἐπουσία οὐχ ὅλον τέταρτον ἡμέρας περιέχει, ἀλλὰ παρὰ τριακοσιοστὸν, ἡμεῖς δὲ τῷ τῶν ἡμερῶν καὶ μηνῶν ἀριθμῷ κατὰ Ῥωμαίους χρώμεθα, ὡς τοῦ τετάρτου ἀεὶ τελείου προσγινομένου, καὶ διὰ τοῦτο κατὰ τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ταῖς τξέ. προστίθεμεν, συμβαίνει ἐξ ἀνάγκης μετὰ τ'. ἐνιαυτοὺς πρὸ μιᾶς ἡμέρας γίνεσθαι τὴν ἰσημερίαν· οἷον, ἐπεὶ κατὰ τὸ παρὸν ἡ ἰσημερία γίνεται τῇ ιή. Μαρτίου, μετὰ τ'. ἔτη ἔσαι τῇ ιζ'. εἶτα μετὰ ἕτερα τοσαῦτα τῇ ις'. καὶ οὕτως ἀεί. Ἡ μὲν οὖν κατὰ τὸ ,δρνς'. ἔτος ἀπὸ κτίσεως κόσμου ἐαρινὴ ἰσημερία ἐπιλελόγισται ἡμῖν γεγονυῖα Μαρτίου κζ'. κατὰ μεσημβρίαν· λέγω δὲ μεσημβρίαν, κατὰ τὸν δι' Ἀλεξανδρείας μεσημβρινόν· τῶν δὲ ἑξῆς, ὅσαι μὲν τοῖς τ'. ἔτεσιν ἀλλήλων διαφέρουσιν, ἑκάστη πρὸ μιᾶς τῆς πρὸ αὐτῆς ἡμέρας κατὰ τὴν αὐτὴν ὥραν γίνεται, ὡς προτέτακται ἐν τῷ διαγράμματι· αἱ δὲ μεταξὺ τούτων ἰσημερίαι, τοῖς μεταξὺ διαστήμασι δηλονότι γίνονται. Εἰ δὲ καὶ σαφέστερα βούλει γνῶναι τοῦ χρόνου σημεῖα, ἐν μὲν τοῖς χρόνοις Ναβουνασάρου, περὶ λῆξιν ἑσπερίαν ἦν ἡ ἰσημερία τῆς τοῦ Μαρτίου πέμπτης καὶ

εἰκοστῆς, ἐν δὲ τοῖς Φιλίππου τοῦ Ἀριδαίου, περὶ μεσημβρίαν τῆς κδ΄. αὐτοῦ,

ἔτη ἀπὸ κτίσεως Κόσμου	ἰσημερίαι κατὰ τὸν Μάρτιον.
,δρνς΄.	κζ΄.
,δυνς΄.	κς΄.
,δψνς΄.	κέ.
,ενς΄.	κδ΄.
,ετνς΄.	κγ΄.
,εχνς΄.	κβ΄.
,εϡνς΄.	κά.
,ϛσνς΄.	κ΄.
,ϛφνς΄.	ιθ΄.
,ϛωνς΄.	ιή.

ἐν αἷς δὲ ἡμέραις ὁ Χριστὸς τῷ οἰκείῳ θανάτῳ τὸν θάνατον ἐθανάτου, τρίτην καὶ εἰκοστὴν διανύοντος αὐτοῦ, περὶ μέσην ἐκείνην τὴν νύκτα· ὅτε δὲ τὸ τῶν Πατέρων τουτὶ κανόνιον ἐγεγόνει, τῇ ά. τούτου καὶ κ΄. τὰ τῆς ἰσημερίας ἀπήντα· νῦν δ' ἐφ' ἡμῶν, ὡς δεδήλωται, ἡ ιή. ταύτην ὀλοσχερῶς ὁρᾷ γινομένην· τοιαύτην ἀνωμαλίαν ἡ ἐπὶ τῇ τῶν φωστήρων κινήσει βραχυτάτη ἔλλειψις κατὰ μικρὸν προσγινομένη ἀπέτεκε, καὶ τὰ φῶτα ὀπισθόρμητα γίνεσθαι παρεσκεύασεν. Οὐ μὴν παρὰ τοῦτο μεταποιεῖν τὸν τῶν Πατέρων προσήκει κανόνα· οὔτε γὰρ οἷόν τε συνθεῖναι ἕτερον, οὕτω σαφῶς δεικνύντα τοῖς πᾶσι τοὺς εἰρημένους περὶ τὸ πάσχα διορισμούς· ἀλλὰ καὶ ἢν ἐθελήσαιμεν, ὥς τινες, μεταθεῖναι, δυσὶν αὐτὸν ἡμέραις ὑποβιβάσαντες, ἀρξάμενοι δηλονότι ἀπὸ τοῦ ,ϛωμα΄. ἔτους, πρὸς τῷ μηδὲ πάντας δυνατὸν εἶναι τοὺς ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὰ Χριστιανῶν πρεσβεύοντας πεῖσαι μεταμαθεῖν αὐτὸν, ἔτι καὶ μετὰ τδ΄. πάλιν ἔτη, καὶ αὖθις μετὰ τοσαῦτα, καὶ ἀεὶ οὕτως ἡ αὐτὴ παρακολουθήσει ἁμαρτία, καὶ δεήσει πολλάκις τοῦτον μεταποιεῖν, ὥστε βέλτιον μὴ καινοτομεῖν· ἡ γὰρ τοιαύτη καινοτομία οὐ μόνον οὐ δυνήσεται μὴ τῇ αὐτῇ πάλιν περιπεσεῖν ἁμαρτίᾳ, ἀλλὰ καὶ στάσεως οὐ μετρίας τῇ Ἐκκλησίᾳ γενήσεται πρόξενος. Νῦν δὲ καὶ οὕτως ἔχοντος τοῦ κανόνος, τὰ καιριώτερα τῶν ὀφειλομένων περὶ τὸ Πάσχα τηρεῖσθαι, δι' αὐτοῦ βεβαίως τηροῦνται, τὸ μετ'

ἰσημερίαν δηλονότι, καὶ τὸ μετὰ τὴν πανσέληνον, τὴν μετ' ἰσημερίαν, τὰ τῆς ἑορτῆς ὑπὸ πάντων, καὶ ἐν τῷ αὐτῷ χρόνῳ, καὶ τῇ αὐτῇ ἡμέρᾳ τελεῖσθαι ἀστασιάστως. Ἔτι δὲ εἰ ὀρθῶς εἶχεν ὁ περιοδικὸς οὗτος κατὰ πάντα κανὼν, πολλάκις ἂν συνέβαινε, τὴν ἑξῆς εὐθὺς ἡμέραν τῆς ἐκείνων ἑορτῆς ἡμῖν τὸ πάσχα τελεῖσθαι· νῦν δὲ μετὰ τρεῖς τοὐλάχιστον ἡμέρας τῆς ἐκείνων ἑορτῆς ἡ ἡμετέρα τελεῖται· ὅπερ ἔτι μᾶλλον τῷ Ἀποστολικῷ κανόνι συμβαίνει, τῷ διοριζομένῳ, μὴ δεῖν ἐν τῷ αὐτῷ χρόνῳ τοῖς Ἰουδαίοις τὸ πάσχα τελεῖν· καὶ ἡ συμβεβηκυῖα περὶ τὸ πάσχα διαμαρτία, ὥσπερ ἐξεπίτηδες ποιεῖ τὸν τοιοῦτον ἐπιπλέον νόμον φυλάττεσθαι. Ἀλλ' οὐκ ἄκαιρον οἶμαι καὶ τῶν ἐπικαίρων ἤδη μνησθῆναι χρησμῶν.

Συνόδου Ἀντιοχείας ά.

Ὁ ά. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κανὼν, Ὅρον, φησὶν, ἐξενήνοχεν ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος, ὑπ' ὄψιν τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου, τὴν τοῦ ἁγίου Πάσχα τελετὴν μὴ συνάμα τοῖς Ἰουδαίοις τοὺς Χριστιανοὺς ἄγειν, ἀλλ' ὥσπερ τοῖς νόμοις καὶ τῷ φρονήματι, οὕτω καὶ τῷ διαλλάττοντι τῶν ἡμερῶν τούτων ἀποδιίστασθαι· τοὺς δὲ τὸν ὅρον ἐκεῖνον παραλύειν τολμῶντας κληρικοὺς, καὶ οὕτω τὸν λαὸν πειρωμένους διδάσκειν, τῇ ἀφαιρέσει ζημιοῖ τῆς ἱερωσύνης· πρὸς δὲ, καὶ τοὺς τολμῶντας τούτοις μετὰ τὴν καθαίρεσιν κοινωνεῖν, οὐ μὴν ἀλλὰ καὶ τῆς ἔξω τοῦ βήματος ἀλλοτριοῦσθαι τιμῆς, τῆς ἐν τῇ καθέδρᾳ δηλαδὴ, καὶ τῆς ἄλλης· οἱ γὰρ διὰ μέτριον 1) πταῖσμα τῆς ἱερωσύνης ἀφῃρημένοι, τῆς περὶ τὰ ἔξω τιμῆς οὐκ εἴργονται.

Συνόδου ἕκτης ξς'.

Ὁ δὲ ξς'. τῆς ς'. Συνόδου, ἀπὸ τῆς ἀναστασίμου ἡμέρας ἄχρι τῆς καινῆς κυριακῆς, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ἑορτάζειν διακελεύεται τοὺς πιστούς· καὶ ἐρρῶσθαι φράσαντας ταῖς ἱπποδρομίαις, καὶ ταῖς δημώδεσι θέαις, θαμινὰ τοῖς ἱεροῖς ἐπιχωριάζειν, ἀνθ' ὧν τῆς τοῦ διαβόλου δουλείας ἠλευθερώμεθα· τὸν γὰρ ἀληθῆ Χριστιανὸν ἕτοιμον εἶναι δεῖ σχεδὸν

1) μέτριόν τι Γ.

ἑκάστοτε πρὸς τὴν τῶν θείων μυστηρίων ὑποδοχήν· οὕτω γὰρ ἐσόμεθα συναναστάντες Χριστῷ, τῆς χαμαιζήλου καὶ γηΐνης ζωῆς, καὶ συνυψωθέντες πρὸς ὑπερκόσμιον καὶ πνευματικὴν τῳόντι διαγωγήν.

Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Θ στοιχείου κανόνα ξά. τῆς ἐν Καρθαγένῃ Συνόδου.

Συνόδου ἕκτης πθ'.

Ὁ δὲ πθ'. τῆς ς'. Συνόδου, τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ εἰσηγεῖται, καὶ προσευχῇ, καὶ κατανύξει καρδίας ἐπιτελεῖν τοὺς πιστούς· μέσων 1) δὲ νυκτῶν μετὰ τὸ σάββατον ἀπονηστίζεσθαι, τῶν θείων Εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν, διὰ τοῦ ὀψὲ σαββάτου ῥήματος, τοῦ δὲ, διὰ τοῦ βαθέος ὄρθρου, τὴν βραδυτῆτα ἡμῖν τῆς νυκτὸς ὑπογραφόντων· μέχρι μὲν γὰρ τῆς τοῦ σαββάτου νυκτερινῆς ς'. ὥρας, θέμις νηστεύειν· μετὰ δέ γε τὴν ζ'. οὐκ ἔτι· ἅτε καὶ τοῦ Κυρίου ἐγηγέρθαι πιστευομένου τῷ τότε, καὶ μὴ νηστεύειν τὰς κυριωνύμους προστεταγμένου.

Διονυσίου Ἀλεξανδρείας.

Τούτοις συνᾴδων καὶ ὁ ἐν ἁγίοις Διονύσιος Ἀλεξανδρείας, κατ' ἐκεῖνο τῆς ὥρας κελεύει ἀπονηστίζεσθαι τοὺς πρὸ τοῦ πάσχα νενηστευκότας, ὧν οἱ μὲν ἄσιτοι πᾶσαν τὴν πρὸ τοῦ πάσχα ἑβδομάδα διατελοῦσιν, ἄλλοι δὲ, δύο ἡμέρας, ἢ τρεῖς, ἢ τέσσαρας· τὸ γὰρ ὀψὲ σαββάτου εἰρημένον τῷ θείῳ Ματθαίῳ, οὐ τὴν ἑσπέραν δηλοῖ, φησὶν, ἀλλὰ νύκτα βαθεῖαν, βραδυτῆτα καὶ μακρὸν χρόνον, τοῦ ὀψὲ δηλοῦντος· ταύτῃ τοι καὶ ἐπήγαγε, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων· ὁ δὲ Ἰωάννης, πρωΐ, σκοτίας ἔτι οὔσης, φησίν· ὁ δὲ Λουκᾶς, τῇ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος· ὁ δὲ Μάρκος, λίαν πρωΐ, τῆς μιᾶς σαββάτων, αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου· ταυτὸν δέ ἐστι τὸ λίαν πρωΐ τῷ βαθέος ὄρθρου.

Περὶ τῆς τριημέρου ἀναστάσεως.

Ἀωρὶ μὲν γὰρ τῶν νυκτῶν πρὸς τὸ μνημεῖον αἱ γυναῖκες

1) 1310 — μέσην Β. μέσῳ νυκτὸς Γ.

ἀπήεσαν· προσήδρευον δὲ τῷ τάφῳ μέχρις ἀνατολῆς ἡλίου. Εἰ γὰρ καὶ ἀρχὴ τῆς ἡμέρας ἡ τοῦ ἡλίου ἀνατολὴ γίνεται, καὶ ἀρχὴ τῆς νυκτὸς ἡ δύσις αὐτοῦ, ἀλλ' ὁ πολιτικὸς νόμος καὶ οἱ περὶ τὴν ἀστροθεάμονα τέχνην ἐσχολακότες, ἀρχὴν τῆς ἡμέρας, τὴν νυκτερινὴν ἑβδόμην τίθενται ὥραν, καὶ ἀρχὴν τῆς νυκτὸς τὴν ἑβδόμην ἡμερινήν· διὰ τοῦτο καὶ ἐν τῇ ἱερᾷ νυκτὶ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἅτε τηνικαῦτα ἰσημερίας οὔσης ἐαρινῆς, ὄρθρος βαθὺς, καὶ λίαν πρωὶ ἀνατείλαντος τοῦ ἡλίου, καὶ σκοτία, καὶ ὀψία σαββάτου εἰς μίαν σαββάτων, τὴν τότε κυριακὴν, ἐπιφώσκουσα, ὁ μετὰ ἕκτην ὥραν καιρὸς τῆς νυκτὸς, τῇ θείᾳ τῶν Εὐαγγελιστῶν προσηγόρευται λογάδι, ὃς ἦν ἀρχὴ τῆς κυριακῆς· παρὸ δὴ καὶ τριήμερον λέγομεν τὴν ἀνάστασιν τοῦ Κυρίου, κατὰ τὴν ἀψευδῆ αὐτοῦ ἐπαγγελίαν. Ἐπεὶ γὰρ τῇ παρασκευῇ τὸν ζωοποιὸν ὕπνωσε θάνατον, ἥτις ἦν πρώτη, δευτέρα δὲ τὸ σάββατον, ἤψατο δὲ καὶ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς, ἥτις ἦν ἀρχὴ τῆς κυριακῆς, ὡς εἴρηται, τρίτη ἄρα λογίζεται ἡ κυριακή.

Τοῦ Χρυσοστόμου.

Φησὶ δὲ ὁ τῆς Ἐκκλησίας περίβολος, ἡ τῆς εὐαγγελικῆς ἐμπειρίας βίβλος, ὁ θεῖος, φημὶ, Χρυσόστομος, ὅτι τὸ μὲν θᾶττον ἀναστῆναι, ἔγκλημα οὐκ ἦν· τὸ δὲ βράδιον, ὑποψίας ἔγεμεν· οὐ γὰρ ἂν καὶ τὸν χρέος καταβάλλοντα πρὸ τῆς ὁρισθείσης προθεσμίας, νοῦν ἔχων ἄνθρωπος αἰτιάσαιτο. Οἱ μὲν οὖν θεῖοι Εὐαγγελισταὶ, τὰς τῶν εὐαγῶν γυναικῶν προσελεύσεις, καὶ ἃς κατεῖδον αὗται διαφόρους περὶ τὴν ἀνάστασιν ὀπτασίας, ὡς εἶχεν ἕκαστος διὰ μνήμης, ἢ θειοτέρας, μᾶλλον εἰπεῖν, ἐμπνεύσεως, σαφῶς ἀνεγράψαντο. Ἡ μέν τοι ἀληθὴς τῆς ἀναστάσεως ὥρα, εἴτε ἑβδόμη τυγχάνουσα ἦν, εἴτε μὴν ὀγδόη, μόνῳ τῷ ἀναστάντι Θεῷ γνώριμος.

Καρθαγένης λδ'. ογ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ Συνόδου λδ'. καὶ ὁ ογ'. τὴν τοῦ ἁγίου πάσχα ἡμέραν παρεγγυῶνται γίνεσθαι δήλην ἐν ταῖς ἐτησίως γινομέναις Συνόδοις· ἡμέραν δὲ τῆς Συνόδου ὁρίζονται τὴν πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ὡς εἶναι ταύτην εἰκοστὴν πρώτην

τοῦ Αὐγούστου· καλάνδαι γὰρ αἱ πρῶται ἡμέραι τοῦ μηνὸς λέγονται· εἰ οὖν τὰς πρὸ τούτων ἀφέλοις δέκα, ἡ κά. λείπεται τοῦ Αὐγούστου, τριάκοντα καὶ μίαν ἡμέρας ἔχοντος.

Λαοδικείας ιδ'.

Ὁ δὲ ιδ'. τῆς ἐν Λαοδικείᾳ, οὐκ οἴεται δεῖν τὰ ἅγια δῶρα, εὐλογίας δῆθεν χάριν, τῷ τοῦ πάσχα καιρῷ ἀπὸ παροικίας πέμπειν εἰς παροικίαν· ὡς ἀπρεπὲς γὰρ καὶ οὐκ εὔσχημον ἔθος δικαίως πρὸς τῶν Πατέρων κεκώλυται· τοῦτο δὲ νῦν οἱ Λατῖνοι ποιοῦσιν, ἐν τῷ καιρῷ τοῦ πάσχα ἐπιμερίζοντες τὰ ἄζυμα μετὰ τὸ ἁγιασθῆναι, ὡς κοινὰ τῷ δήμῳ παντί.

Νόμος.

Τῇ πρώτῃ τῶν πασχαλίων ἡμερῶν, καὶ βασιλικῆς ἐπὶ τούτῳ μὴ καταλαβούσης κελεύσεως, πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσθαν, εἰ μὴ ἄρα ἱερόσυλός ἐστιν, ἢ μοιχὸς, ἢ παρθένων ἅρπαξ, ἢ τυμβωρύχος, ἢ γόης, ἢ φαρμακὸς, ἢ φονεὺς, ἢ πατροκτόνος, ἢ κατὰ βασιλέως ἢ πόλεως εὑρέθη μηχανησάμενος 1).

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ Πατριάρχου.

Πατριάρχης ἐστὶν εἰκὼν ζῶσα Χριστοῦ 2) καὶ ἔμψυχος, δι' ἔργων καὶ λόγων ἐν αὐτῷ ζωγραφῶν τὴν ἀλήθειαν.

Σκοπὸς τῷ Πατριάρχῃ, πρῶτον μὲν, οὓς ἐκ Θεοῦ παρέλαβεν, ἐν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι· ἔπειτα δὲ καὶ πάντας τοὺς αἱρετικοὺς, κατὰ τὸ δυνατὸν αὐτῷ, πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς Ἐκκλησίας ἐπιστρέψαι· αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται, καὶ οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες Ἐκκλησίᾳ· ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων, μιμητὰς ποιῆσαι τῆς πίστεως, καὶ τοὺς ὁρῶντας τὰ ἔργα αὐτοῦ λατρευτὰς τῆς παναγίας

1) κς'. Βασ. Ζ', ιζ'. — 2) Θεοῦ 1375.

καὶ ὁμοουσίου Τριάδος, τὸ ὅσον ἐπ' αὐτῷ ἀπεργάσασθαι 1).

Τέλος τῷ Πατριάρχῃ ἡ τῶν κατεπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία· καὶ τὸ ζῆν μὲν ἐν Χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ 2).

Ἴδια Πατριάρχου, τὸ εἶναι διδακτικόν· τὸ πρὸς πάντας ὑψηλούς τε καὶ ταπεινοὺς, ἀστενοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾷον μὲν εἶναι πρὸς ἅπαντας τοὺς ἐντυγχάνοντας ταῖς διδασκαλίαις· ἐλεγκτικὸν δε πρὸς τοὺς ἀπειθοῦντας· ὑπὲρ δὲ τῆς ἀληθείας, καὶ τῆς ἐκδικήσεως τῶν δογμάτων, καὶ τῆς συντηρήσεως τοῦ δικαίου καὶ τῆς εὐσεβείας λαλεῖν ἐναντίον βασιλέων καὶ μὴ αἰσχύνεσθαι 3).

Τῆς πολιτείας ἐκ μερῶν καὶ μοφίων ἀναλόγως τῷ τινι ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη, βασιλεύς ἐστι καὶ Πατριάρχης· διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία, βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πᾶσιν ὁμοφροσύνη καὶ συμφωνία 4).

Ὁ Κωνσταντινουπόλεως θρόνος βασιλείᾳ ἐπικοσμηθεὶς ταῖς συνοδικαῖς ψήφοις πρῶτος ἀνηγορεύθη· αἷς οἱ θεῖοι κατακολουθοῦντες νόμοι,καὶ τὰς ὑπὸ τοὺς ἑτέρους θρόνους γινομένας ἀμφισβητήσεις, ὑπὸ τὴν ἐκείνου προστάττουσιν ἀναφέρεσθαι διάγνωσιν καὶ κρίσιν 5).

Πάντων τῶν μητροπόλεων, καὶ ἐπισκοπείων, μοναστηρίων τε, καὶ Ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντὶς, ἔτι δὲ καὶ κρίσις, καὶ κατάκρισις, καὶ ἀθώωσις, τῷ οἰκείῳ Πατριάρχῃ ἀνάκειται· τῷ δὲ Κωνσταντινουπόλεως προέδρῳ, ἔξεστι καὶ ἐν ταῖς τῶν ἄλλων θρόνων ἐνορίαις, ἐν οἷς οὐκ ἔστι προκαθιέρωσις ναῶν, σταυροπήγια διδόναι, οὐ μὴν, ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γινομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι, καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν· ὡσαύτως καὶ μετανοίας, καὶ ἐπιστροφῆς ἁμαρτημάτων καὶ αἱρέσεων, αὐτὸς καὶ μόνος καθίσταται διαιτητής τε καὶ γνώμων.

---

1) ἕως 5) ἐπαναγωγῆς Τ. Γ'. Κεφ. ά. β'. γ'. δ'. ή. θ'. ί. καὶ ιά.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ περιοδευτῶν, ἤτοι ἐξάρχων.

Ζήτει ἐν τῷ λ΄. Κεφαλαίῳ τοῦ Ε στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ Συνόδου νζ΄.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ πίστεως ὀρθοδόξου.

Ζήτει τὸ Κεφάλαιον τοῦτο πρὸ τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ πλεονεξίας καὶ ἁρπαγῆς.

Ζήτει τὸ ιϐ΄. Κεφάλαιον τοῦ Α στοιχείου.

Νύσσης ς΄.

Ὁ δὲ μέγας Γρηγόριος ὁ Νύσσης, ἐν τῷ ς΄. κανόνι, Τὸ τῆς εἰδωλολατρείας, φησὶν, εἶδος, οὕτω γὰρ ὠνόμασε τὴν πλεονεξίαν ὁ μέγας Ἀπόστολος, οὐκ' οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν Πατέρων ἡμῶν περιῴφθη· καίτοι γε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τριττῆς ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι· καὶ γὰρ ὁ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας τὰς ἀφορμὰς λαμβάνει· καὶ, τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ Ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ· ὁ γὰρ θεῖος Ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν ἁπάντων τῶν κακῶν ἀπεφήνατο 1)· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου· ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τῆς Ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα· καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν. Ἀλλὰ

1) Κολοσσ. Γ΄, 5. — Τιμόθ. ς΄, 10.

περὶ τούτων διὰ τὸ παρεῖσθαι τοῖς Πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, καὶ ὥσπερ τινὰ πληθωρικὰ τὰς πλεονεκτικὰς ἀῤῥωστίας καθαίρειν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Ὅπως δεῖ πνευματικοὺς Πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους.

Ζήζει τοῦ Μ στοιχείου Κεφ. έ. ς΄. ζ΄, ή. καὶ θ΄.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ὅτι οὐ δεῖ πνικτὰ ζῶα ἐσθίειν.

Τῷ ξγ΄. κανόνι τῶν ἁγίων Ἀποστόλων, πρὸς δὲ καὶ τῷ ξζ΄. τῆς ς΄. Συνόδου, ἀπηνὲς εἶναι δοκεῖ καὶ ἀτεχνῶς ἄλογον, τὸ μὴ πρῶτον ἐκκενοῦν τῇ σφαγῇ τῶν ἀλόγων ζώων τὸ αἷμα, τοὺς τῶν κρεῶν αὐτῶν ἅπτεσθαι μέλλοντας· ἀπείρηται δὲ καὶ θηριάλωτον ἐσθίειν ἢ τεθνηκὸς, ἔτι δὲ καὶ διὰ τὴν λίχνον γαστέρα, αἷμα οἱουδήποτε ζώου, τέχνῃ τινὶ κατασκευάζειν ἐδώδιμον· εἰ γὰρ καὶ μετὰ τὸν κατακλυσμὸν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐπέτρεψε τῶν λαχάνων οὐχ ἧττον τὰ ἄλογα τῶν ζώων ποιεῖσθαι τροφὴν, ἀλλὰ κρέα ἐν αἵματι ψυχῆς ἐσθίειν ἀπείρηκε· τὸ γὰρ αἷμα, ψυχῆς ἐν τοῖς ἀλόγοις ἐπέχει δύναμιν. Διὰ τοῦτο καὶ οἱ Ἀπόστολοι ἐν ταῖς Πράξεσι, μετὰ τοῦ εἰδωλοθύτου καὶ τῆς πορνείας, καὶ ἀπὸ τοῦ πνικτοῦ παραφυλάττεσθαι νενομοθετήκασι τοὺς πιστούς· τοῖς δὲ ταύτην περὶ ἐλαχίστου τιθεμένοις τὴν ἐντολὴν, εἰς κληρικοὺς μὲν τελοῦσι, δίκην ἐπάγουσι τὴν καθαίρεσιν, ἀφορισμὸν δὲ τοῖς τοῦ λαοῦ. Οἵ γε μὴν Λατῖνοι, καὶ τῶν ἱερῶν τούτων κατολιγωροῦντες κανόνων, ἀδεῶς ἐσθίουσι τὰ πνικτά.

Νόμος.

Ἡ δὲ νη΄. νεαρὰ τοῦ βασιλέως Λέοντος διορίζεται, τοὺς μὲν πωλοῦντας ἢ ἐσθίοντας εἶδος οἱονδηποτοῦν μετέχον αἵματος, αἰκιζομένους δημεύεσθαι, καὶ διὰ τῆς ἐν χρῷ κουρᾶς ἀτιμοῦσθαι,

καὶ ἀειφυγίᾳ κατακρίνεσθαι· τοὺς δὲ μὴ τὰ τοιαῦτα ἐκδικοῦντας ἄρχοντας, δέκα λίτρας ζημιοῦσθαι χρυσίου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Περὶ ποινῶν.

Ζήτει ἐν τῷ ιϐ΄. Κεφαλαίῳ τοῦ Σ στοιχείου κανόνα έ. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου.

Νόμοι.

Οὐδεμίαν γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας δημοσίας ἢ ἰδιωτικῆς, ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε, ἢ εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν, ἢ δι' ἀνδρῶν φυλάττεσθαι, ἵνα μὴ διὰ τῶν τοιούτων ἀφορμῶν εὑρεθῶσι περὶ τὴν σωφροσύνην ἀτιμαζόμεναι· εἰ δὲ βαρύτατον εἴη τὸ ἔγκλημα, ἐφ' ᾧ κατηγορεῖται, εἰς μοναστήριον ἐμβαλλέσθω, ἢ γυναιξὶ παραδιδόσθω, ὥστε ἀσφαλῶς τηρεῖσθαι, ἕως οὗ τὸ πρᾶγμα φανερωθῇ 1).

Ἐὰν ἐπαγάγῃ ὁ βασιλεὺς τιμωρίαν τινὶ, μὴ κολαζέσθω παραχρῆμα ὁ καταδικασθείς, ἀλλ' ὑπερτιθέσθω λ΄. ἡμέρας ἡ κατ' αὐτοῦ τιμωρία· ἴσως γὰρ τεύξεται φιλανθρωπίας 2).

Τοὺς μηδὲν ἡμαρτηκότας παῖδας, τὰ τῶν πατέρων ἁμαρτήματα οὐ καταβλάπτει, οὐδὲ τοὺς πατέρας τὰ τῶν τέκνων· τὰ γὰρ ἁμαρτήματα τῇ κεφαλῇ ἔπονται 3).

Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τέμνεσθαι τὰς χεῖρας, ἢ τοὺς πόδας 4).

Ποινὴ μετάλλου ἐστὶ, τὸ καταδικασθῆναί τινα ἄσβεστον ποιεῖν, ἢ θεῖον ὀρύττειν 5).

Ζήτει καὶ ἐν τῷ θ΄. Κεφαλαίῳ τοῦ Μ στοιχείου· καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ Δ στοιχείου κανόνα ν΄. τῆς ἐν Καρθαγένῃ Συνόδου.

---

1) ζ΄. Βασ. ς΄, ιθ΄. — 2) νζ΄. Βασ. Ξ΄, νά. — 3) κδ΄. καὶ νθ΄, Βασ. Ξ΄, νά. — 4) θ΄. Βασ. ς΄, ιθ΄. — 5) ή, θ΄, ιϐ΄, Βασ. Ξ΄, νά.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ πορνείας.

Ζήτει ἐν τῷ ιδ' Κεφ. τοῦ Μ στοιχείου κανόνα δ'. τοῦ μεγάλου Γρηγορίου Νύσσης, ὅστις καὶ εἰς θ'. χρόνους τοὺς πόρνους ἐπιτιμᾶσθαι κελεύει.

Βασιλείου νθ', κέ. κς'. μθ'.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ νθ'. κανόνι, τὸν πόρνον μέχρις ἑπταετίας τῆς κοινωνίας ἀπείργει· εἰ γὰρ καὶ ἐν τῷ κβ'. κανόνι, ὃν καὶ ζήτει ἐν τῷ ιγ'. Κεφ. τοῦ Α στοιχείου, μετὰ τετραετίαν δοκεῖ λύειν τοῖς τοιούτοις τὸ ἐπιτίμιον, ἀλλ' οὐχὶ γνώμην οἰκείαν, τὴν δὲ τῶν πρὸ αὐτοῦ Πατέρων εἰσήνεγκε· τήν γε μὴν ἑπταετίαν, τῇ ἰδίᾳ κρίσει τούτων κατεψηφίσατο, βαρύτερον ἢ οἱ πρὸ αὐτοῦ τὴν πορνείαν κολάζων· ὥσπερ ἄρα καὶ ἕτερα τῶν παθῶν οὐκ ὀλίγα.

Περὶ δὲ τοῦ γυναικὶ συνοικοῦντος νομίμῳ καὶ πορνεύοντος, ζήτει ἐν τῷ ις'. Κεφαλαίῳ τοῦ Γ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου κα'.

Περὶ δὲ τοῦ γυναῖκα παρθένον φθείραντος βίᾳ, ζήτει τὸ λ'. Κεφ. τοῦ Γ στοιχείου.

Ὁ δὲ μέγας Βασίλειος ἐν κε'. κανόνι, Ὁ τὴν ἀμνήστευτον φθείρας παρθένον, φησὶ, καὶ μετὰ τὴν φθορὰν οἷα συζύγῳ χρώμενος, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται· τὴν δὲ γυναῖκα, τὴν μετ' αὐτοῦ συμβίωσιν αἱρουμένην, οὐκ ἀφαιρεθήσεται, εἴ γε καὶ οἱ γονεῖς τῆς κόρης δηλαδὴ καταδέχοιντο ἔτι οὔσης ὑπεξουσίου· ἐκείνων γὰρ μὴ ἀνεχομένων, ὁ φθείρας, κατὰ τοὺς πολιτικοὺς νόμους τιμωρηθήσεται, οὓς καὶ ζήτει κατὰ τὸ ῥηθὲν λ'. Κεφ. τοῦ Γ στοιχείου.

Ἐπὶ τριετίαν δὲ καὶ ὁ φθείρας ἐπιτιμᾶται, καὶ ἡ φθαρεῖσα, κατὰ τοὺς κειμένους τοῦ ἁγίου τούτου κανόνας ἐν τῷ ή Κεφ. τοῦ Γ στοιχείου· ἀκολούθως δὲ καὶ οὗτος τῷ Ἀποστολικῷ ζ'. κανόνι, ὃν καὶ ζήτει ἐν τῷ αὐτῷ λ'. Κεφ. τοῦ Ι στοιχείου, τὸν τὴν παρθένον φθείραντα, νομίμως ταύτῃ συνάπτεσθαι διορίζεται· ἴσως γὰρ εἰ μὴ τούτῳ συναφθείη, ἄτιμος περιλειφθήσεται, οὐδενὸς ταύτην αἱρουμένου πρὸς γάμον λαβεῖν.

Ἐν δὲ τῷ κς΄, Ἡ πορνεία γάμος οὐκ ἔστι, φησὶν, ἀλλ᾽ οὐδὲ γάμου ἀρχή· εἰ μὲν οὖν οἷόν τε τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· σαθρὸς γὰρ ὡς ἄθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος· εἰ δὲ στέργουσιν ἐκ παντὸς τρόπου καὶ ἄμφω τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται· ἢ γὰρ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, εἰς μοιχείαν ἐκκυλισθήσεται, τῷ πρώτῳ λάθρα συμφθειρομένη· ἢ στέργοντες ἀλλήλους διακαῶς, καὶ συνεῖναι κωλυόμενοι, ἑαυτοὺς διαχειρίσονται, τῷ κατ᾽ ἄκρας ἀλῶναι τῷ ἔρωτι, τὴν ἀπ᾽ ἀλλήλων μὴ ἐνεγκόντες διάζευξιν. Ζήτει καὶ τὸν π΄. τούτου κανόνα ἐν τῷ δ΄. Κεφαλαίῳ τοῦ Γ στοιχείου.

Νόμοι.

Ἀλλ᾽ ὁ νόμος, τὸν παλλακῇ σώφρονι χρώμενον, ἀναγκάζεσθαι κελεύει ταύτην καὶ νόμῳ γάμου λαβεῖν· τὴν δὲ καὶ ἑτέροις μιγνυμένην, καὶ μὴ τῷ ἑνὶ ἀρκουμένην προσώπῳ, καὶ τῆς οἰκίας τοῦ πορνεύοντος ἐξωθεῖσθαι 1).

Περὶ τῶν βίᾳ πορνευομένων γυναικῶν, καὶ μάλιστα τῶν αἰχμαλώτων.

Βασιλείου μθ΄.

Περὶ δὲ τῶν πορνευομένων ἐξ ἀνάγκης γυναικῶν, ὁ μέγας Βασίλειος ἐν μθ΄. κανόνι, Αἱ πρὸς ἀνάγκην, φησὶ, γενόμεναι φθοραὶ, ἀνεύθυνοι ἔστωσαν· ὥστε καὶ ἡ δούλη, εἰ παρὰ τοῦ ἰδίου δεσπότου βεβίασται, ἀνέγκλητος ἔστω· ὥσπερ δὴ καὶ ἡ ἐξ ἁρπαγῆς βιασθεῖσα, ἢ ἡ τοῖς πολεμίοις ληφθεῖσα, καὶ ὑπ᾽ ἐκείνων φθαρεῖσα· ἀλλὰ τῆς μὲν φθορᾶς ἕνεκεν ἐπιτιμᾶσθαι ταύτην οὐ δέον· εἰ δὲ διάκονος ἐτύγχανεν οὖσα, τοῦ διακονεῖν παύσεται· ἀλλ᾽ οὐδὲ τῷ ἱερωθήσεσθαι μέλλοντι, ἡ ὑπὸ τοιούτων ἐφθαρμένη, ἢ οἱουδήτινος ἄλλου, συναφθήσεται.

Γρηγορίου τοῦ Θαυματουργοῦ ά.

Ὁ δὲ ά. κανὼν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, Τῆς ὑπὸ βαρβάρων φθαρείσης, φησὶ, εἰ μὲν καὶ ὁ πρότερος βίος

1) Σύνοψ. ΚΗ, ιά.

κατέγνωστο, οὐδὲ δορυαλώτου γενομένης ἡ πορνικὴ ἕξις ἀνύποπτος, ταύτῃ τοι καὶ προχείρως οὐ δεῖ ταῖς τοιαύταις εὐχῶν κοινωνεῖν· εἰ δέ τις ἐν ἄκρᾳ ζήσασα σωφροσύνῃ, καὶ ὑπονοίας πάσης ἐλεύθερον τὸν πρότερον ἐπιδεδειγμένη βίον, νῦν ἐκ βίας καὶ ἀνάγκης περιπέπτωκεν ὕβρει, ἐλεεῖσθαι μᾶλλον, ἢ ἐγκαλεῖσθαι δικαία, κατὰ τὸ ἐν τῷ Δευτερονομίῳ παράδειγμα ἐπὶ τῇ νεάνιδι, ἣν ἐν τῷ πεδίῳ εὑρὼν ἄνθρωπος ἐβιάσατο· Τῇ νεάνιδι γάρ, φησὶν, οὐ ποιήσεται οὐδέν· οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου, ὅτι ὡς εἴτις ἀναστῇ ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσῃ αὐτόν· οὕτω καὶ τὸ πρᾶγμα τοῦτο· ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ 1)· πλὴν καὶ αὗται μετρίως ἐπιτιμηθήσονται, ὥς γε δὴ καὶ οἱ βρωμάτων ἀπειρημένων κατ' ἀνάγκην ἀπογευσάμενοι.

Νεοκαισαρείας ά.

Περὶ δὲ τῶν παρνείᾳ περιπεπτωκότων κληρικῶν, ταῦτα τοῖς κανόσι διείληπται.

Ὁ μὲν γὰρ ά. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου, τὸν μετὰ τὴν ἱερωσύνην, νομίμῳ δῆθεν γυναικὶ συναφθέντα, τῆς ἱερωσύνης ἀπογυμνοῖ· πορνεύσαντα δὲ ἢ μοιχεύσαντα, τελέως τῆς Ἐκκλησίας ἐξοστρακίζει, καὶ ἐν τοῖς τόποις ἵστησι τῶν μετανοούντων· ἀλλὰ τὸ ἐπιτιμᾶσθαι ταύτῃ τὸν πορνεύσαντα ἱερέα, οὔτε τοῖς Ἀποστολικοῖς, οὔτε τοῖς Πατρικοῖς κανόσι δοκεῖ, οὓς καὶ ζήτει ἐν τῷ ί. Κεφαλαίῳ τοῦ Δ στοιχείου.

Βασιλείου γ'.

Ὥσπερ δὴ καὶ ὁ γ'. τοῦ μεγάλου Βασιλείου κανων, τὸν πορνεύσαντα διάκονον, τῆς μὲν διακονίας ἐκβάλλει, καὶ εἰς τὸν τῶν λαϊκῶν ἀπωθεῖται τόπον· τῆς δὲ κοινωνίας οὐκ ἀπείργει τῶν ἁγιασμάτων· τοῦτο μέν, φησι, διὰ τὸν, Οὐκ ἐκδικήσεις, λέγοντα, δὶς ἐπὶ τὸ αὐτὸ, παλαιὸν νόμον· τοῦτο δὲ, καὶ διὰ τὸ μὴ ἔχειν ἔτι ἐλπίδα πρὸς τὸν πρότερον ἐπανιέναι βαθμόν· ὁ μὲν γὰρ λαϊκὸς ἐκπίπτων, μετὰ τὴν ἐντετυπωμένην ἐν τῇ μετανοίᾳ τοῦ χρόνου περίοδον, ἐπάνεισιν ὅθεν ἐξελήλυθεν· οὗτος

1) Δευτερ. ΚΒ', 26, 27.

δὲ ἅπαξ ἔσχε διαρκῆ τὴν καταδίκην τῆς καθαιρέσεως· καθόλου γε μὴν ἀληθὲς αὐτῷ ἴαμα πρὸς τὴν μέθεξιν τῶν ἁγιασμάτων, ἡ τῆς ἁμαρτίας ἀναχώρησις, διά τε συντριμμοῦ καρδίας, καὶ παιδαγωγίας τῆς σαρκός· εἰ γὰρ ἔτι πορνεύων οὐ πέπαυται, μὴ ὅτι τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν εἰς τὰς εὐχὰς συνελεύσεως ἐκβληθήσεται, καὶ ἐπιτιμίοις ὥσπερ οἱ τοῦ λαοῦ καθυποβληθήσεται.

Βασιλείου μδ'.

Ὁ δὲ μδ'. γυναῖκα διάκονον Ἕλληνι συμπορνεύσασαν, τῆς μὲν ἀξίας καθαιρεῖ, κοινωνεῖν δὲ τῷ λαῷ στάσεως καὶ εὐχῶν οὐκ ἀπείργει· τῷ δὲ ζ'. ἔτει τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀξιοῦσθαι κελεύει, εἴ γε ἐν ἁγνείᾳ βιώη, καὶ σωφροσύνῃ· τῇ πίστει δὲ προσιόντι τῷ Ἕλληνι, καὶ ταύτην εἰς γάμου συνάφειαν αἰτουμένῳ, οὐκ οἴεται δεῖν ἐκδιδόναι, ἱεροσυλίαν σαφῆ λογιζόμενος, τὸ ἅπαξ ἀφιερωθὲν τῷ Θεῷ σῶμα, εἰς χρῆσιν σαρκικῆς ὑπάρχειν ἐπιθυμίας· ἐντεῦθεν τοῖς ὀρθῶς σκοποῦσιν οὐκ ἄδηλον, ὡς οὐδὲ κληρικοὺς μετασχηματιζομένους, ἢ μοναχοὺς, γυναιξὶ συνάπτεσθαι θεμιτόν· οὐ μὴν οὐδὲ τὰς τῶν ἱερέων γυναῖκας ὅσιον, δευτέροις γάμοις προσομιλεῖν, ἓν σῶμα τῇ πρὸς τοὺς ἱερέας συναφείᾳ γεγενημένας.

Ζήτει καὶ τὸ κέ. Κεφ. τοῦ Χ στοιχείου, καὶ ἐν τῷ δ'. Κεφ. τοῦ Γ στοιχείου κανόνας τῶν ἁγίων Ἀποστόλων ιζ'. καὶ ιή. καὶ τὸν ξά. ἐν τῷ ιδ'. Κεφ. τοῦ Μ στοιχείου· καὶ ἐν τῷ θ'. Κεφ. τοῦ Γ στοιχείου κανόνα κζ'. τοῦ μεγάλου Βασιλείου, καὶ τῆς ς'. Συνόδου κς'. καὶ ἐν τῷ ιέ. Κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου ξθ'.

Περὶ δὲ τῶν πορνευσάντων μοναχῶν, ζήτει καὶ τὸ ιέ. Κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Περὶ τοῦ πορνεῦσαι ἐπιθυμήσαντος, καὶ μὴ πράξαντος.

Ἔθος γε μὴν ἀρχαῖόν ἐστι τῇ κακίᾳ, μὴ ἀθρόον ἡμῖν, μηδὲ ἀπὸ τοῦ πρώτου παραστάντος ἐπιστρατεύειν τὰ πάθη, ἀλλὰ

τέχνῃ τινὶ καὶ περινοίᾳ σοφιστικῇ τὸ τῆς ἀπωλείας ἡμῖν βάραθρον κατὰ μικρὸν ὑπορύττειν. Ταύτῃ τοι καὶ τοῖς λογισμοῖς ἠπίως τῷ δοκεῖν καὶ ἱλαρῶς ἐπιμίγνυσθαι, προτέραν τινὶ λεγομένην ἐφίησι προσβολὴν τῷ ἐπαγωγῷ τοῦ δεικνυμένου ἰνδάλματος, ὑποφθεῖραι τούτους ἐπιβούλως μηχανωμένη, καὶ τὰς τῶν ἡδονῶν ἀρχὰς, ὡς ψιλὰς ἐννοίας, καὶ μηδὲν πλέον, τά γε εἰς βλάβος ἐχούσας, ἀδεῶς εἰσδέξασθαι πείθουσα· κρύπτει γὰρ τὸ τῆς ἁμαρτίας ἄγκιστρον, τῷ τῆς ἡδονῆς δελέατι, ὡς ἂν τούτῳ περιχανόντες, ἐκείνῳ περιπαρῶσι, κἀντεῦθεν λαβοῦσα ὑποχειρίους, ὅσα καὶ ὑπηρέταις αὐτοῖς χρήσηται· εἴθε μὲν οὖν μὴ καὶ συμμάχους ἐκλάμβανε κατὰ τῆς ψυχῆς, τοὺς διέπειν φεῦ! καὶ φρουρεῖν αὐτὴν ἐπιτετραμμένους· εἰ γὰρ γυμνωθείη τῆς ἐκ τῶν λογισμῶν συμμαχίας ἡ καθ' ἡμῶν ὀργῶσα κακία, εἰς μάτην αὐτῇ τὰ τῆς ἐνέδρας ἔσται καὶ μαγγανείας, μὴ πεφυκυῖα μόνη πάθος δημιουργῆσαι, καὶ εἰς ἔργον προενεγκεῖν, τὸ πομφόλυγος δίκην ὁμοῦ τε φαινόμενον, καὶ εὐθὺς ἀπολλύμενον καὶ διαλυόμενον, νεκρᾶς ὂν ἀτεχνῶς, ὡς εἰπεῖν, καὶ ἀνυπάρκτου φύσεως· ἀλλὰ τὸ εἶναι καὶ τὸ ζῆν πρὸς τῶν ἡμετέρων δανειζόμενον λογισμῶν, νεκροῖ τοὺς τὸ ζῆν διδόντας αὐτῷ· τοιαῦτα γὰρ τὰ τῶν παθῶν τῆς κακίας ἐπίχειρα· αὕτη τοίνυν ἡ προσβολὴ ὡς ἥκιστα τῆς ἡμῶν προαιρέσεως ἠρτημένη, ἔγκλημα ἡμῖν οὐχ οἷά τε προστρίψασθαι. Ὁ συνδυασμὸς ἔπεισι δεύτερος, ὃν ἠρέμα καὶ κατ' ὀλίγον τὸ τῆς προσβολῆς θαμινὸν εἰώθει ἀπογεννᾶν, ἐμπαθῶς ἢ καὶ ἀπαθῶς τοῦ λογισμοῦ συλλαλοῦντος τῷ προσβαλόντι· τοῦτο τίς ἂν ἰσχυρίσαιτο μὴ ζημίαν εἶναι ψυχῆς λογικῆς, τῆς τοῦ Θεοῦ ἐννοίας περὶ πλείονος τῶν λογισμῶν αὐτῆς ποιουμένων τὴν περὶ τὰ τοιαῦτα σχολήν; Ἡ συγκατάθεσις ἐφίσταται τρίτη, νεῦσιν καὶ τῆς ψυχῆς κατηγοροῦσα πρὸς τὸ πάθος ἐνήδονον, ἣν καὶ ὡς γραμματεῖον ἥδη δεξαμένη ἀπόῤῥητον, ἡ αἰχμαλωσία κατὰ πόδας τετάρτη κατεξανίσταται, τὴν ἀρίστην ἡμῶν ἀχρειοῦσα κατάστασιν, τῆς καρδίας ἥδη περιγενομένη, καὶ δρέπεσθαι πείθουσα τὴν ἀπατηλὴν βλάστην 1) τῆς φαντασίας. Εἰ δὲ καὶ τῷ καιρῷ τῆς προσευχῆς εἰσφθαρείη,

1) βλάβην B.

οὐδὲν ἀπόνασθαι ταύτης ἐᾷ, καὶ μάλιστα πονηροῖς ἐνθυμήμασιν αἱρουμένους ἐγκαλινδεῖσθαι· συνέντες δὲ ἢ κακοῦ γεγόναμεν, διὰ πάλης περιγενέσθαι τοῦ πτερνίσαι πειρωμένου πειρώμεθα· καὶ δυοῖν θάτερον, ἢ σφοδρότερον πνεύσαντες ἐκρατήσαμεν θειοτέρᾳ ῥοπῇ, ἢ χαυνωθέντες, καὶ τὰ νῶτα δόντες, ἀγόμεθα καὶ φερόμεθα· οὕτω δὲ τὰ τῆς πονηρίας πνεύματα συχνῷ χρόνῳ τῇ ψυχῇ παραμείναντα, καὶ εἰς τὴν σφῶν αὐτῶν ἕξιν αὐτὴν μεταθέμενα, τελευτῶντα, τὸ λεγόμενον πάθος, ὡσανεὶ τρόπαιον, πήγνυσι, καὶ στήλην ἐν τῇ καρδίᾳ τῇ μνήμῃ τρεφόμενον, καὶ τῇ συνηθείᾳ διατηρούμενον, καὶ τὴν ψυχὴν παρασκευάζον περὶ παντὸς ποιεῖσθαι πᾶσαν αἰσχρότητα.

Νεοκαισαρείας δ', θ', ί.

Διὰ δὴ τοῦτο καὶ ὁ τέταρτος τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανὼν, τὸν ἐπιθυμήσαντα γυναικὸς, καὶ συγκαθευδῆσαι ταύτῃ προθέμενον, εἰς ἔργον δὲ μὴ προβεβηκυίας τῆς ἐνθυμήσεως, ὑπὸ τῆς χάριτος ῥυσθῆναι διϊσχυρίζεται, πλὴν καὶ τοῦτον καλὸν ἂν εἴη μετρίως ἐπιτιμᾶσθαι, κατὰ τὸν ὁ. τοῦ μεγάλου Βασιλείου κανόνα· φησὶ γάρ· Τὸν ἐν χείλεσι μιανθέντα διάκονον, καὶ μέχρι φιλήματος ἡμαρτηκέναι ὁμολογήσαντα, τῆς μὲν λειτουργίας ἄχρι τινὸς ἐπισχεθῆναι χρή· τῶν δὲ ἁγιασμάτων σὺν τοῖς διακόνοις μεταλαμβάνειν· ὡσαύτως καὶ πρεσβύτερον· τὸν δέ τι πλέον φωραθέντα ἡμαρτηκέναι, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεῖσθαι.

Ἕπεται τούτοις καὶ ὁ θ'. προσέτι καὶ ὁ ί. τῆς αὐτῆς ἐν Νεοκαισαρείᾳ Συνόδου, τὰ μὲν πρὸ τῆς πορνείας λέγοντες ἁμαρτήματα, ἅπερ ἐν ἐπαφαῖς καὶ φιλήμασι, καὶ ἑτέροις δή τισι θεωροῦνται τοιούτοις, λόγος αἱρεῖ παρὰ τοῖς πολλοῖς διαλύεσθαι τῇ χειροθεσίᾳ· εἰ μέντοι πρὸ τῆς χειροτονίας πορνείας ἥλω πρεσβύτερος ἢ διάκονος, καὶ τῷ συνειδότι κρουόμενος ὁμολογήσειε τὸ πρὸ τῆς χειροτονίας ἁμάρτημα, τοῦ μὲν ἱερουργεῖν εἰρχθήσεται· ἀρετῆς δὲ μεταποιούμενος, τῶν λοιπῶν τῆς ἱερωσύνης πρεσβείων οὐκ ἐκβληθήσεται· μήτε δὲ αὐτὸς ὁμολογῶν, μήτε μὴν προφανῶς ἐλεγχόμενος, ἐπ' ἐκείνῳ δέον τὴν ἐξουσίαν ποιεῖσθαι, ἢ παύσασθαι εἴ γε ἥμαρτεν, ἢ ἐνεργεῖν, εἰ μηδὲν

ἑαυτῷ σύνοιδεν· ἐλεγχθεὶς δὲ ὑπὸ πέντε μαρτύρων, ὅρκῳ τὴν κατηγορίαν βεβαιωσαμένων, πρὸς τῇ καθαιρέσει καὶ τῶν γερῶν τῆς ἱερωσύνης ζημιωθήσεται, εἰς λαϊκοῦ διωθούμενος τόπον.

Ὁ δὲ Θεόφιλος Ἀλεξανδρείας, ἐν τῷ ἑ. κανόνι, ἀναγνώστην πορνείαν φυγόντα, εἰ γενομένης ἀκριβοῦς ἐξετάσεως φανερῶς ἐλεγχθείη, τοῦ κλήρου, φησὶν, ἐκβάλλεσθαι χρή· ἐν τῷ κλήρῳ δὲ μένειν μὴ ἐλεγχθέντα· οὐ γὰρ δεῖ ταῖς ματαίαις προσέχειν διαβολαῖς.

Νόμος.

Φησὶ δὲ καὶ ὁ νόμος· Κρεῖσσον τὰ ἁμαρτήματα καταλιμπάνειν ἀνεκδίκητα, ἢ τινας ἀναιτίως κολάζεσθαι

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Περὶ πορνοβοσκῶν.

Συνόδου ἕκτης πτ΄.

Ὁ πτ΄. τῆς ς΄. Συνόδου κανὼν, τοὺς ἐπ' ὀλίσθῳ ψυχῶν πόρνας συνάγοντας, καὶ ἐκτρέφοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ· πρὸς ταύτῃ, κελεύει καὶ ἀφορίζεσθαι, διπλῆν τούτοις ἐπάγων τὴν ἐπεξέλευσιν· λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Νόμοι.

Ὁ εἰδὼς πορνεύεσθαι τὴν ἑαυτοῦ γυναῖκα, καὶ σιωπῶν, πορνοβοσκός ἐστιν 1).

Οἱ ἐκ πορνείας γεγεννημένοι, οὐ μόνον τῆς μητρὸς, ἀλλὰ καὶ τῶν ἐκ μητρὸς συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται· ἡ δὲ ἰλλουστρία νομίμους ἔχουσα παῖδας καὶ πορνογενεῖς, οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογενέσιν, οὔτε ζῶσα, οὔτε τελευτῶσα 2).

Ἡ τοῦ πορνογενοῦς κληρονομία οὐκ ἀνήκει τοῖς πρὸς πατρὸς συγγενέσιν, οὐ γὰρ λέγεται ἔχειν πατέρα, τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς· οἱ δὲ περὶ γάμων νόμοι, καὶ

1) β΄. Θέμ. β΄. καὶ θ΄. προοίμ. Πανδ. ΜΙΙ. Ἐ. — 2) θ΄. καὶ ιγ΄. Βασ. ΜΕ. β΄. καὶ μβ΄. Βασ. ΜΕ. ά.

οἱ κανόνες ἐπιγινώσκουσι καὶ τὴν ἐκ πορνείας συγγένειαν, καὶ συναπτομένους τοὺς ἐκ πορνείας συγγενεῖς, ὡς τοὺς ἐξ ἐννόμων γάμων αἱμομιξίᾳ περιπεσόντας κολάζουσιν 1).

Ὁ μέντοι παλλακισμὸς νόμιμός ἐστιν· ὁ γὰρ γυναῖκα σεμνὴν παλλακευόμενος, καὶ ποιῶν ἐν ἐκμαρτυρίᾳ τοῦτο κατάδηλον, ὡς γαμετὴν αὐτὴν ἔχειν δοκεῖ· εἰ δ' οὖν, ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ 2).

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Περὶ πρεσβείων καὶ προνομίων, ὧν ἔχουσιν οἱ ἀρχιερεῖς καὶ αἱ Ἐκκλησίαι· καὶ περὶ τῶν παροικιῶν αὐτῶν.

Ζήτει τὸ ιά. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ ὧν ἔχουσιν οἱ πρεσβύτεροι δικαίων.

Ζήτει τὸ θ΄. Κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ προικῴων πραγμάτων.

Νόμοι.

Ἡ διατετιμημένη προὶξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν τὴν ἐσθῆτα ἡ γυνὴ κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι· τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ· καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει 3).

Τὰ ἐπαγγελθέντα χάριν προικὸς, εἰ μὴ ἐντὸς δύο ἐτῶν κατα-

1) θ΄. Βασ. ΜΕ. 6΄. καὶ 6΄. Βασ. ΚΗ. ε. — 2) Σύν. ΚΗ΄, σελ. 273. — β΄. Βασ. ξ΄. λζ΄. — 3) Πρ. Ν. Η΄, α΄, β΄.

βληθεῖεν, ἀπαιτοῦνται καὶ οἱ τόκοι αὐτῶν ἀπὸ τρίτης ἑκατοστῆς 1).

Ἀπορροῦντος τοῦ ἀνδρὸς ἐν συνεστῶτι τῷ γάμῳ, δύναται ἡ γυνὴ παρακρατεῖν τὰ πράγματα αὐτοῦ εἰς τὴν ἰδίαν προῖκα, προτιμωμένη παντὸς δανειστοῦ καὶ ὑποθήκην ἔχοντος· πλὴν οὐ δύναται ἐκποιεῖν ἃ παρακρατεῖ· ἐπειδὴ ὀφείλει ἐξ αὐτῶν ἀποτρέφειν ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τὰ τέκνα αὐτῆς 2).

Οὐ κατέχεται ἡ γυνὴ ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων, κἂν ἐγγυήσηται αὐτόν· καὶ οὐδὲ δημευομένου τοῦ ἀνδρὸς συναπάγονται τὰ πράγματα τῆς γυναικός· οὐδὲ τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις 3).

Ὁ ἀνὴρ, καὶ ἄπορος ὢν, πᾶσαν τὴν προῖκα χρεωστεῖ 4).

Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ, καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἢν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτῶν καταδικάζονται 5).

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστιν· ἐὰν δὲ γένηται σύμφωνον ἐξ ἀρχῆς, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, καὶ εἰ παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προῖξ, ἔρρωται τὸ σύμφωνον, καὶ ἀποκλείεται ὁ πατήρ 6).

Ἐὰν ὁ πατὴρ οὕτως ἐστὶν αἰσχρὸς, ὥστε δέος εἶναι, μήποτε λαβὼν τὴν προῖκα δαπανήσῃ, ἀρνεῖται αὐτῷ ἡ ἀγωγή· καὶ ὁ δικαστὴς προνοεῖ αὐτοῦ καὶ τῆς θυγατρός 7).

Εἰ παίδων ὑπόντων, δεήσει τὸν ἐμμείναντα μετὰ τελευτὴν τῆς συζύγου αὐτοῦ, ἄνευ τοῦ περιελθεῖν εἰς ἕτερον συνοικέσιον, τῆς τῶν οἰκείων τέκνων συνδιαγωγῆς χωρισθῆναι, μετὰ τὸ ἀπολαβεῖν ἐντελῆ τὰ ἴδια πράγματα, δεῖ λαμβάνειν αὐτὸν καὶ ἑνὸς παιδὸς μοῖραν κατὰ τὸν ἀριθμὸν τῶν τέκνων, τεκνοτροφίας τε ἕνεκα, καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον αἰδοῦς καὶ τιμῆς 8).

Εἴ τι ὁ ἀνὴρ ἐδαπάνησε πρὸς τὴν γαμετὴν αὐτοῦ νοσοῦσαν,

1) Ἀρμ. Δ', Ι', 22. — 2) ρις'. Βασ. ΚΘ', α'. — 3) ά, β', γ'. Βασ. ΚΑ', δ', καὶ Σύν. Ζ'. σελ. 54. 4) Πρ. Ν. Θ', β'. 5) Πρ. Ν. Θ', δ'. — 6) αὐτ. θ'. — αὐτ. καὶ ί. — 7) εά. Βασ. ΚΗ, ή. — 8) Ἐκλογ. Β', ζ'.

μετὰ τὸν αὐτῆς θάνατον οὐ δύναται ἀπαιτεῖν τὸν πενθερὸν αὐτοῦ, πρὸς ὃν ἡ προῖξ τῆς θυγατρὸς αὐτοῦ ἐπανήξει, ἀλλὰ τῇ διαθέσει αὐτοῦ ὀφείλει λογίζεσθαι· ὅσα δὲ εἰς τὴν ταφὴν ἀνάλωσεν, ὁ πατὴρ δίδωσι πρὸς ὃν ἡ προῖξ ἐπανῆλθεν 1).

Ὁ τοῦ γήμαντος ὑπεξουσίου πατὴρ, καὶ αὐτὸν ἀναγκάζεται τρέφειν, καὶ τὴν γαμετὴν αὐτοῦ· αὐτὸς γὰρ ὑπόκειται τοῖς βάρεσι τοῦ γάμου τοῦ υἱοῦ αὐτοῦ 2).

Ζήτει τὸ β'. Κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ προδοτῶν.

Γρηγορίου τοῦ Θαυματουργοῦ θ'.

Ὁ θ'. κανὼν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, Ὅσοι, φησὶν, αἰχμάλωτοι τοῖς βαρβάροις γεγόνασι, καὶ τῇ σφῶν δυσσεβείᾳ συναπαχθέντες, τοσοῦτον ταύτης μετέσχον, ὥστε καὶ λήθην λαβόντες τοῦ εἶναι Χριστιανοὺς, ἐνίους τῶν ὁμοφύλων ξύλῳ ἢ ἀγχόνῃ ἐφόνευσαν, καὶ ὁδοὺς ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρβάροις ὑπέδειξαν, καὶ τῆς ἀκροάσεως ἐκβληθήτωσαν, μέχρις ἂν συνελθοῦσι τοῖς ἁγίοις, κοινῇ περὶ αὐτῶν τι δόξῃ, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι.

Νόμοι.

Ὁ ἐρεθίζων πολεμίους, ἢ προδιδοὺς πολεμίοις Ῥωμαίους, κεφαλικῶς τιμωρεῖται 3)· οἱ δὲ κατὰ χέρσον, ἢ θάλασσαν τοῖς λῃστεύουσι συλλῃστεύσαντες, τῶν φανερῶν πολεμίων μᾶλλον κολάζονται, ὅσῳ καὶ τοῦ φανεροῦ πολέμου ἡ ἀφανὴς ἐπιβουλὴ χαλεπωτέρα καθέστηκε.

Τοὺς ἐκ τῶν Ῥωμαϊκῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας, ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν 4).

Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως ἢ τῆς πολιτείας μηχανησάμενος, ἢ μελετήσας, φονεύεται καὶ δημεύεται 5).

---

1) κή. Πανδ. ΙΑ, ζ'. — 2) κ'. Θέμ. 6'. Πανδ. Ι, 6'. — 3) γ'. Βασ. ξ', λς'. — 4) Πρ. Ν. λθ', γ'. — 5) αὐτόθι ί.

Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες, καὶ τὰς ἡμετέρας βουλὰς ἀπαγγέλλοντες, ἀπαγχονίζονται. 1)

Ζήτει τὸ ιά. Κεφάλαιον τοῦ Σ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ρ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν ἐκ φύσει ἀπροαιρέτῳ γινομένων ἀνδρῶν τε καὶ γυναικῶν.

Ζήτει τὸ ις΄. Κεφ. τοῦ Α στοιχείου καὶ τὸ κή. Κεφ. τοῦ Κ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Σ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ὅτι τοῖς σάββασιν οὐ δεῖ νηστεύειν.

Ζήτει ἐν τῷ λζ΄. Κεφαλαίῳ τοῦ Κ στοιχείου, κανόνα τῶν ἁγίων Ἀποστόλων ξς΄. καὶ τῆς ς΄. Συνόδου νέ. καὶ τῷ λέ. Κεφ. τοῦ Ε στοιχείου, τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνα ις΄. καὶ ἐν τῷ έ. Κεφ. τοῦ Τ στοιχείου κανόνα νέ. τῆς ς΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ σκηνικῶν.

Ζήτει ἐν τῷ ά. Κεφ. τοῦ Θ στοιχείου κανόνα τῆς ς΄. Συνόδου· καὶ ἐν τῷ ζ΄. Κεφ. τοῦ Μ στοιχείου κανόνα μς΄. τῆς ἐν Καρθαγένῃ Συνόδου.

Ζήτει καὶ τὸ ιά. Κεφ. τοῦ Μ στοιχείου.

1) Πρ. Ν. Αθ΄, ιζ΄.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι σταυρὸν ἐν ἐδάφει γράφειν οὐ δεῖ, ἀλλὰ καὶ τοὺς ὄντας ἀπαλείφειν.

Συνόδου ἕκτης οἰκ'.

Ὁ οἰκ'. τῆς ς'. Συνόδου κανὼν, τὸν τοῦ τιμίου σταυροῦ τύπον ἐν ἐδάφει γράφειν ἀπείρηκεν, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἤδη γραφέντας διαγράφειν ἀνενδοιάστως ἐπισκήπτει καὶ ἐξαλείφειν, ὡς ἂν μὴ συμπατούμενον τοῖς βαδίζουσιν, ἐφυβρίζοιτο τὸ σωτήριον τῆς ἡμῶν νίκης τρόπαιον· τὸ καὶ διανοίᾳ αἰδοῖ τῇ πάσῃ τιμώμενον, καὶ λόγῳ διαφερόντως θαυμαζόμενον, καὶ αἰσθήσει πρακτικῶς 1) προσκυνούμενον.

Νόμος.

Μηδεὶς ἐν ἐδάφει, ἢ ἐν μαρμάρῳ, ἐπὶ ἐδάφους κειμένῳ, ἢ ἐν μυλίτῃ λίθῳ σταυρὸν ἐγγλυφέτω· καὶ οἱ ὄντες ἐν τούτοις περιαιρείσθωσαν· ὁ δὲ παραβαίνων τὸν νόμον, τὴν βαρυτάτην ὑπομενέτω ποινήν 2).

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ συμβολαίων καὶ συμφώνων.

Νόμοι.

Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγὰς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές 3).

Τὰ χωρὶς δόλου σύμφωνα καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα ἔῤῥωται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ συμποσίων.

Λαοδικείας νέ, κζ',

Τῷ νέ. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνι, κληρικοὺς ἢ λαϊ-

1) πραγματικῶς Β. — 2) ιά. Βασ. Α, ά. — 3) ξ', Βασ. ΚΒ'. ά.

κοὺς συμπόσια ποιεῖν ἐξ ἐράνου καὶ συμβολῆς ἀπείρηται· ταῦτα γὰρ, ὡς ἐπίπαν, οὐδενός εἰσιν ἀγαθοῦ, ὅτι μὴ καὶ πάσης αἰσχρότητος πλέα 1).

Ὁ δὲ κζ΄. ταύτης, ἐν ταῖς λεγομέναις ἀγάπαις τῶν συμποσίων, μέρη αἴρειν, καὶ οἴκαδε κομίζειν τοὺς τοῦ κλήρου ἀπείρηκε· λιχνείαν γὰρ τοῦτο καὶ μοχθηρίαν τῶν δρώντων κατηγορεῖ, ὡς ἐντεῦθεν τὴν τῆς Ἐκκλησίας κατάστασιν ἐξυβρίζεσθαι.

Ζήτει καὶ τὸ γ΄. Κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ς΄.

Περὶ τῶν τὰς συνάξεις τὰς ἱερὰς ἀποστρεφομένων.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Β στοιχείου κανόνα έ. καὶ ς΄. τῆς ἐν Γάγγρᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τῶν συνεισάκτους γυναῖκας ἐχόντων κληρικῶν.

Ζήτει τὸ ιθ΄. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τῶν συνεπισταμένων κληρικοῖς ἁμαρτήματα, καὶ μὴ ὁμολογούντων.

Βασιλείου οά.

Ὁ οά. τοῦ μεγάλου Βασιλείου κανὼν, Ὁ ἁμαρτήματι συνεγνωκώς, φησί, τινι, καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθεὶς, ἐπὶ τοσοῦτον χρόνον, ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ· οὐκ ἦν δὲ ἄρα τῷ ἁγίῳ πρὸς τρόπου τὸν μόνην εἴδησιν ἔχοντα, καὶ μὴ ἀρκοῦντα κωλύσαι, τιμωρεῖσθαι, τὸν δέ γε συναράμενον καὶ συμβουλεύσαντα, καὶ δυνάμενον ἐπισχεῖν, εἴπερ ἐβούλετο· καὶ ὁ προφήτης γὰρ, οὐχ ἁπλῶς

1) ζ΄. Βασ. ΙΔ΄, ά.

κολάζεσθαι ἀξιοῖ τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα τῷ κλέπτῃ, καὶ συναιρόμενον, καὶ τὸν συμμεριζόμενον τῇ κοινωνίᾳ τῷ μοιχῷ τὸ ἁμάρτημα· πανταχοῦ δὲ ἡ μὲν ἐξομολόγησις τῆς κολάσεως ἀφαιρεῖται τὸ πλεῖστον· ὁ δὲ ἔλεγχος χαλεπωτέραν ταύτην ἐργάζεται.

Ζήτει καὶ ἐν τῷ θ'. Κεφ. τοῦ Γ στοιχείου κανόνα κέ. τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

Νόμοι.

Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήματι ἐν εἰδήσει, τὴν αὐτὴν ὑφίσταται τιμωρίαν· ὁ δὲ λῃστὰς ὑποδεξάμενος καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ, δημεύεται, ἢ τιμωρεῖται, κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνίδῃ 1).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ Συνόδων τῶν ἐτησίως γινομένων.

Ἀποστόλων λζ'.

Ὁ λζ'. τῶν Ἀποστόλων κανὼν, δὶς τοῦ ἔτους Σύνοδον κελεύει ποιεῖν τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους τῷ οἰκείῳ συνιόντας μητροπολίτῃ· ἅπαξ μὲν, τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδι, δεύτερον δὲ, φθινούσης ἤδη τῆς ὥρας, τῇ ιϐ'. τοῦ ὑπερβερεταίου, ἤτοι τοῦ Ὀκτωβρίου· ἐφ' ᾧ πᾶσαν ἀμφιβολίαν περί τε δογμάτων, καὶ γραφικῶν ζητημάτων, καὶ ἐκκλησιαστικῶν ὑποθέσεων λύεσθαι, καὶ μέν τοι καὶ διαφορὰς ἔστιν ὧν πρὸς ἀλλήλους, καὶ δίκας, καὶ ἔριδας.

Ἀντιοχείας κ'.

Τούτῳ καὶ ὁ κ'. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου πρὸς λέξιν σχεδὸν ἕπεται· μὴ ἐξεῖναι δὲ προστίθησιν ἐνίοις καθ' ἑαυτοὺς Συνόδους ποιεῖν, μὴ παρόντος τοῦ τῆς ἐπαρχίας μητροπολίτου· τότε γὰρ τελεία γίνεται Σύνοδος, ὅτε καὶ ὁ μητροπολίτης σύνεστι τοῖς λοιποῖς.

1) γ'. Βασ. Ξ', κζ'.

Συνόδου πρώτης έ.

Ἀλλὰ καὶ ὁ έ. τῆς ά. Συνόδου κανὼν, φθινούσης μὲν ὥρας κατὰ τὸν Ὀκτώβριον, κελεύει τὴν μίαν τῶν Συνόδων ἀθροίζεσθαι· τὴν δὲ ἑτέραν, οὐκ ἐν τῇ Πεντηκοστῇ, ἀλλὰ πρὸ τῆς τεσσαρακοστῆς συνεστάναι· ὡς ἂν, πάσης ἀηδίας καὶ μικροψυχίας τῆς πρὸς ἀλλήλους περιαιρεθείσης, καθαροὶ τῷ φύσει καθαρῷ τὸ τῆς νηστείας προσενέγκοιεν δῶρον.

Συνόδου τετάρτης ιθ'.

Ὁ δὲ ιθ'. τῆς δ'. Συνόδου, ἐν καλῷ οἴεται κεῖσθαι τοὺς ἐπισκόπους δὶς τοῦ ἔτους Συνόδους ποιεῖν, ἔνθα ἂν ὁ τῆς ἐπαρχίας δοκιμάσῃ μητροπολίτης, ἐπ' ἐνίων ἐκκλησιαστικῶν διορθώσει πραγμάτων· τοὺς δὲ μὴ συνιόντας τῶν ἐπισκόπων, ὑγιῶς τοῦ σώματος ἔχοντας, καὶ ταῖς αὐτῶν ἐπιχωριάζοντας πόλεσι, μηδέ τινος ἑτέρου ἀναγκαίου πράγματος εἴργοντος, ἀδελφικῶς ἐπιπλήττεσθαι.

Συνόδου ἕκτης ή.

Ὁ δὲ τῆς ς'. Συνόδου ή. τοῦτον μὲν ὡς ἔχει λέξεως δίεισι, νομοθετεῖ δὲ, ἅπαξ τοῦ ἔτους καὶ μὴ δὶς Σύνοδον γίνεσθαι, καιρὸν ὁρίσας τὸν ἀπὸ τοῦ Πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου, διά τε τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὰς προσπιπτούσας ἑτέρας αἰτίας, αἳ δυσχερεῖς ποιοῦσι τοῖς ἐπισκόποις τὰς συνεχεῖς ἀποδημίας.

Συνόδου ἑβδόμης ς'.

Τοῦτον αὖθις ὁ ς'. ἐπικυρῶν καὶ τῆς ζ'. Συνόδου, ἀφορίζεσθαι ἀξιοῖ, εἴ τις ἄρχων εὑρεθείη εἴργων τινὰ τῶν εἰς τὴν Σύνοδον ἀπιόντων ἐπισκόπων· συνιοῦσι δὲ τούτοις, προῦργου, φησὶ, μελέτω, ὥστε τὰς τοῦ Εὐαγγελίου ἐντολὰς, καὶ τὰς τῶν κανόνων μετιέναι διδάσκειν τοὺς ὑπὸ χεῖρα· εἴ τινα δὲ τῶν συνεληλυθότων ἐπισκόπων, κτῆνος, ἢ ἕτερον εἶδος, ὁ μητροπολίτης ἀπαιτήσας ἄκοντα ἐλεγχθείη, τετραπλάσιον ἀποτισάτω.

Λαοδικείας μ'.

Καὶ ὁ μ'. τῆς ἐν Λαοδικείᾳ πολλῆς ἀξιοῖ φροντίδος τὸ καθ' ἑκάστην ἐπαρχίαν ἐτησίως Σύνοδον γίνεσθαι· διὸ καὶ τοὺς ἐπι-

τκόπους εἰς ταύτην καλουμένους οὐκ ἀναδύεσθαι, ἀλλ' ἀμελητὶ ἀπιέναι προστάττει· καὶ ἢ τοὺς σοφωτέρους, ἅττα ἴσασι διδάσκειν, ἢ τοὺς ἁπλουστέρους, ἅπερ ἀγνοοῦσι μανθάνειν· οὕτω γὰρ κατορθοῦσθαι τὴν Ἐκκλησίαν καὶ ἐπιδιδόναι συμβαίνει, περί τε τὰ ὀρθὰ τῆς πίστεως δόγματα, καὶ τὰς τὸν βίον ῥυθμιζούσας ἐντολάς· ὁ δὲ καταφρονῶν, ἑαυτὸν ἐπιτιμηθεὶς αἰτιάσθω, εἰ μή τινι ἀνωμαλίᾳ ἢ τοῦ σώματος ἢ τῶν πραγμάτων ἐμποδισθείη.

Καρθαγένης ιθ', ογ', ος', ϟζ'.

Καὶ ὁ ιθ'. τῆς ἐν Καρθαγένῃ, Σύνοδον τοῖς ἐπισκόποις κατ' ἐνιαυτὸν ἐπισκήπτει ποιεῖν· ἀλλὰ δὴ καὶ ὁ ογ'. ὃν καὶ ζήτει ἐν τῷ ζ'. Κεφαλαίῳ τοῦ Π στοιχείου.

Τούτοις δὲ καὶ ὁ ος'. ἐπιψηφίζεται, τὰς αὐτὰς τοῖς ῥηθεῖσι κανόσιν αἰτίας ἐπεξιών· τὸν δὲ μὴ πειθόμενον, τῆς μὲν τῶν ἄλλων ἀφίστασθαι κοινωνίας κελεύει, μόνῃ δὲ τῇ τῆς ἰδίας Ἐκκλησίας ἀρκεῖσθαι.

Ἀλλὰ τῷ ϟζ'. κανόνι, οὐ τῶν ἀναγκαίων εἶναι δοκεῖ, κατ' ἐνιαυτὸν Σύνοδον γίνεσθαι τῶν ἐπισκόπων εἰς Καρχηδόνα, ἵνα μὴ συντρίβωνται οἱ ἀδελφοί· ἀλλ' εἰ μὲν αἰτίαι κοιναὶ ἀνακύψαιεν περὶ δογμάτων τυχὸν, γράμμασι καλεῖσθαι τοὺς ἐπισκόπους, καὶ κοινῆς γινομένης Συνόδου, λύεσθαι τὸ ἀμφίβολον· εἰ δὲ ἰδικαὶ εἶεν, ἐν ἐπαρχίᾳ ἑκάστῃ τὴν λύσιν αὐτὰς λαμβάνειν.

Νόμος.

Ἡ δὲ ρλζ'. Ἰουστινιάνειος νεαρὰ 1), ἅπαξ ἢ δὶς τοῦ ἔτους τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ Συνόδους γίνεσθαι βούλεται τῶν μητροπολιτῶν παρὰ τοῖς Πατριάρχαις, καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις, καὶ ἐξετάζεσθαι τὰς αἰτίας, ἃς οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι περί τε πίστεως, καὶ κανόνων, καὶ πραγμάτων ἐκκλησιαστικῶν, καὶ τὰ παρὰ τοὺς κανόνας ἁμαρτανόμενα διορθοῦσθαι· τοὺς δὲ ἄρχοντας μὴ ἐπιτιθεμένους τοῖς μητροπολίταις καὶ τοῖς ἐπισκόποις, ὑπερτιθεμένοις τὰς τεταγμένας Συνόδους ποιεῖν, ἢ

1) Νεαρ. ρλζ', Κεφ. δ', ς'.

τοὺς μὴ πειθομένους οὐ μηνύοντας τῷ βασιλεῖ, ἐσχάτως τιμωρεῖσθαι. Ἀλλὰ τὸ τῶν Συνόδων τούτων πάντη τὸ νῦν ἔχον καταπεφρόνηται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ συστατικῶν γραμμάτων.

Ζήτει τὸ θ'. Κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Περὶ τῶν συνωμοσίας, ἢ φατρίας, ἢ στάσεις ποιούντων. Συνόδου τετάρτης ιή', Συνόδου ἕκτης, λδ'.

Ὁ ιή. τῆς δ'. Συνόδου κανὼν, καὶ ὁ λδ'. τῆς ς'. Συνόδου, Ἐν τοῖς πολιτικοῖς, φασι, νόμοις, ὧν οἱ πλείους πρὸς τῶν ἔξω σοφῶν συνετέθησαν, τὸ τῆς συνωμοσίας ἢ φατρίας ἀπείρηται τόλμημα, πολλῷ γε δήπου τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ· ὅστις τοίνυν τῶν μοναζόντων ἢ κληρικῶν τοιούτῳ ἁλοίη ἐγκλήματι, ἢ συσκευὰς ἐλεγχθείη τυρεύων, ἤτοι τεκταίνων, ἐπισκόποις ἢ κληρικοῖς, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ. Συνωμοσία δέ ἐστι τὸ τινὰς κατά τινων βουλεύσασθαι, καὶ ἀλλήλους ὅρκοις συνδῆσαι, ἢ μὴν μὴ ἀποστήσεσθαι τοῦ βουλεύματος, μέχρις ἂν τοῦτο τελεσθείη· ὥς που καὶ ἐν ταῖς Πράξεσι τῷ θείῳ Λουκᾷ ἱστόρηται, ὅτι ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὰς, ἀνεθεμάτισαν ἑαυτοὺς, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως ἂν ἀποκτείνωσι τὸν Παῦλον 1). Φατρία δέ ἐστι κυρίως τὸ τῶν συγγενῶν ἢ τῶν ἄλλως ἡνωμένων σύστημα· ἐνταῦθα δὲ κακοθελὲς δηλοῖ διαβούλιον, καὶ συμφωνίαν τινῶν ἐπὶ πράξεσι φαύλαις. Τυρεύειν δὲ, τὸ σκληρὰ καὶ πονηρὰ κατασκευάζειν, καὶ μηχανᾶσθαι· ὡς τὸ, Ἐτυρώθη ἡ καρδία αὐτῶν 2), ἀντὶ τοῦ ἐσκληρύνθη.

Νόμοι.

Ὁ συνωμοσίαν κατὰ τῆς πολιτείας παρασκευάσας γενέσθαι,

1) Πράξ. ΚΓ', 12. — 2) Ψαλμ. ΡΙΘ', 70.

καὶ ὁ ἐπιβουλεύσας τῷ στρατοπέδῳ, ἢ τοῖς πολεμίοις αὐτὸ προδοὺς, ἢ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ Ῥωμαίους γενέσθαι τοὺς πολεμίους, ἢ παρασκευάσας αὐτοὺς βοηθηθῆναι πλήθει, ἢ ὅπλοις, ἢ χρήμασιν, ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ, τῷ τῆς καθοσιώσεως ὑπόκειται ἐγκλήματι 1). Ἀλλὰ καὶ τὸ συνάγεσθαι ὄχλον χωρὶς βασιλικοῦ ἐπιτάγματος, πολλῆς ἄξιον τιμωρίας κρίνεται πρὸς τῶν νόμων. Ζήτει καὶ τὸ κά. Κεφάλαιον τοῦ Π στοιχείου.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, εἰδήσει καὶ τοῦ Πατριάρχου Ἀλεξίου καὶ τῆς Συνόδου, ἀναθέματι καθυποβάλλει τοὺς μέλλοντας ἢ ἐπιβουλαῖς ἐπιχειρεῖν, ἢ μούλτῳ· ἀλλὰ δὴ καὶ τοὺς συμπράττοντας καὶ συγκοινωνοῦντας τῇ αὐτῶν ἀποστασίᾳ, καὶ τοὺς συμβουλεύοντας ἢ παρορμῶντας εἰς τὰ τοιαῦτα, καὶ τοὺς συνεκστρατεύοντας, καὶ τοὺς δεχομένους αὐτοὺς εἰς μετάνοιαν, μὴ μεταμελομένους ἀπὸ τῆς ἀποστασίας, καὶ καταλιμπάνοντας αὐτήν 2). Ζήτει περὶ ταύτης τῆς νεαρᾶς ἐν τῇ ἐπιγραφῇ τῆς ἐν Γάγγρᾳ Συνόδου, ἥτις ἐν τῇ ἀρχῇ τοῦ βιβλίου κεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ σχισματικῶν.

Ζήτει ἐν τῷ β΄. Κεφαλαίῳ τοῦ Α στοιχείου κανόνα ά. τοῦ μεγάλου Βασιλείου, σοφῶς ὁριζομένου καὶ διαιροῦντος τὰ σχίσματα, καὶ τὰς αἱρέσεις, ταῖς ἑκατέρων ἰδιότησιν.

Ὁ δὲ λα΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ὅστις, φησὶ, πρεσβύτερος, μηδέν τι κατεγνωκὼς τοῦ ἰδίου ἐπισκόπου, μήτε περὶ τὴν εὐσέβειαν σφαλλομένου, μήτ' αὖ χαίροντος ἀδικίαις, ἀλλ' εὐσεβοῦς μὲν τὰ πρὸς Θεὸν, δικαίου δὲ τὰ πρὸς ἀνθρώπους ὑπάρχοντος, πάθει φιλαρχίας κάτοχος ὢν, ἰδίᾳ πήξει θυσιαστήριον, καὶ παρασυνάξεις ποιῶν ἐν τούτῳ ἱερουργεῖ, μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παραίνεσιν, καὶ παράκλησιν ἐπὶ τὴν προτέραν ὁμόνοιαν, ἔτι γνώμῃ χρώμενος αὐθεκάστῳ, αὐτὸς μὲν ὡς φίλαρχος, καὶ τυραννικὸν ἔργον ἐπιδεικνύμενος, καθαιρείσθω·

1) δ΄. καὶ ιή. Βασ. Ξ΄. λς΄. — 2) Ὅρα τοῦ παρ. Συντ. Τόμ. Ε. σελ 127.

οἱ δὲ συναπαχθέντες αὐτῷ, καὶ συνεκκλησιάζοντες, εἰ μὲν κληρικοὶ εἶεν, καὶ αὐτοὶ καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφορισμῷ ὑποβεβλήσθων.

Ἐναργῶς τοίνυν ἐκ τούτου παρίσταται, μηδ' ἠντιναοῦν ὄφλειν εὐθύνην, τοὺς τῶν ἰδίων ἐπισκόπων ἀποσχιζομένους, καὶ ἀποφοιτῶντας κληρικοὺς, καταγινώσκοντας ὡς ἀσεβούντων ἢ ἀδικούντων· δι' ἕτερον μέντοι γε τρόπον, κἂν τὰ χείριστα λέγηται περὶ ἐπισκόπου ἢ πρεσβυτέρου, οὐ δίκαιον τῆς ἐκείνου κοινωνίας ἀφίστασθαι, πρὶν ἂν ἡ δι' ἀκριβοῦς ἐξετάσεως κρίσις τοῦτον καθέλῃ· οὐ γὰρ τῶν ἀνθρώπων ἡ χάρις, ἀλλὰ τοῦ ἁγίου Πνεύματος, ὃ καὶ διὰ τῶν ἀναξίων πορίζειν ταύτην εἰώθει τοῖς θερμότητι πίστεως προσιοῦσι· πάντας γάρ, φησιν, ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ.

Ἀντιοχείας ε.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ε. διέξεισι, προσθεὶς, ὡς, εἰ μετὰ τὴν καθαίρεσιν θορυβῶν ἐπιμένει, καὶ τὴν Ἐκκλησίαν ἀναστατῶν, διὰ τῆς ἔξωθεν καὶ πολιτικῆς ἐξουσίας σωφρονιζέσθω, εἴπως ταύτῃ γοῦν πρὸς μετάνοιαν ἐπιστρέψειεν· ἐπιτιμᾶν γὰρ μόνον ἐφεῖται τοῖς ἐπισκόποις, ἀλλ' οὐχὶ καὶ τιμωρεῖσθαι τοὺς πταίοντας· μὴ πειθομένους δὲ, τοῖς ἄρχουσι πρὸς σωφρονισμὸν ἐκδιδόναι.

Ζήτει καὶ τὸν λά. καὶ τὸν νθ'. τῆς ς'. Συνόδου ἐν τῷ ά. Κεφ. τοῦ Β στοιχείου.

Συνόδου ΑΒ', ιϐ', ιγ', ιϑ', ιε'.

Ὁ δὲ ιϐ'. κανὼν τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου, Τῷ λα', φησὶ, τῆς ς'. Συνόδου κανόνι γινόμενοι σύμψηφοι, ἀποκεκληρωμένους εἶναι, καὶ ἐπιτετραμμένους κελεύομεν πρὸς τοῦ κατὰ χώραν ἐπισκόπου, τοὺς ἐν εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὔσι, λειτουργοῦντας ἱερέας· εἰ δέ τινες παρὰ τούτους ἄνευ γνώμης τοῦ ἐπισκόπου εἰς τὰς οἰκίας ἐμπίπτοντες ἅψασθαι λειτουργίας τολμήσαιεν, ἐκείνους μὲν καθαιρεῖσθαι, τοὺς δὲ συγκοινωνοῦντας αὐτοῖς ἀφορίζεσθαι.

Ὁ δὲ ιγ', ὥσπερ αἱ τῶν αἱρετικῶν ζιζανίων ἐκφύσεις, φησί, τῇ μαχαίρᾳ τοῦ Πνεύματος ῥίζαις αὐταῖς ἐξεκόπησαν, οὕτω καὶ τὴν τῶν σχισματικῶν μανίαν, τὸ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειροῦσαν, ἡμεῖς ἀναστέλλοντες, ὁριζόμεθα, ὡς, εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἐπί τισι δήθεν ἐγκλήμασιν, ἃ τῶν σαρκικῶν ἐξῆπται παθῶν, τοῦ οἰκείου 1) κατεγνωκὼς ἐπισκόπου, πάσης δυσσεβείας καὶ ἀδίκου πράξεως ἔχοντος τὸν βίον 2) ἐκ διαμέτρου, ὡς τῷ Ἀποστολικῷ καὶ θείῳ κανόνι διείληπται, ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας τολμήσειε πρὸ Συνοδικῆς διαγνώσεως, καὶ τοῦδε τὸ ὄνομα τὴν θείαν ἐπιτελῶν ἱεροτελεστίαν μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει κελεύομεν, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς· ἀθέμιτον γὰρ τὴν τῶν μητροπολιτῶν κρίσιν ἁρπάζοντα, πρὸ κρίσεως ὅσον τὸ ἐπ' αὐτῷ τοῦ οἰκείου πατρὸς καὶ ἐπισκόπου καταψηφίζεσθαι· ἀλλὰ καὶ τοὺς ἑπομένους αὐτῷ, κληρικοὺς μὲν τυγχάνοντας, τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι· μοναχοὺς δὲ, ἢ λαϊκοὺς, μὴ ὅτι τῆς ἱερᾶς ἀφορίζεσθαι κοινωνίας, ἀλλὰ καὶ τῆς Ἐκκλησίας παντάπασιν ἐξωθεῖσθαι, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπιστραφῶσιν ἐπίσκοπον.

Ὁ δὲ ιδ'. καθαίρεσιν καὶ τοῦ ἐπισκόπου καταψηφίζεται, εἰ τῆς κοινωνίας τοῦ ἰδίου ἀποσχισθείη μητροπολίτου, μηδὲ ἀναφέρειν ἀνέχοιτο ἐν ταῖς ἱεραῖς τελεταῖς τὸ αὐτοῦ ὄνομα.

Ὁ δὲ ιέ, τῶν αὐτῶν εὐθυνῶν καὶ τοῖς μητροπολίταις τιμᾶται, τοῖς ἀποσχιζομένοις τοῦ σφῶν Πατριάρχου· εἰ δ' ὁ Πατριάρχης τυχὸν, φησὶν, ἢ ὁ μητροπολίτης, ἢ ὁ ἐπίσκοπος, οἱανδήτινα αἱρεσιν πρὸς τῶν θείων κατεγνωσμένην Πατέρων, δημοσίᾳ καὶ γυμνῇ, φάναι, κηρύττῃ τῇ κεφαλῇ, οἱ τῆς αὐτοῦ κοινωνίας ἀποδιαστελλόμενοι, καὶ ἀποτειχίζοντες ἑαυτοὺς, μὴ ὅτι κολάσεως, ἀλλὰ καὶ τῆς προσηκούσης τοῖς ὀρθοδόξοις ἀξιούσθων τιμῆς· οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων κατέγνωσαν, καὶ οὐκ εἰς σχίσματα τὴν ἕνωσιν τῆς Ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν Ἐκκλησίαν ἐσπούδασκν ῥύσασθαι, τό γε εἰς αὐτοὺς ἧκον· διὰ τοῦτο καὶ ἡ-

1) δηλαδὴ τοῦ οἰκείου 1375 — 2) πάντως 1375 καὶ Β.

μεῖς εὖ ποιοῦντες, τὴν τῆς παλαιᾶς Ῥώμης ἀπειπάμεθα κοινωνίαν, καὶ πρό γε Συνοδικῆς διαγνώμης καὶ κρίσεως.

Γάγγρας ς'.

Ὁ δὲ ς'. τῆς ἐν Γάγγρᾳ Συνόδου κανών, τῷ περὶ ἐλαχίστου τιθεμένῳ τὴν Ἐκκλησίαν, καὶ ἰδίᾳ ἐκκλησιάζοντι, καὶ παρὰ γνώμην ἱερουργοῦντι τοῦ ἐπισκόπου, τῶν ἐσχάτων τιμᾶν ἀξιοῖ· τί γὰρ τοῦ ἀναθέματος ἐσχατώτερόν τε καὶ φρικωδέστερον; Ἐκκλησίαν δὲ, οὐ τὸν νεών, ἀλλὰ τὸ τῶν πιστῶν φησι πλήρωμα· ὁ γὰρ νεὼς, κατὰ τὸν Ἡλουσιώτην ἅγιον Ἰσίδωρον, ἐκκλησιαστήριον ἂν κυρίως λέγοιτο, ὡς θυμίαμα, θυμιατήριον, καὶ θυσία, θυσιαστήριον.

Καρθαγένης ί, ιά.

Ἀλλὰ καὶ ὁ ί. τῆς ἐν Καρθαγένῃ, τὸν ἀφορισμῷ ἐπιτιμηθέντα πρεσβύτερον, εἰ ἐξ ἀπονοίας νέον πήξας θυσιαστήριον, ἰδίαν τῷ Θεῷ ἱερουργίαν προσφέρει, τῷ ἀναθέματι παραπέμπει, οἷα τὴν τῆς Ἐκκλησίας πίστιν καὶ κατάστασιν λυμαινόμενον, καὶ βλασφημεῖσθαι ταύτην παρασκευάζοντα πρὸς τῶν τῆς ἀληθείας ἐχθρῶν. Πρῶτον μὲν γὰρ παραγγελίαις πειρᾶσθαι δεῖ τοὺς τὰ σχίσματα ποιοῦντας ἐπανάγειν πρὸς τὴν ὁμόνοιαν· μὴ πειθομένους δὲ, καθαιρεῖν ἢ ἀφορίζειν· εἰ δὲ καὶ οὕτω μένοιεν ἀπαυθαδιαζόμενοι, καὶ στασιάζοντες, ὑποτιθέναι τούτους τῷ ἀναθέματι, καὶ ὡς σεσηπότα μέλη τοῦ ὑγιαίνοντος σώματος τῆς Ἐκκλησίας ἐκτέμνειν.

Τὰ αὐτὰ καὶ ὁ ιά. ἀποφαίνεται· Τὸν καταγνωσθέντα πρὸς τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερον, ὡς μὴ καλῶς βιοῦντα, προσαγγεῖλαί δεῖ τοῖς γειτνιῶσι τῶν ἐπισκόπων, ὡς ἂν δι' ἐκείνων τῷ ἰδίῳ διαλλαγείη· εἰ δὲ φυσιωθείς, ἀποσχισθείη μὲν τοῦ ἐπισκόπου, ἰδίᾳ δὲ ἱερουργεῖν βουληθείη, οὐ μόνον τὸν ἴδιον ἀπολέσει βαθμὸν, ἀλλὰ καὶ ἀνάθεμα ἔσται. Χρὴ δέ, φησι, σκοπεῖν, μὴ ἄρα δικαίως τὸν ἴδιον ἐπίσκοπον ὁ κληρικὸς αἰτιῶτο, ἢ ἀδικοῦντα βλέπων αὐτὸν, ἢ τῷ ὀρθῷ ἐναντιούμενον δόγματι, καὶ οὐκ ἔξω λόγου τὴν αὐτοῦ κοινωνίαν ἐκκλίνοι.

Ζήτει ἐν τῷ β'. Κεφ. τοῦ Α στοιχείου κανόνα λγ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ τὸ κ'. Κεφάλαιον τοῦ Κ στοιχείου.

Τοῦ Χρυσοστόμου.

Ἡ δὲ πολύστομος τῆς Ἐκκλησίας σάλπιγξ, ὁ μακάριος τῷ ὄντι Χρυσόστομος, τὴν πρὸς Ἐφεσίους ἑρμηνεύων ἐπιστολήν, κἀν τῷ ια΄. τῆς ἑρμηνείας λόγῳ, περὶ τῶν τὰ σχίσματα ποιούντων διαλεγόμενος, Ἀνήρ τις ἅγιος, φησὶν, εἴρηκεν, ὅτι οὐδὲ μαρτυρίου αἷμα ἐξαλείφειν δύναται τὴν ἁμαρτίαν ταύτην. Ἐν δὲ τῷ ξε΄. τῆς αὐτῆς Κεφαλαίῳ, τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν, τὸ τὴν Ἐκκλησίαν σχίσαι, οὐδὲν ἔλαττον κακὸν δείκνυσιν· οὐδὲν δὲ οἷον καὶ τὴν ἐπιστολὴν ἐνάριθμον θεῖναι τοῖς φθάσασι, τοῦ ἐν ἁγίοις Διονυσίου Ἀλεξανδρείας καὶ μάρτυρος, ἣν πρὸς τὸν Ναυάτον πέπομφε, Ῥώμης ὄντα πρεσβύτερον.

Ἐπιστολὴ Διονυσίου πρὸς Ναυάτον, Ῥώμης πρεσβύτερον.

Διονύσιος Ναυάτῳ ἀδελφῷ χαίρειν.

Εἰ ἄκων, ὡς φῂς, ἦλθες, δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών· ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπερ τοῦ μὴ διακόψαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης, ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ μείζων· ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς Ἐκκλησίας μαρτυρεῖ· καὶ νῦν δὲ, εἰ πείσαιο, ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν 1), μείζων ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα· καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται· εἰ δὲ ἀπειθούντων, ἀδυνατεῖς, σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν. Ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης, ἐν Κυρίῳ εὔχομαι.

---

1) ἀνελθεῖν 1340, εἰσελθεῖν B.

ΑΡΧΗ ΤΟΥ Τ ΣΤΟΙΧΕΙΟΥ.

ΚΑΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς τάξεως τῶν κληρικῶν.

Ζήτει τὸ δ'. Κεφάλαιον τοῦ Δ στοιχείου.

Λαοδικείας ν ς'.

Ὁ δὲ ν ς'. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανὼν, τοῦ ἐπισκόπου τὴν εἴσοδον ἐπὶ τὸ θυσιαστήριον ποιουμένου, μὴ ἐξεῖναι κελεύει τοῖς πρεσβυτέροις προλαμβάνειν, καὶ εἰσερχομένους καθίζειν, καὶ μόνον ἐᾶν τὸν ἐπίσκοπον, (οὐχ ὅπως γὰρ ἀταξίας, ἀλλὰ καὶ τοῦ περιφρονεῖν τὸν ἐπίσκοπον τοῦτο σημεῖον), ἀλλὰ τούτῳ συνεισιέναι, εἰ μήπου τις ἀνωμάλως ἔχει τὸ σῶμα, καὶ τὴν στάσιν ἥκιστα δύναται φέρειν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ταφῆς.

Νόμοι.

Οὐκ ἔξεστι θάπτειν ἔνθα δῆλόν ἐστιν ὅτι μάρτυρος σῶμα ἀπόκειται 1).

Οὐδεὶς ἀπὸ τῶν τάφων ὕλην τινὰ ἢ ἕτερον οἰκοδόμημα μεταφέρει 2).

Μηδεὶς σῶμα ἀνθρώπινον χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω 3).

Ζήτει καὶ ἐν τῷ ιέ. Κεφ. τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι τοὺς τελευτήσαντας οὔτε βαπτίζειν θεμιτὸν, οὔτε τοῖς σώμασιν αὐτῶν κοινωνίας μεταδιδόναι.

Ζήτει τὸ κς'. Κεφάλαιον τοῦ Κ στοιχείου.

---

1) 6'. Βασ. Ε. ά. — 2) ιδ'. Βασ. Ξ', κγ'. — 3) ιδ'. Βασ. Νθ', γ'.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τῶν τέκνων τῶν κληρικῶν.

Καρθαγένης λέ.

Ὁ λέ. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν οὐκ οἴεται δεῖν ἐπισκόπους καὶ κληρικοὺς εὐχερῶς τοῖς τέκνοις αὐτῶν διδόναι τὸ αὐτεξούσιον, εἰ μὴ ἀπὸ τῆς ἡλικίας καὶ τῶν ἀγαθῶν τρόπων δοῖεν πληροφορίαν, ὅτι δυνήσονται δεόντως καὶ εὐλαβῶς τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν· εἰ δ' οὖν, τῶν ἁμαρτημάτων αὐτῶν καὶ αὐτοὶ ἔσονται κοινωνοί.

Νόμοι.

Οἱ δὲ νόμοι κελεύουσι μὴ παρὰ μόνου τοῦ πατρὸς εἴτε κληρικοῦ, εἴτε λαϊκοῦ, τὴν τῶν τέκνων αὐτεξουσιότητα γίνεσθαι, εἰ μὴ καὶ δικαστικὴ διάγνωσις τοῦτο ἐπιψηφίσειε· φασὶ γάρ· Οὐ γυμνὴ συναίνεσις τοῦ πατρὸς ἐλευθεροῖ τῆς ὑπεξουσιότητος τὸν παῖδα, ἀλλὰ νόμιμος πρᾶξις 1).

Οἱ δὲ ὀφφικίῳ τιμηθέντες παῖδες τῶν ἐπισκόπων, αὐτεξούσιοι παρὰ τοῦ νόμου γίνονται, καὶ λόγον ὑπὲρ αὐτῶν οἱ πατέρες οὐ διδόασι· φησὶ γὰρ ἡ πά. Ἰουστινιάνειος νεαρὰ, ὅτι πάντες οἱ ἀξιωματικοὶ, καὶ οἱ ἔχοντες ὀφφίκια ἄρχοντες, αὐτεξούσιοι ἔσωσαν, καὶ εἰ τῆς πατρικῆς χειρὸς οὐκ ἔφθασαν ἀπολυθῆναι 2).

Τῶν ψυχικῶν μέντοι σφαλμάτων, ἅπερ οἱ ὑπεξούσιοι ἁμαρτάνουσι παῖδες, ἴσως οἱ πατέρες δίκην ὑπέχουσιν, οὐ μὴν καὶ τῶν ἐγκληματικῶν· οὐ γὰρ κολάζονται πατέρες ὑπὲρ τέκνων· φησὶ γὰρ ὁ νόμος· Τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἔπονται 3).

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῶν ἐν αὐτῇ τελουμένων ἐθῶν.

Ζήτει τὸ δ΄. Κεφάλαιον τοῦ Ν στοιχείου.

Συνόδου ἕκτης νέ, ϛ΄, ν϶΄.

Ὁ δὲ νέ. τῆς ϛ΄. Συνόδου κανὼν, τοῖς τὴν παλαιὰν οἰκοῦσι

1) 6΄, Βασ. ΛΑ, γ΄. — 2) Νεαρ. πά, Κεφ. ά, γ΄. — 3) ά. Βασ. ΛΑ, έ.

Ῥώμην παρεγγυᾶται, μὴ νηστεύειν τὰ σάββατα τῆς ἁγίας τεσσαρακοστῆς, ἐκτὸς μόνον τοῦ ἑνὸς καὶ μεγάλου σαββάτου· ἀλλ' ἀδιόρθωτοι μεμενήκασιν οἱ ἀλαζόνες, μήτε τῶν Ἀποστολικῶν κανόνων, μήτε τούτου ἐπιστρεφόμενοι· καὶ μήτε τὴν καθαίρεσιν οἱ ἱερωμένοι, μήθ' οἱ τοῦ δήμου τὸν ἀφορισμὸν εὐλαβούμενοι· μᾶλλον δὲ τοσοῦτον χείρους γεγόνασιν, ὡς μὴ μόνον ἐν τούτοις, ἀλλὰ κἀν τοῖς ἄλλοις τοῦ χρόνου σάββασι, παρανόμως νηστεύειν· τὸ δ' ἔτι τούτου παρανομώτερον, ὅτι τὴν τοῦ σαββάτου κατάλυσιν ἐπὶ τὴν τετράδα μετενηνόχασι καὶ παρασκευὴν, τὴν δ' ἐν ταύταις νηστείαν ἐπὶ τὸ σάββατον, ἔργον ὡσανεὶ ποιούμενοι, πάντα νόμον ἱερὸν τιθέναι ἀνάστατον.

Ὁ δὲ νς'. τὴν αὖθις ἐκ διαμέτρου τῶν Ἀρμενίων διορθούμενος πλάνην, ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς, τυροῦ καὶ ὠῶν ἀπέχεσθαι καὶ τούτους κελεύει, οἷα δὴ νόμος πάσῃ τῇ ὑφηλίῳ τοῦ Θεοῦ Ἐκκλησία. Ὥσπερ γὰρ πάντων τῶν θυομένων ἀπεχόμεθα ζώων, οὕτω δέον, καὶ ὅσα τούτων καρπὸς, εἰς τροφὴν μὴ προσίεσθαι· τοῦτο καὶ ἐπὶ τῶν τετράδων παρατηρητέον καὶ παρασκευῶν τοῦ ὅλου ἐνιαυτοῦ· τοῖς δὲ παραβαίνουσι, καθαιρέσει ἢ ἀφορισμῷ τιμᾶται, κληρικοῖς οὖσιν, ἢ δημόταις τυχόν· ἀλλὰ κἀν τούτῳ τοὺς Λατίνους μᾶλλον ἂν ἴδῃς εἰς ἔσχατον ἀφιγμένους παρανομίας, ὥσπερ ἐξεπίτηδες ὁρμόσε χωροῦντας τοῖς θείοις κανόσιν· ἐν γὰρ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς τεσσαρακοστῆς, οὐ μόνον τυροῦ καὶ ὠῶν, ἀλλά γε καὶ κρεῶν ἅπτονται, οὐχὶ τοῦ δήμου μόνον, ἀλλὰ καὶ τῶν μοναχῶν οἱ ἀσθενῶς δῆθεν τοῦ σώματος ἔχοντες.

Ζήτει καὶ ἐν τῷ ά. Κεφ. τοῦ Β στοιχείου, τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνα με'. καὶ ἐν τῷ ζ'. Κεφ. τοῦ Π στοιχείου κανόνα πθ'. τῆς ς'. Συνόδου.

Ὁ δὲ τῆς ς'. Συνόδου νϑ'. κανὼν, ἐν μὲν ταῖς ἄλλαις τῆς ἁγίας τεσσαρακοστῆς ἡμέραις, οἷα πενθεῖν προστεταγμένον, καὶ νηστεύειν καὶ κατανύσσεσθαι εἰς ἐξίλασμα τῶν οὐ καλῶς ἑκάστῳ βεβιωμένων, τὴν τῶν προηγιασμένων λειτουργίαν κελεύει τελεῖσθαι· ἐν δέ γε τοῖς σάββασι καὶ ταῖς κυριακαῖς αὐτῆς, καὶ τῇ ἁγίᾳ τοῦ Εὐαγγελισμοῦ ἡμέρᾳ, ἐπείπερ ἐν ταύταις νηστεύειν οὐκ ἔννομον, καὶ θυσίαν προσφέρειν, καὶ τελείαν γίνεσθαι λει-

τουργίαν· τιμῶμεν γὰρ τὴν τοῦ Εὐαγγελισμοῦ ἡμέραν, πανηγυρίζοντες ἐν αὐτῇ, ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς ἡμῶν σωτηρίας· ἔοικεν οὖν μίαν εἶναι τὴν τεσσαρακονθήμερον νηστείαν· εἰ γὰρ καὶ ἑτέρα τοῖς κανόσιν ἐπεγινώσκετο, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ, μὴ τελείαν ἱεροτελεστίαν, ἀλλὰ προηγιασμένην τελεῖσθαι.

Διὰ τί ὡς ἐπὶ τὸ πλεῖστον μὲν τρίτην ὥραν τῆς ἡμέρας ἡ θεία τελεῖται λειτουργία· ἔστι δὲ ὅτε καὶ πρὸς ἑσπέραν ἐν ταῖς μεγίσταις τῶν ἑορτῶν.

Ἀλλὰ γὰρ ζητητέον ἐνταῦθα, τίνος χάριν ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ ἐνιαυτοῦ, περί που τρίτην ὥραν ἀπὸ τῆς ἕω, νόμος τὴν θείαν τελεῖσθαι μυσταγωγίαν· τῶν δὲ περιφανῶν ἔστιν ἃς ἑορτῶν, καινότερον τρόπον οἱονεὶ πρεσβεύειν οἰόμενοι, τούτων τὴν τελετὴν εἰς τὴν ἑσπέραν ταμιευόμεθα, καὶ μετὰ τὰς ἑσπερίους εὐθὺς ἐπιτελοῦμεν ᾠδάς. Τουτὶ γοῦν τὸ ἔθος κατ' ἐξαίρετον καὶ ἰδίᾳ τετήρηται τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, τῷ τε ἁγίῳ καὶ μεγάλῳ καὶ σεβασμίῳ σαββάτῳ· πρὸς δὲ, τῇ περιφανεῖ τῆς Χριστοῦ γεννήσεως ἡμέρᾳ, καί γε τῇ λαμπρᾷ καὶ φερωνύμῳ τοῦ θείου φωτὸς, εἴγε μὴ συνέλθοιεν ἡμέραις, τῶν οἰκείων οὐκ ἀνεχομέναις διὰ ταύτας ἐκστῆναι πρεσβείων· ταύταις, εἰ βούλει, προστίθει, καὶ τὴν εὐαγῆ τοῦ Εὐαγγελισμοῦ ἡμέραν. Καὶ ἡ μὲν ἐκ τῶν εἰκότων τοῦ προτέρου αἰτία, ὅτι τοι ἐν τούτῳ τῆς ἡμέρας ὁ Παράκλητος ἐναργῶς τοῖς Ἀποστόλοις ἐπιφοιτήσας, καὶ τὸ τριττὸν φῶς ἤδη καὶ τέλειον τελέως τούτοις μυσταγωγήσας, καὶ ἡμᾶς τῇ ἐπωνύμῳ τῆς θείας Τριάδος ὥρᾳ, τὴν τελείαν καθιεροῦν ἱερουργίαν τῇ τρισυποστάτῳ Θεότητι, δι' αὐτῶν σαφῶς ἐδιδάξατο. Εἰ γὰρ καὶ τῆς θείας ἱερουργίας ἡ τελετὴ τὸ τῆς ἀῤῥήτου οἰκονομίας ὑπογράφει τοῦ Λόγου μυστήριον, ἀλλ' οὐδὲν ἧττον τὴν χάριν ἴσμεν τῷ τε εὐδοκήσαντι ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ συνεργήσαντι ζωοποιῷ Πνεύματι. Ἔν γε μὴν ταῖς εἰρημέναις ἐπισήμοις ἡμέραις, ἕτερ' ἄττα ἐν βάθει κεκαλυμμένα, καὶ ὑπὲρ ἔννοιαν τῆς τοῦ Θεοῦ σοφίας μυστήρια, ἀμυδρῶς πως ἡμῖν παραγυμνοῦται σκιαγραφούμενα, ὡς ἂν καὶ ἐκ τῆς τούτων, καθόσον ἐφικτὸν, μυήσεως, πρὸς τὸν θεῖον ἡμῖν ὑπάρξῃ πόθον ἐπὶ πλέον πτεροῦσθαι

καὶ ἀνατείνεσθαι. Τοῦ γοῦν τελείου καὶ ἄκρου φωτὸς, ἐπὶ γῆς ὡς ἐν ἑσπέρᾳ τῷ τέλει τῶν αἰώνων τῷ κόσμῳ φανέντος, τέλος μὲν ὁ δρόμος τῆς τοῦ νόμου, ὡς εἰπεῖν, ἡμέρας ἐλάμβανεν 1)· ἡ δὲ τῆς καινῆς διαθήκης αὐγὴ, τὸν τῆς πολυθέου σκότον κακίας καταλύειν ὑπήρχετο, ὃν ὁ σκιώδης νόμος πολλοῦ γε ἄρα ἔδει περιελεῖν. Ταύτῃ τοι καὶ τοῦ μυστηρίου τούτου τοῖς συλληψομένοις ἤδη καὶ ὑπουργήσουσι μαθηταῖς κοινωνῶν ὁ Σωτὴρ, οὐ μεθ' ἡμέραν, ἀλλ' ἐν ἑσπέρᾳ βαθείᾳ, τῆς μεγάλης πέμπτης φημὶ, καὶ πρὸς θείους ἐπαλείφων ἀγῶνας, καὶ ὁμόσε παρακαλῶν τῇ πλάνῃ χωρεῖν, ἀτρεμιζούσῃ καθαρῶς τῇ ψυχῇ, καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐχ ὅπως τοῖς ὀφθαλμοῖς, ὡς ἐντεῦθεν μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ τὸν παλαιὸν νόμον, Τοῦτο τὸ ποτήριον ἡ καινὴ, φησὶ, κίρνησι διαθήκη, τοῖς ὑπερμαχοῦσι ταύτης καὶ προασπίζουσιν, ὑπεμφαίνων διὰ τοῦ ποτηρίου, μὴ ἄν ποτε τούτοις ὑπάρξαι, κινδύνων ἄνευ καὶ πειρασμῶν τῆς πλάνης περιγενέσθαι, καὶ εἰς τέλος ταύτην καταγωνίσασθαι, ἧς τὸ ἐνιστάμενον τηνικάδε σκότος, σημεῖον περιφανὲς ἦν. Διὰ δὴ ταῦτα, ὅσα ἡμᾶς εἰδέναι καὶ τὸ εἰκὸς ἀπαιτεῖ, ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ χρόνου, ὥρᾳ τρίτῃ τὰ τῆς θείας τελεῖται ἱερουργίας· κατὰ μέν τοι τὰς δηλωθείσας ἐπισήμους καὶ μόνον, ἑσπέρα θεσμοῖς Πατέρων τετήρηται· εἰώθασι γὰρ οἱ θεῖοι Πατέρες, τὰ τῆς ἱερᾶς ὑπαλλάττειν μυσταγωγίας, καὶ διὰ τῆς ποικιλίας, ἔστιν ἃ τῶν ὑπὲρ ἔννοιαν μυστηρίων, φιλανθρώπως ἡμῖν ὑπεμφαίνειν, καὶ πρὸς τὴν ἐνιαίαν καὶ ὑπέρσοφον ἐντεῦθεν γνῶσιν, οὐχ ἥκιστα θαυμασίως χειραγωγεῖν.

Καὶ 2) κατὰ τὴν ἱστορίαν δὲ, νυκτὸς ἡ Παρθένος τὸν Κύριον τέτοκε· καὶ δῆλον ἐξ ὧν ὁ Εὐαγγελιστὴς φησιν, ὡς καὶ ποιμένες ἦσαν, καὶ τὰ ἑξῆς· νυκτὸς δὲ ὁ Κύριος πρὸς τοῦ Ἰωάννου ἐβαπτίσατο, ἵνα τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς πρὸς αὐτὸν ἐρχόμενον, δαψιλεῖ τῷ φωτὶ τὴν νύκτα περιαυγάσαν, καὶ τὸν

---

1) 1375, καὶ Γ. — τέλος μὲν ὁ νόμος τῆς τοῦ δρόμου, ὡς εἰπεῖν, ἡμέρας ἐλάμβανε· 1340. — 2) Καὶ κατὰ τὴν ἱστορίαν . . . ἐδέξατο, οὐ κεῖται ἐν τοῖς ὑπ' ὄψιν ἡμῶν Κώδιξιν ἀλλὰ παρὰ Β.

λαὸν ἐκπλῆξαν τῷ ἀσυνήθει τῆς θέας, οἷα Θεῷ τῷ Σωτῆρι προσέχειν τούτοις διαμαρτύρηται· νυκτὸς δὲ τοῦ μυστικοῦ δείπνου ὁ Κύριος κεκοινώνηκε· νυκτὸς δὲ καὶ ἡ σωτήριος Ἀνάστασις γεγένηται· νυκτὸς καὶ ἡ Παρθένος πρὸς τοῦ Γαβριὴλ τὸν ἀσπασμὸν τὸν ξένον ἐδέξατο.

Λαοδικείας μθ', ρα', ρθ'.

Καὶ ὁ τῆς ἐν Λαοδικείᾳ δὲ μθ', κατὰ τὴν τεσσαρακονθήμερον ταυτηνὶ ἄρτον προσφέρειν, ἤτοι τελείαν ποιεῖν ἱεροτελεστίαν, οὐκ οἴεται δεῖν, εἰμὴ ἐν τοῖς ταύτης σάββασι καὶ κυριακαῖς.

Ὁ δὲ να', μήτε ἐν ταῖς μνήμαις, μήτε ἐν τοῖς γενεθλίοις τῶν ἁγίων μαρτύρων, καθ' ὅλην τὴν τεσσαρακοστὴν, διὰ τελείας θυσίας ἐπιτάττει πανηγυρίζειν, εἰ μήπου συνέλθοιεν ἡμέρᾳ σαββάτου ἢ κυριακῆς· καὶ εἰ τῶν μαρτύρων τὰς μνήμας ἀθέμιτον ἐν ἡμέραις νηστίμοις ἐπιτελεῖν, σχολῇ γε δή που τῶν ἄλλως ἀποιχομένων, εἰμὴ ἐν σαββάτῳ καὶ μόνῳ.

Ὁ δὲ νθ', οὐδὲ γάμους, οὐδὲ γενέθλια τελεῖν ἐν τῇ τεσσαρακοστῇ συγχωρεῖ.

Ὅπως ἀποδεκάτωσις τοῦ ὅλου χρόνου ἡ τεσσαρακοστὴ λέγεται, καὶ διὰ ποίας αἰτίας τελεῖται ὅσα ἐν αὐτῇ τελεῖται.

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη καὶ τὰς τούτων αἰτίας, ὡς οἷόν τε, δήλας θεῖναι τοῖς ἀγνοοῦσιν· ἄγνωμον γὰρ ἐκείνων φθονῆσαι τοῖς βαθυτέρας ἐφιεμένοις γνώσεως, ἃ τοὺς πολλοὺς ῥᾳθυμίᾳ διαπέφευγε γνώμης.

Ἅπας ὁ παλαιὸς νόμος τοῖς ὁρατοῖς ἐκπαιδεύειν εἰώθει τὴν τῶν ἀοράτων κατάστασιν, καὶ τοῖς σωματικοῖς τῶν πνευματικῶν πράγματεύεσθαι τὴν διόρθωσιν· πρὸς δὴ τοῖς ἄλλοις, καὶ τὰς τῶν ὑπαρχόντων δεκάτας τῷ Θεῷ καθιεροῦν ἐτησίως τοῖς παλαιοῖς προσετέτακτο· τὰ δὲ τυπικῶς παρ' ἐκείνοις τελούμενα, μυστικῶς ἡμῖν ἐκλαμβάνεται. Ἡ οὖν θεία τῶν Ἀποστόλων λογὰς, μὴ καταλύειν, ἀλλ' ἀναπληροῦν κἂν τούτῳ τὸ ἐνδέον ἐγνωκότες τοῦ νόμου, οὐ τῶν ἐπικαίρων πραγμάτων, ἀλλὰ τῶν ἡμερῶν τῆς ζωῆς ἡμῶν ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς, τὰς δεκάτας καθιεροῦν τῷ Θεῷ τεθεσπίκασιν, ὡς ἂν

διὰ τῆς ἐν αὐταῖς σπουδῆς καὶ θερμοτέρας μετανοίας, τὰ παρ' ὅλον τὸν ἐνιαυτὸν τῆς ψυχῆς ἀῤῥωστήματα, σὺν Θεῷ βοηθῷ, δυνηθείημεν ἐξιάσασθαι· τὸ δέκατον δὲ τοῦ ἐνιαυτοῦ, τὰς τῶν νηστειῶν ταύτας ἡμέρας εἶναι φαμέν. Αἱ γὰρ ἑπτὰ τούτων ἑβδομάδες, χωρὶς τῶν σαββάτων καὶ κυριακῶν, ἡμέραι γίνονται πέντε πρὸς ταῖς τριάκοντα· προστιθεμένου δὲ καὶ τοῦ μεγάλου σαββάτου, καὶ τοῦ ἡμίσεος τῆς λαμπρᾶς καὶ φωτοειδοῦς νυκτὸς, ἡμέραι γίνονται λς'. καὶ ἡμίσεια, τὸ ι'. ἀκριβῶς οὖσαι τῶν τξε'. τοῦ ἐνιαυτοῦ ἡμερῶν· τῶν γὰρ τριακοσίων τὸ δέκατον, τὰ τριάκοντα, καὶ τῶν ξ'. τὰ ς', καὶ τῶν ε'. τὸ ἥμισυ. Ἀλλὰ καὶ ἕτερόν τι μυστικὸν ἐμφαίνει θεώρημα ὁ τριακοστὸς ἕκτος οὗτος ἀριθμός· τρίγωνον γὰρ ὄντα φασὶν οἱ περὶ ταῦτα ἐσχολακότες, καὶ εἰς σχῆμα τετραγώνου καὶ κύκλου 1) μεταβάλλειν. Ὁ γὰρ μόνος τέλειος ἐν μονάσιν ἕκτος 2) ἀριθμὸς, πρὸς αὐτὸν αὐτὸς πολυπλασιαζόμενος, τοῦτον τοιοῦτον ἀπογεννᾷ. Διὰ μὲν οὖν τοῦ τριγώνου, ἡ τρισυπόστατος θεαρχία δηλοῦται, διὰ δὲ τοῦ τετραγώνου, ἡ πρὸς αὐτὴν ὀρθὴ πίστις, καὶ πάγιος· ἑδραῖον γὰρ καὶ ἀεὶ ὡσαύτως ἑστὼς τὸ σχῆμα τοῦ τετραγώνου, ταῖς ἰσομέτροις γωνίαις τῶν πλευρῶν ἐρειδόμενον· ὁ δὲ κύκλος τῶν ἀρετῶν ἐμφαίνει τὴν πρὸς ἑαυτὰς κυκλικὴν περίοδον. Ἐπειδὴ γὰρ ταῦτα προσοικειοῖ τῷ Θεῷ, ἥ τε ὀρθὴ περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τῶν ἐντολῶν τήρησις, διδάσκει σε ὁ ἀριθμὸς καὶ ἐν τῇ πίστει τῆς ἁγίας Τριάδος ἑδραῖον εἶναι καὶ ἀμετάθετον, καὶ τὸν κύκλον τῶν ἀρετῶν μὴ ἐν παρέργῳ τιθέναι, ἀλλὰ καὶ ἀμφότερα ὡς ἀπαρχὴν τοῦ ὅλου ἐνιαυτοῦ προσκομίζειν Θεῷ, ἐν τῷ τῆς νηστείας μάλιστα καιρῷ. Ὁ τοίνυν τῆς σωτηρίας ἡμῶν ἄνωθεν βασκαίνων ἐχθρὸς καὶ πολέμιος, ὁρῶν ἡμᾶς περὶ πλείονος τὴν ἀρετὴν ποιουμένους, τῶν τῆς κακίας εἰδῶν ὄντων πλειόνων, καὶ τὰ ἐν ἡμῖν αὐτοῦ σκεύη ὡς λύμην ψυχῆς ἄντικρυς ἐκβάλλειν διεγερθέντας, τὰ ὅπλα καθ' ἡμῶν αἴρει μεθ' ὑπερηφάνου παρασκευῆς, καὶ οἷα φυγάδας ἐπανάγειν πειρᾶται, καὶ ὡς δραπετευόντων ἀντιλαμβάνεται, ὑπείκειν αὐτῷ κελεύων καὶ μὴ ἀφηνιᾷν, μηδὲ ταῖς πονηραῖς ἀποτάττεσθαι συνηθείαις, ἀλλὰ τοῖς

1) τετράγωνον καὶ κύκλον, Κ. — 2) ἓξ Β.

εἰωθόσιν ἐγκαλινδοῦσθαι πάθεσιν· φιλεῖ γὰρ ὡς ἐπίπαν ὁ πονηρὸς, τοῖς ἐπειγομένοις τῶν παθῶν ἐλευθερωθῆναι, μανικώτερον ἐπιτίθεσθαι, καὶ σφοδρστέραν τῶν παθῶν ὑπανάπτειν τὴν φλόγα, ἑαυτὸν τοῖς ὅλοις ἀντιτιθεὶς, ἵνα ψυχῆς ἀνδρίαν, πειρασμῶν κρατήσῃ περιουσίᾳ, τοῦ Θεοῦ τοῦτο συγχωροῦντος, ὅπως οἱ δόκιμοι φανεροὶ γένωνται, καὶ δείξῃ τοὺς ἀρίστους ἡ πάλη, καὶ ταπεινοφρονεῖν διδαχθῶμεν, καὶ ἡμῖν αὐτοῖς μὴ θαῤῥεῖν, καὶ τὴν κακίαν τελέως μισήσωμεν, ἐναργέστερον καταγνόντες αὐτῆς τὸ φονικὸν ὁμοῦ καὶ ἀπατηλὸν καὶ ἐξάγιστον. Ἐναργὴς δὲ τῆς τοῦ πονηροῦ σκαιότητος εἰκὼν, καὶ ὁ πάλαι τὸν Ἰσραὴλ ὑποχείριον ἐσχηκὼς Φαραώ· τοῦτον γὰρ κἀκεῖνος παραπλησίως τῇ χρονίῳ δυσχεράναντα δουλείᾳ, καὶ τὴν ἐλευθερίαν ποθοῦντα, τοῖς χαλεπωτέροις τῶν ἔργων τηνικαῦτα μᾶλλον ἐξέθλιβε, καὶ τῇ πλινθουργίᾳ συγκεκυφότα, τὸ τῆς δουλείας εἰσάπαν παρεσκεύαζε σχῆμα δεικνῦναι· ὡς δὲ καὶ οὗτος πρὸς τὴν γῆν ἡμᾶς καὶ τὰ γήϊνα συνωθεῖ κεχηνέναι, καὶ τούτοις ὅλον προσέχειν τὸν νοῦν, σὺν πάσαις ὁμοῦ ταῖς ὁρωμέναις καὶ νοουμέναις αἰσθήσεσι, καὶ πρὸς τὰ ὑπὲρ αἴσθησιν ὅλως μὴ ἀνανεύειν, ὑπόφορον ἐκεῖνος εἶχε τὴν Αἴγυπτον, ἥτις ἑρμηνεύεται σκότος· ἄρχων καὶ οὗτος τοῦ νοητοῦ προσηγόρευται σκότους· ἐκείνῳ διὰ σπουδῆς ἦν τῶν παίδων φθείρειν τὰ ἄῤῥενα, καὶ τούτῳ τοὺς ἐῤῥωμένους τῶν λογισμῶν. Ταύτῃ τοι καὶ ὁ βασιλεὺς ἡμῶν Χριστὸς, τὸν πρὸς αὐτὸν πόλεμον ἡμᾶς ἐκπαιδεύων, καὶ τὴν ἀγωνίαν εὖ μάλα διατιθέμενος, νηστείᾳ καθοπλίζει καὶ προσευχῇ, καὶ κατανύξει καρδίας, (τὰ γὰρ ἐναντία τούτων ἐξάπτειν καθ' ἡμῶν τὴν τῶν δαιμόνων πέφυκε λύτταν, οὐχ ἧττον ἢ τὰ ἐλαιώδη τὸ πῦρ), καὶ οὕτω τοῖς πολεμίοις ὁμόσε χωρεῖν ἐπιτρέπει, αὐτὸς στρατηγῶν, αὐτὸς ὑπερμαχῶν, προασπίζων, προπολεμῶν, τοὺς ἀντιπάλους αὐτὸς νικῶν, καὶ τὸ βραβεῖον ἡμῖν χαριζόμενος· οἷα σου τῶν κριμάτων ἡ ἄβυσσος! μειζόνων ἢ καθ' ἡμᾶς θαυμάσαι πραγμάτων, δημιουργὲ Κύριε. Καθάπερ οὖν οἱ στρατιῶται, διημερεύοντες ἐν τῇ μάχῃ, μόλις πρὸς ἑσπέραν διακριθέντες, τροφῆς μέμνηνται, σχέδιον ἐξ ἑώλων βρωμάτων παρατιθέμενοι τράπεζαν, πρὸς τὸ μὴ παντάπασι τὰς αὐτῶν ἐξασθενῆσαι δυνάμεις, ἐπεὶ καὶ μέλλουσιν αὖθις τῆς ὑστεραίας

δμόσε τοῖς βαρβάροις ἰέναι, (βουθυτεῖν γὰρ ἢ σφαγιάζειν τοῖς πολεμοῦσιν οὐκ ἔξεστιν, ὅπερ τοῖς ἐπ' ἀδείας πανηγυρίζουσιν ἴδιον), οὕτω καὶ ἡμεῖς τὸ καινὸν ἡμῶν σφάγιον θύοντες σαββάτου καὶ κυριακῆς, ἡνίκα τοῦ τόνου τῆς πολλῆς ὑποχαλῶμεν ἀσκήσεως, ἐξ ἐκείνων τῶν προτεθυμένων καὶ προηγιασμένων μερίδων, ὅσον ἀποζῆν πρὸς ἑσπέραν σιτούμεθα, νόμῳ πενθούντων καὶ πολεμούντων ὁμοῦ· μᾶλλόν γε μὴν τῶν ἁγίων ἐκείνων μεταλαμβάνοντες σαρκῶν, νευρούμεθα, πρὸς τὸ τοῖς ἐχθροῖς αὖθις εἰς χεῖρας ἐρρωμένως ἰέναι· πνευματικῷ γὰρ ὁπλίτῃ πνευματικὴ τροφή, σύστασις· διὰ δὴ τοῦτο, μυστικώτερον πρὸς ἑσπέραν, τὴν τῶν προηγιασμένων τελεῖν ἐπιτετράμμεθα λειτουργίαν.

Ὅπως οὐ τελεῖται μνημόσυνον τῶν ἀποιχομένων ἐν τῇ τεσσαρακοστῇ, εἰ μὴ τὸ σάββατον.

Πάλιν οἱ πρὸς μάχας ἔχοντες, περὶ τῆ ψυχῆ δεδιότες, καὶ τὸν ὑπὲρ αὐτῆς θέοντες 1), ὁσίαις αὐτίκα τιμᾷν εἴργονται, τοὺς ἔργον μαχαίρας γεγενημένους, καὶ εἰ τῶν τιμιωτάτων ἢ φιλτάτων αὐτοῖς ὄντες τυγχάνοιεν, τοῦ πάθους κρείττονος ὄντος, ἢ κατ' ἀναίρεσιν τῶν νεκρῶν, μὴ ἄρα τοῦ πολέμου πανταχῇ περιῤῥέοντος, καὶ τοῦ κινδύνου ἐπηρτημένου, τῇ περὶ τὸν κείμενον ἀσχολίᾳ καιρίως 2) βληθῶσι, καὶ τῷ νεκρῷ συγκατενεχθῶσι. Πρὸς τὴν νοητὴν οὖν καὶ ἡμᾶς τῶν νεκρούντων παθῶν παρατταττομένους μάχην, αὐτὰ θάπτειν ἀνάγκη πειρᾶσθαι, οὐ τῶν σώμασιν ἀπογινομένων ταῖς μνήμαις προσέχειν τὸν νοῦν, ὡς τὸ τοῦ Κυρίου ἐπίταγμα· ἐκεῖνοι πεπαυμένοι τοῦ πολεμεῖν, πρὸς τὴν ἀναίρεσιν τῶν ἐσφαγμένων, καὶ τὰς νενομισμένας ποιοῦνται ταφάς· καὶ ἡμεῖς τοῦ συντόνου μεθέμενοι τῆς νηστείας ἐν ταῖς ἱλαρωτέραις τῶν ἡμερῶν, τῶν ἐν ταῖς μνήμαις τῶν ἀποιχομένων μεμνήμεθα τελετῶν.

Ὅπως γάμοι καὶ ἄλλαι τινὲς τοιαῦται παννυχίδες ἐν τῇ μ'. οὐ τελοῦνται.

Τί δὲ γάμων μέλλει καὶ ὑμεναίων τοῖς δόρυ κινοῦσιν, ἢ ἑορ-

1) κίνδυνον, προστίθησιν οἰκοθεν Γ. ἐν περισελίδῳ. — 2) κυρίως.

ταῖς ἑφεῖται χαίρειν καὶ πανηγύρεσι; πολλοῦ γε καὶ δεῖ· οὐ δῆτα οὐδ' ἡμῖν ἐν τῇ πρὸς τοὺς δαίμονας πάλῃ, τοιούτου τινὸς μέλλειν ἀσφαλὲς καὶ καθῆκον.

Περὶ τοῦ θαύματος τοῦ διὰ κολλύβων τοῦ ἁγίου Θεοδώρου.

Εἰ γὰρ μαρτύρων μνήμας ἐξῆν ἐν τοῖς τοιούτοις ἑορτάζειν καιροῖς, παντὸς μᾶλλον ἔδει τοῦ καλὸν ἐν μάρτυσι λάμποντος Θεοδώρου τοῦ Τύρωνος, ἐν τῇ πρώτῃ τῶν νηστειῶν ἡμέρᾳ τελεῖν, καθ' ἣν τὸ μηδενὸς ἔλαττον εἰς θαύματος λόγον θαῦμα πεποίηκεν, ἐλέγξας τοῦ παραβάτου τὴν κεκρυμμένην σκαιότητα, καὶ μὴ χρανθῆναι τὸν λαὸν τοῖς ἠλισγημένοις βρώμασιν ἐν ταῖς νηστίμοις ἡμέραις παρασκευάσας, ἀλλ' ἐπισκήψας τῷ τότε ἀρχιερεῖ, τοὺς μὲν κατ' ἀγορὰν εἰς ὠνὴν προκειμένους ἄρτους, χαίρειν ἐᾷν, σῖτον δὲ ἔψειν, καὶ τούτῳ χρωμένους, τὴν τῆς φύσεως ἀνάγκην παραμυθεῖσθαι· ὃ καὶ πεποιηκότες, τὴν ἐπιβουλὴν ἐφυλάξαντο, ἵνα μὴ τῆς ἀρετῆς ἡ κακία κατακαυχήσηται, καὶ τῆς εὐσεβείας ἡ δυσσέβεια περιγένηται· ἀλλ' ἐπειδὴ τῷ τῆς νηστείας σκυθρωπῷ, τὸ γεγανωμένον τῆς ἑορτῆς οὐ συνέβαινε, τῷ ἐπιόντι πρώτῳ σαββάτῳ τὴν εὐποιΐαν πανηγύρει τιμᾷν, ἄριστα θεσμοῖς Πατέρων ἐταμιεύθη.

Διὰ τί πρὸ τῆς τεσσαρακοστῆς μνήμην τελοῦμεν πάντων τῶν πίστει κεκοιμημένων, καὶ τῶν ἁγίων Πατέρων.

Διά τοι τοῦτο πρὸ τῆς εἰσόδου τῶν νηστειῶν, τὸ τῆς ἀπόκρεω σάββατον, τοῖς ἀπ' αἰῶνος κεκοιμημένοις, τὸ δέ γε μετὰ τοῦτο, τοῖς ἁγίοις πᾶσι μνήμη δημοτελὴς ἀφωσίωται· συμπέρασμα ὡς ἂν εἴποι τις τῶν ἐπὶ τούτοις τελετῶν, ὡς μὴ σχολὴν ἐχόντων ἡμῶν πρὸς ἀγῶνας ἤδη χωρούντων πνευματικοὺς, τοιούτοις προσανέχειν.

Διὰ τί δὲ πάλιν μετὰ τὴν Πεντηκοστὴν, τῶν Ἁγίων Πάντων.

Προὔργου τοῖς στρατιώταις μετὰ τὴν τῶν βαρβάρων ἧτταν,

τρόπαιον στῆσαι, καὶ ἐξελεῖν ἀριστεῖα τῷ βασιλεῖ, εἶθ' οὕτως ἐπὶ τὰς τῶν ἀναιρεθέντων ἰέναι ταφάς· καὶ ἡμῖν ἐπιμελὲς, μετὰ τὸν ἐν νηστείᾳ νοητὸν πόλεμον, καὶ τὴν νίκην τῆς Ἀναστάσεως, τρόπαιον τῇ Πεντηκοστῇ στῆσαι, καὶ τῷ νικοποιῷ Χριστῷ ᾆσαι τὰ ἐπινίκια, καὶ οὕτω τοῖς κειμένοις τὸ χρέος ἀφοσιοῦν, μετὰ τὴν συμπλήρωσιν τῆς Πεντηκοστῆς, καὶ μεθ' ἡμέρας ἑπτὰ τῶν Ἁγίων Πάντων πανήγυριν ἐπιτελεῖν, ὑπαρχὴν ὡπανεὶ ποιουμένους τῶν ἑφεξῆς ἑορτῶν τε καὶ μνημοσύνων. Ἀλλ' οὐδ' ἐν ἑορταῖς δεσποτικαῖς ἀποιχομένων μνημόσυνα ποιεῖν ὅσιον, ἢ μνήμας μαρτύρων ἐπιτελεῖν εὐπρεπές· βασιλικῶν γὰρ τελουμένων ἐπινικίων, οὔτε τοὺς πεσόντας ἐν μάχῃ νόμος πενθεῖν, οὔτε δεσποτικοῖς τροπαίοις δουλικὰς ἀριστείας ἀναμιγνύναι· τοῖς μὲν γὰρ δουλικοῖς ἀναμεμίχθαι τὰ τοῦ δεσπότου, τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων, ἀθλοθετοῦντός τε καὶ στεφανοῦντος νικήσαντας· τὰ δουλικὰ δὲ τοῖς δεσποτικοῖς ἐπεισάγειν, τολμηρὸν καὶ ἀνόητον, εἰ μήπου τινῶν ἁγίων, διὰ τὸ περιφανὲς τῆς ἀθλήσεως.

Αὖθίς γε μὴν καὶ καθ' ἕτερον τρόπον τὰ τῆς νηστείας ταύτης θεωρητέον. Ἡμέρας τὸ σύμπαν εἰπεῖν τεσσαράκοντα καὶ ὀκτὼ νηστείαν ἄγειν ἐν τούτῳ τοῦ καιροῦ προσετάγμεθα· τὰς μὲν τεσσαράκοντα, καθ' ἱστορίαν 1) τῆς τοῦ Κυρίου νηστείας, ἣ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἶλε πολέμιον· τὰς δ' ἑπομένας ταύταις ὀκτὼ, κατ' εὐλάβειαν τῶν σωτηρίων αὐτοῦ παθημάτων· ἀλλ' αἱ μὲν, τὸ θεωρητικὸν ἡμῶν ἀνάπτουσι, καὶ πρὸς τὴν μέλλουσαν ὀγδόην καὶ ἀκατάληπτον 2) ἀναπτεροῦσιν ἡμέραν, φωτὸς υἱοὺς καθιστᾶσαι, καὶ τὴν υἱέσι πρέπουσαν ἀγάπην σὺν εὐλαβείᾳ πορίζουσαι· αἱ δὲ, τῶν παθῶν ἡμᾶς περιεῖναι ποιοῦσι, καὶ τοῦ σώματος, καὶ τῶν γηΐνων κουφίζουσι, καὶ ἀπανιστᾶσι τὸν στοιχειωτικὸν ἐντιθεῖσαι φόβον, δημίου δίκην τὸ συνειδὸς ἡμῶν στίζοντα τῇ μνήμῃ τῶν ἐπταισμένων, καὶ τῶν ἐπηρτημένων τοῖς οὕτω βιοῦσι κολάσεων, κατὰ τὸ φάσκον λόγιον, Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ 3). Ἐπεὶ δὲ ἡ τεσσαρακοστὴ ἐκ δεκάδων σύγκειται πάντως τεσσάρων, αὐτὴν

1) εἰς τύπον τῆς τοῦ Κυρίου B. — 2) ἀκατάλυτον ε. — 3) Παροιμ. ΙΔ', 16.

ἤδη τὴν τετράδα θεωρητέον, ὅπως εἴτε ἐν μονάσιν, εἴτε ἐν δεκάσιν εὑρίσκεται. Ἐπὶ κακώσεως μὲν ὡς ἐπίπαν καὶ τιμωρίας λαμβάνεται παρὰ τῇ Γραφῇ· ἐνιαχοῦ δὲ καὶ θείων ἐκβάσεις ὑπογράφει πραγμάτων· ἡμέρας καὶ γὰρ μ΄. καὶ νύκτας ἴσας ὄντος τοῦ Θεοῦ, ὁ μέγας τῇ γῇ κλύδων ἐπῆλθε· πρὸς ὃ καὶ ἡμεῖς ἀφορῶντες παράδειγμα, τῷ ἴσῳ τοῦ κατακλυσμοῦ τῶν ἡμερῶν ἀριθμῷ κατανυσσόμενοι καὶ πενθοῦντες, τοῖς ὕδασι τῶν δακρύων τὸ τῆς ἁμαρτίας διαγράφομεν ἄγος 1). Τετρακόσια ἔτη τῷ Ἀβραὰμ ὁ Θεὸς κεχρημάτικε, τὸ ἴδιον αὐτοῦ γένος δουλωθῆναι πρὸς τῶν Αἰγυπτίων, καὶ κακωθῆναι, καὶ μυρίαν αἰκίαν ὑπενεγκεῖν, ὃ δὴ καὶ εἰς ἔργον ἐκβέβηκεν. Ἐν ἡμέραις οὐ πλείοσιν ἢ μ΄. ταῖς θεηλάτοις ἐκείναις πληγαῖς ὁ μέγας Μωσῆς τὴν Αἴγυπτον μαστίξας, τῆς τοῦ Φαραὼ δουλείας τὸν Ἰσραὴλ ἠλευθέρωσεν. Ἡ μυρία εὐεργετηθεῖσα κατὰ τὴν ἔρημον γενεὰ, καὶ διὰ μυρίων ἐπιδειξαμένη τὸ ἀχάριστον, τῷ τεσσαρακοστῷ ἔτει, διὰ τὸ ἀνήκεστον, αὐτόθι πᾶσα κατέστρωται· ἄκρατα γὰρ ἦν μεθύουσα τὸ τῆς Αἰγύπτου πολύθεον, εἰς κόρον τούτου πιοῦσα, καὶ διὰ τέλους εἰς τὸν εὐεργέτην Θεὸν ἐξυβρίζουσα.

Ἀλλ' οὐδ' ὁ μέγας ἐν τῷ Δευτερονομίῳ Μωσῆς ἀξιοῖ πλείους τῶν τεσσαράκοντα παίειν τὸν πληημελήσαντα, προσθήκην γὰρ ὕβρεως τὴν προσθήκην τῆς μάστιγος τῷ πάσχοντι ἐλογίζετο 2)· ταύτῃ τοι καὶ τοῖς Ἰουδαίοις ἤρεσε, μιᾶς δεούσης ταύτας ἐπάγειν, ἵνα μὴ τὸν τεσσαρακοστὸν ἐθελήσαντες πληροῦν ἀριθμὸν, καὶ τῇ ῥύμῃ τῆς χειρὸς περιττοτέρας ἐπενεχθείσης πληγῆς, καὶ ἄκοντες τὸν τυπτόμενον ἀτιμάσωσι· παρὸ καὶ ὁ μέγας Παῦλος πεντάκις τεσσαράκοντα παρὰ μίαν εἰλήφει.

Ἠνίττετο δὲ ὁ νόμος, ὡς αἱ μάστιγες ἁμαρτανόντων ἄχρι τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως τὸ ἐνεργὸν εἶχον, περαιτέρω δὲ οὐ προέβησαν, δωρησαμένου πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτὸν διὰ τοῦ βαπτίσματος ἐλευθερίαν τῶν ἐπὶ τοῖς πεπλημμεληκόσι κολάσεων. Τὸν γὰρ καθ' ἡμᾶς τοῦτον αἰῶνα εἰς ε΄. διαιροῦντες καιροὺς οἱ τοῦ Πνεύματος, α΄. μὲν εἶναί φασι καθ' ὃν ἐν τῷ παραδείσῳ διάγων ἦν

1) ἄλγος Κ. — 2) Δευτ. ΚΕ΄, 3.

Ἀδάμ· ϛ΄. τὸν ἐπὶ Νῶε· γ΄. ὃν ὁ μέγας Ἀβραὰμ τῇ τῆς εὐσεβείας περιήγαγεν αἴγλῃ· τὸν δ΄. σὺν τοῖς λοιποῖς προφήταις ὁ μέγας ἐπλήρωσε Μωσῆς· ε΄. μέν τοι καὶ τελευταῖον, ἡνίκα ἡ τῶν ἀγαθῶν τελευταία φορὰ, ἡ τοῦ Σωτῆρος, φημὶ, ἐνανθρώπησις, ὤρεξε παντὶ τῷ κόσμῳ τὴν ἀνακαίνισιν· ἐφ' ἑκάστου γὰρ τούτων τῶν καιρῶν καὶ νόμος ὁ προσήκων ἐδίδοτο, τῷ μὲν Ἀδὰμ ὁ φυσικὸς, ὁ τῆς συνειδήσεως, ὃν ἠθετηκὼς, εὐθύνας εἰσεπράχθη τῆς παραβάσεως· ὁ τῆς κρεωφαγίας καὶ οἰνοποσίας τῷ Νῶε· τῷ Ἀβραὰμ, ὁ τῆς περιτομῆς· ὁ γραπτὸς νόμος ἐκ θείας ἐπιῤῥοσύνης διὰ Μωσέως πᾶσι τοῖς ἐξ ἐκείνου περὶ πλείστου ποιουμένοις τὸ εὐσεβεῖν. Ὅ γε μὴν Σωτὴρ τελευταῖον, τὸ τῆς χάριτος Εὐαγγέλιον, καὶ τὴν δαψιλῆ χορηγίαν τοῦ Πνεύματος ἡμῖν ἐδωρήσατο· τὸν δὲ τελευταῖον τοῦτον καιρὸν αἰνίττεται καὶ τὸ, Πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου 1), ἐν τούτῳ γὰρ τῆς τε τῶν δαιμόνων, καὶ τῆς τῶν παθῶν ἐλευθερωθέντες δουλείας, τῆς διὰ τοῦ μεγάλου θύματος ἀπηλαύσαμεν σωτηρίας.

Τούτους, οἶμαι, τοὺς ε΄. καιροὺς ὑποσημαίνει καὶ ἡ παρὰ τοῦ μισθωσαμένου τοὺς ἐργάτας εἰς τὸν αὐτοῦ ἀμπελῶνα, ὃς ἐξῆλθεν ἅμα πρωῒ περὶ τρίτην ὥραν, καὶ ϛ΄. καὶ θ΄. καὶ ια΄. καθ' ἣν ἐμισθώσατο τὰ ἔθνη ὁ Χριστὸς κεκλημένα πρὸς ἐργασίαν τῶν πνευματικῶν ἐντολῶν, ὅτε καὶ τῶν ἔργων ὁ μισθὸς πρῶτον τοῖς ὑστέροις ἀποδίδοται· πρῶτοι γὰρ ἡμεῖς τὴν ἀναγέννησιν κομιζόμεθα, οἷς ἐτύθη Χριστὸς, καὶ ἀναστὰς τὸ ἅγιον εἰς ἀνακαίνισιν ἡμῶν ἐνεφύσησε Πνεῦμα. Ἐπεὶ τοίνυν ἐνηνθρώπησε μὲν τὸν πέμπτον καιρὸν ὁ Σωτὴρ, ἀνέστη δὲ τῇ ὀγδόῃ ἡμέρᾳ, (μετὰ γὰρ τὴν ἑβδόμην, ἤτοι τὸ σάββατον, ὀγδόη πάντως ἡ μετ' ἐκείνην Κυριακὴ), εἰ πεντάκις τὸν η΄. μετρήσεις, εὑρήσεις τὸν μ΄. ὃν οὐχ ὑπερβαίνουσιν αἱ μάστιγες τῶν ἁμαρτανόντων· εἰ δ' ὑπερβήσονταί, φησιν, ἀσχημονήσει ὁ μαστιζόμενος, ἀσχήμων γὰρ ὄντως καὶ ἄτιμος ὁ μαστιζόμενος ἔτι, λέγω δὴ μετὰ τὴν χάριν τῆς εἰρημένης ἀφέσεως· ἢ γὰρ ὡς μὴ πιστεύσας μαστίζεται, ἢ ὡς μετὰ τὴν ἄφεσιν τοῖς προτέροις περιπεσὼν ἁμαρτήμασιν 2).

1) Ἔξοδ. ΙΓ', 18. — 2) τὰ ἀπὸ τοῦ, Ἐνίττετο δὲ ὁ νόμος, μέχρι τοῦ, περιπεσὼν ἁμαρτήμασιν, οὐ κεῖται ἐν τοῖς ὑπ' ὄψιν Κώδιξιν, ἀλλὰ παρὰ Β.

Τὶ δ' ἂν εἴποις περὶ τῆς δουλευούσης νόμῳ φύσεως γυναικὸς, καὶ καθ' ἡδονὴν ἐπιθυμίας σαρκὸς κυούσης, καὶ εἰς φῶς προαγούσης τὸ κύημα; Ἆρ' εἰς ἐλάττους τῶν μ'. ἡμερῶν, καὶ τῆς τῶν πιστῶν κοινωνίας καὶ τῶν ἁγιασμάτων ἐκβάλλεται; οὐ δῆτα· διὰ τοσούτων γὰρ ἡμερῶν καὶ τοῦ προγονικοῦ μιάσματος, καὶ τῆς πρὶν ἡδονῆς ταύτην ἐκκαθαίρεσθαι ὁ τοῦ Μωσέως νόμος διακελεύεται. Ἀλλὰ τοῦ ἀριθμοῦ τούτου ἐν τῷ καλοῦντι τοῦ καιροῦ ὁ μέγας οὗτος Μωσῆς ἐπιλέλησαι; πολλοῦ γε καὶ δεῖ· δι' ἡμερῶν γὰρ μ'. νηςείᾳ τὴν σάρκα ἐκτήξας, καὶ ὥσπερ τι νέφος λεπτύνας, ἐλευθερίως τῷ νῷ παρέσχε τὰς θείας ἐμφάσεις εἰσδέξασθαι· καὶ πολλῷ γε βέλτιον τῶν λιθίνων πλακῶν, ἃς ὑεόθεν λαβὼν, μετ' οὐ πολὺ θυμῷ δικαίῳ συνέτριψε· διὸ καὶ δευτέρας δεηθεὶς νομοθεσίας, καὶ τὸν λαὸν τῆς ὀργῆς τοῦ Θεοῦ παραιτούμενος, οὐκ ἐλάττους τῶν προτέρων ἡμέρας νενήστευκεν. Ὡς δὲ καὶ ἡμεῖς τὰς πεπονηκυίας τῇ τῆς ἁμαρτίας ἐπιβουλῇ τῆς καρδίας ἡμῶν πλάκας, τὰς ἐντολὰς ἀπωσαμένων τοῦ νόμου, ἀπειλικρινημένας αὖθις κτισθῆναι, καὶ τὸν τοῦ Θεοῦ νόμον αὐταῖς ἐγχαραχθῆναι σπουδάζομεν διὰ τῆς τεσσαρακονθημέρου κακοπαθείας. Οὐδὲ τοῦτο οἶμαι τοῦ ἀνδρὸς πόῤῥω βάλλειν τῆς ὑποθέσεως· εἰς τρεῖς γὰρ ἐτῶν τεσσαρακοντάδας, Μωσῆς οὗτος ὁ πάνυ βεβιωκὼς, τὴν μὲν, περὶ τὴν ἀνάληψιν τῶν ἐν Αἰγύπτῳ παθημάτων κακοπαθῶν διετέλεσεν· ἡ δὲ, τοῦτον εἶχε περὶ τὴν θεωρίαν τῶν ὄντων, ἐν σχήματι ποιμένος, πολλοῖς ἱδρῶσι φιλοσοφοῦντα· τῇ δὲ ἑξῆς, τὴν τοῦ πλήθους ἡγεμονίαν μυρίοις διεχείριζε πόνοις 1).

Τῷ δὲ ἐκ Θέσβης προφήτῃ, οὗ τί ἂν εἴποις θαυμασιώτερον, τὴν Ἰεζάβελ ἀποδιδράσκοντι, τί ἄλλο κράτιστον ἐν τοῖς τοιούτοις, καὶ προφήτῃ μάλα πρὸς τρόπου νενόμισται; οὐ τὸ ἀνυσιμώτατον τῆς νηστείας φάρμακον; Ἀλλὰ τὸν ἀριθμὸν οὐκ εὐκαίρου τουτονὶ παριέναι, μεθ' ὃν καὶ τῆς μεγάλης ἐκείνης θεωρίας ἠξίωτο· ἀνθ' ὧν καὶ ἡμῖν τὴν Ἰεζάβελ ἐκ δυοῖν ποδοῖν, ὡς εἰπεῖν, ἀποδιδράσκειν προσῆκεν· αὕτη γὰρ πένθους ἰσχὺς

1) ἀλλὰ καὶ τῶν τεσσάρων οὐ πλείους ἄγγελοι τὰς συμφορὰς ἐκείνας τῷ Ἰὼβ μεμηνύκασι. 1375.

ἑρμηνευομένη, τὴν τὸ ἰσχυρὸν ἡμῖν πένθος προξενοῦσαν αἰνίττεται ἁμαρτίαν, καὶ τῷ ψυχικῷ ἀπειλοῦσαν παραδώσειν θανάτῳ· οὕτω καὶ τῶν ἱστοριῶν ἔστιν ἃς ὁ πνευματικῶς ἀναπτύσσων οὐκ ἀμοιρήσει παιδείας, ἦθος ἀποχρώσης ῥυθμίσαι. Πολλὰ καὶ τῷ Σωτῆρι τοῦ ἀριθμοῦ τοῦδε ἐμέλησε· τὴν γὰρ τριττὴν ἡμῶν γέννησιν, τὴν ἐκ σωμάτων, φημὶ, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως, καὶ αὐτὸς οἰκονομίᾳ μείζονι μετιὼν, δι' ἡμερῶν ἑκάστην τεσσαράκοντα ὥφθη τετελεκώς. Μετὰ γοῦν τὸν ἀπόῤῥητον ἐν σαρκὶ τόκον, ἡμέρᾳ τεσσαρακοστῇ τῷ ἱερῷ προσενήνεκται, τὴν ἐμὴν ἀφοσιούμενος κάθαρσιν· οὐδὲ γὰρ αὐτὸς ταύτης ἐδεῖτο, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· μετὰ γοῦν τὸ βάπτισμα μ'. ἡμέρας νηστείᾳ καθοπλισάμενος, τοῦ πολεμίου κατεστρατήγησεν· οὐ γὰρ ἠξίου νηστεύων ὑπερβάλλειν τὰ ἐσκαμμένα, καὶ τοῖς θείοις ἐκείνοις ἀνδράσι πάλαι διηνυσμένα, ἵνα μὴ τὸν ἄνθρωπον ὑποκρίνασθαι νομισθείη. Διὰ τοσούτων δὲ μετὰ τὴν Ἀνάστασιν, εἰς τὸ ὑπερουράνιον ἄνεισιν ἱερὸν, καθαρὰν τὴν ἡμῶν φύσιν ἐν ἑαυτῷ παριστὰς τῷ Θεῷ καὶ Πατρί. Ἀλλὰ καὶ τὴν εἰς Αἴγυπτον φυγαδείαν, τὴν νοητὴν, φημὶ, κακοπάθειαν, ὡς κάλλιστα διαθέμενος, τετραετὴς ἐκεῖθεν τὸ κατὰ σάρκα ἐπάνεισιν 1). Ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, συμβολικῶς τούτοις πᾶσιν ἄν τις ἀποχρώντως τεκμήραιτο, ὡς συμπάσης τῆς ὑπ' οὐρανὸν, καὶ τῶν ἐν αὐτῇ ζώων τῷ ἀνθρώπῳ τὴν ἡγεμονίαν ὁ Θεὸς ἐγχειρίσας, οὐκ ἠξίου τὴν τοῖς ἀλόγοις βάσιμον ταύτην μόνην οἴκησιν ἔχειν καὶ τὸν κατ' εἰκόνα ἐκείνου γενόμενον· παρὸ καὶ ἰδίᾳ πήγνυσιν αὐτῷ πάντων ὕστατον ὡσανεὶ βασίλεια τὸν θεῖον Παράδεισον, τρυφῆς ὄντως χωρίον, καὶ ψυχαῖς φιλοθέοις κατάλληλον ἐνδιαίτημα· ἵν' ὁ ἄνθρωπος ἐν τούτῳ διαιτώμενος, ἐκεῖθεν, οἷά τις Θεὸς, τοῖς ὑπὸ χεῖρα τὰ προσήκοντα χρηματίζῃ· διὰ γὰρ τοῦτο καὶ ἐκ δύο πολὺ τῇ φύσει διεστηκότων, ἀλόγου καὶ λογικῆς οὐσίας, συντέθειται, ἵνα λόγῳ κατακοσμῆται τὰ ἐπίγεια, ὥς γε δὴ ταῖς ἀγγελικαῖς δυνάμεσι τὰ οὐράνια· ἀλλὰ τῆς μὲν δοθείσης ἐντολῆς πρὸς

1) εἰς δ'. ἡμέρας Λάζαρος τοῖς τοῦ ᾅδου μυχοῖς κρυπτόμενος ἦν. Γ. ἐν περισελίδῳ.

τὸ παρεωραμένον αὐτῷ μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασυρείσης, τῆς δὲ κακίας ἐπιφυείσης, καὶ ταύτῃ τὴν φύσιν ἀλλοιωθείς, εἰς φθοράν τε καὶ τὸν κτηνώδη βίον ἀθλίως μεταπεσών, τὸ κοινὸν καὶ τοῖς ἀλόγοις ἠλλάξατο καταγώγιον· ὑπερόριος δὲ τῆς αὐτῷ δοθείσης 1) ἁβρᾶς ἑστίας γενόμενος, οὐ γὰρ ἦν θέμις τὸ τὴν φθορὰν μὴ προσιέμενον χωρίον οἰκεῖν τὸν μετεκδύντα 2) τὸ φαιδρὸν τῆς ἀφθαρσίας ἱμάτιον, πρὸς τὸν σύνθετον τουτονὶ καὶ ὁμοφυᾶ κόσμον εἰκότως ἀπεωθεῖτο, ὅθεν δὴ καὶ προσείληπτο· ᾧ οἷα συγγενεῖ τῆς οἰκείας σκαιότητος μεταδοὺς, ματαιότητος ὑποχείριον, καὶ φθορᾶς καὶ κακώσεως τόπον εἰργάσατο· τοιοῦτος δὲ πάλιν καὶ οὑτοσὶ καταστάς, δίκην ἐνδίκως ὥσπερ λαγχάνει πρώτῳ τῷ τὴν φθορὰν αὐτῷ προξενήσαντι, φροντίσι, καὶ λύπαις, καὶ μερίμναις βιωτικαῖς, οἷόν τισι τριβόλοις, σκύτους πικρότερον αὐτὸν αἰκιζόμενος· ὡς γὰρ πῦρ, καὶ σκώληξ, καὶ ἰὸς, εἰς φῶς προϊόντα, τοῖς γεννησαμένοις πρώτοις ἐπιβουλεύει, οὕτω καὶ ἡ κακία τῷ κόσμῳ ἐπεισελθοῦσα, ἀνθρώπῳ πρώτῳ διὰ τούτου λωβᾶται, τῷ ταύτης δημιουργῷ. Διὰ πάντων τοίνυν ἡμῖν ἐπεμβαίνοντα 3) τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον τουτονὶ, καὶ τῆς φθορᾶς ἡμῖν κοινωνήσαντα κόσμον, ἡ θεωρία τῶν ἱστοριῶν ἐλέγχουσα, διὰ πράξεως ὑπογράφει τῇ τετραπλῇ τῶν ἡμερῶν δεκάδι, κακοπαθεῖν ἡμᾶς ὑφηγησαμένη τε καὶ νομοθετήσασα, ὡς ἂν τοῦτον καὶ ἄκοντες ὡς ἀτεχνῶς μάστιγα φεύγωμεν· οὐ μὴν ἀλλὰ καὶ ψυχῆς ἄντικρυς θάνατον, τοῖς πρὸς αὐτὸν ἀεὶ κεχηνόσι· πρὸς δὲ τὴν ἀληθινὴν ἡμῶν σπεύδωμεν ἐπανιέναι πατρίδα, φημὶ δὴ τὸν παράδεισον, τοῦ μὲν ἑβδόμου τοῦδε καὶ φθαρτοῦ αἰῶνος πολὺ τῇ φύσει διεστηκότα, προσήκοντα δὲ κατ' ἄκρας τῇ μετὰ τοῦτον ἡμᾶς ἐκδεξαμένῃ τοῦ ὀγδόου μακαριότητι· φυτοῖς γὰρ ἐτεθήλει θαυμαστῆς φύσεως, καρπὸν βελτίω προϊσχομένοις, ἤπερ τὰ πρότερα, καλὸν μὲν ἰδεῖν, καλλίω δὲ χρήσασθαι· ἄῤῥητον γὰρ αὐτῷ τὸ τῆς ὥρας καὶ ἡδονῆς περιῆν.

Ἐνταῦθα πάλαι, καθάπερ ἔφην, ὁ Ἀδὰμ ἐπιχωριάζων, ἐπίδοξος ἦν, εἰ τὴν ἐντολὴν διὰ τέλους τηρήσειε, καὶ τὴν κλη-

1) διωρισμένης, ε. — 2) ἐκδύντα, ε. — 3) ὑπερβαίνοντα, ε.

ρονομίαν ἐκδέξασθαι τῆς ἑτοιμασθείσης αὐτῷ βασιλείας πρὸ καταβολῆς κόσμου· ταύτης γὰρ οἱονεὶ γυμνάσιον ὁ παράδεισος· τὴν πρόξενον δὲ τῆς φθορᾶς ἡδονὴν πρὸ τῆς ἐντολῆς ποιησάμενος, οὐχ ὅπως ἐκείνης διήμαρτεν, ἀλλὰ καὶ τούτου θείᾳ ψήφῳ ἐκβέβληται· ἡ γὰρ φθορὰ τὴν ἀφθαρσίαν οὐ κληρονομεῖ, καὶ πρὸς τὸν τῆς ἑβδόμης ἐπώνυμον ἐξωστράκισται τουτονὶ κόσμον· ἀλλ᾽ οὐδ᾽ οὕτως ἐλπίδος εἰς ἅπαν διέψευσται· εἰς γὰρ τὴν ὀγδόην ἡ ἐκείνων ἀπόλαυσις τῶν ἀνθρώπων τετήρηται τοῖς θεοφιλῶς καὶ σωφρόνως βεβιωκόσι· διὸ δὴ καὶ τὸ συγκραθὲν ἡμέτερον σῶμα ἐκ τῆς ὑλικῆς ταυτησὶ τετρακτύος, οὗ ταῖς ἀλόγοις ὀρέξεσι τὸ τῆς ψυχῆς καταγοητευθὲν λογιζόμενον, ἡμῖν καὶ πάσῃ τῇ κτίσει τὴν τῆς φθορᾶς ἐμνήστευσε λώβην, ἐφ᾽ ἑκάστου χρὴ τῶν ἡνωμένων αὐτῷ στοιχείων, δι᾽ ἀγωγῆς ἐπιπόνου τελείαν τὴν κάθαρσιν δέξασθαι, τῷ τελείῳ τῆς δεκάδος τῶν ἡμερῶν ἀριθμῷ· καὶ ταύτῃ τὸ βαρὺ φορτίον τῆς ἁμαρτίας ἀποσεισάμενον, ῥᾳδίαν τῇ ψυχῇ τὴν πρὸς τὰ ἄνω παραχωρῆσαι πορείαν· καὶ γὰρ ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται, τοῦ Ἀποστόλου φωνῇ, ὥσπερ τούναντίον Ἡρώδης, (ἑρμηνεύεται δὲ ὁ δερμάτινος), δι᾽ οὗ τὸ τῆς σαρκὸς εἰκονίζεται φρόνημα, τῇ τετραρχίᾳ φυσώμενος, τῇ συμπήξει φημὶ τοῦ ἡμετέρου σαρκίου, ἣν ὕστερον τοῖς υἱέσι διεῖλε, μὴ οἷός τε ὤν, τὸν παρ᾽ ἡμῖν ὀρθὸν τῶν δογμάτων λόγον ἑλεῖν, τῶν γοῦν ἀῤῥένων βρεφῶν, τῶν πρώτων, φημὶ, τοῦ νοῦ καὶ γενναίων πρὸς ἀρετὴν κινημάτων, οὐ πέφυκε φείδεσθαι· ὁ δὲ τούτου τετράρχης υἱὸς εἰκός τι νομίζει ποιεῖν, εἰ μὴ τοῖς τρόποις φύχ ἧττον, ἢ τῷ γένει καὶ τῇ κλήσει τῷ πατρὶ συμβαίνων ὀφθείη; Οὔμενουν· ἀμέλει τὸν κήρυκα τοῦ ὀρθοῦ λόγου, εἰ καιροῦ λάβοιτο, καὶ οὗτος ἐκτέμνει.

Οὐ μὴν ἀλλὰ καὶ ἡ δεκὰς αὕτη γέννημα τῆς τετράδος οὖσα, τετράς ἐστι καὶ αὐτή· συντιθεμένη γὰρ τοῖς κατόπιν αὐτῆς ἀριθμοῖς, τὴν δεκάδα γεννᾷ, καὶ παρὰ τοῦτο εἰς κάκωσιν οἶμαι καὶ ταύτην παραλαμβάνεσθαι· δεκάτῃ οὖν γενεᾷ ὁ οἰκουμενικὸς ἐπεισέφρησε κλύδων· δέκα δὲ πληγαῖς ὁ Μωϋσῆς τὴν Αἴγυπτον ἐβασάνισε. Τοιγαροῦν ὁ Κύριος ἡμῶν καὶ ἡμᾶς, καὶ τὴν παλαιωθεῖσαν τῇ φθορᾷ τῶν στοιχείων σύμπασαν φύσιν,

εἰς τὸ ἀρχαῖον βουληθεὶς ἀναπλάσαι, καὶ τὴν ἀφθαρσίαν αὖθις φιλανθρώπως χαρίσασθαι, ἀφ' ἡμῶν, δι' ὧν ἡ φθορὰ πάλαι τῷ παντὶ ἐπεκώμασεν, ᾠήθη δεῖν τῆς ἰατρείας ἀπάρξασθαι, ἰσαρίθμοις ὀργάνοις πρὸς τοῦτο χρησάμενος. Τὰς γὰρ ἐν ἡμῖν ἐπιῤῥώσας πρῶτον φυσικὰς τέσσαρας ἀρετὰς, ἐν καλῷ κεῖσθαι νομίσας τὰ μεγάλα στοιχεῖα τῆς ἐν αὐτῷ καινῆς κτίσεως, τὰ τέσσαρα, φημὶ, Εὐαγγέλια, ἐξ ἀντιῤῥόπου τοῖς ἀψύχοις ἐν ἡμῖν τοῖς λογικοῖς ὑπεστήσατο, τέσσαρα ἄττα, καὶ ταυτὶ περιέχοντα, δόγματα, ἐντολὰς, ἐπαγγελίας, καὶ ἀπειλάς· ὡς ἂν τοῖς πιστεύουσι μὲν τοῖς δόγμασι, καὶ περὶ πλείστου τὰς ἐντολὰς ποιουμένοις, τὴν ἐν ἐπαγγελίαις κομίσασθαι τῆς υἱοθεσίας ὑπάρξῃ μακαριότητα, τῇ κτίσει δὲ σὺν αὐτοῖς, εἰς τὴν τῆς ἀφθαρσίας μεταστοιχειωθῆναι λαμπρότητα· τοῖς δὲ μὴ οὕτω ποιητέον εἶναι πεφροντικόσι μετὰ τὴν φρικτὴν ἐκείνην οἰκονομίαν, ἀλλὰ μέχρι παντὸς ἐπὶ τῆς κακίας μεμενηκόσι, πᾶσαν ἐλπίδα δευτέρας ἀναπλάσεως περιαιρεθῆναι, τῶν δὲ ἠπειλημένων κολάσεων αὐτίκα μάλα κληρονομεῖν.

Ἀλλ' ἐπειδή περ ἡ νηστεία, κατὰ τὸν ἅγιον εἰπεῖν Κύριλλον, κάθαρσις πέφυκε τῶν πέντε αἰσθήσεων, δι' ὧν ἀστράπτειν, ἢ μολύνεσθαι τῇ ψυχῇ περιγίνεται, ἡ δὲ κάθαρσις αὕτη τὴν ἐν τῇ ὀγδόῃ ἐλπιζομένην ἐγγυᾶται μακαριότητα, πολυπλασιασθέντων τῶν πέντε πρὸς τὰ ὀκτὼ, ὁ τεσσαρακοστὸς γεννᾶται ἀριθμός. Διὰ δὴ ταῦτα πάντα, ὡς δέδεικται, τῇ τεσσαρακονθημέρῳ νηστείᾳ τὰς ψυχὰς ἡμῶν ἀχρειουμένας τῇ λώβῃ τῆς ἁμαρτίας ἐγκαινίζειν ἐν τούτῳ τοῦ καιροῦ προστετάγμεθα, καθ' ὃν καὶ ξύμπας ὁ κόσμος τῇ πρὸς τὰ κρείττω μεταβολῇ κατ' ἐνιαυτὸν ἐγκαινίζεται.

Νόμος.

Ὅτι αἱ πρὸ τοῦ πάσχα ζ'. ἡμέραι καὶ αἱ μετὰ τὸ πάσχα τοσαῦται, καὶ ἡ τῆς Χριστοῦ γεννήσεως ἡμέρα, καὶ ἡ τῶν ἁγίων Θεοφανίων, καὶ ἡ τοῦ πάθους τῶν Ἀποστόλων, καὶ ἡ κυριακὴ, ἄπρακτοί εἰσι, καὶ οὔτε θέατρα ἐν αὐταῖς τελεῖται, οὔτε δίκη λέγεται 1).

(1 κδ'. Βασ. Ζ'. ιζ'.

Ἐν ταῖς προλαβούσαις τοῦ πάσχα τεσσαράκοντα ἡμέραις, πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει 1).

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Περὶ τῆς ἐν τῇ τετράδι νηστείας.

Ζήτει ἐν τῷ λϐ΄. Κεφ. τοῦ Κ κανόνα ιε΄. τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, καὶ ἐν τῷ δ΄. Κεφαλαίῳ τοῦ Ν στοιχείου κανόνα ξθ΄. τῶν ἁγίων Ἀποστόλων.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Ὅτι τόκους λαμβάνειν ἀπείρηται παντὶ κληρικῷ, καὶ περὶ τόκων.

Ἀποστόλων μδ΄.

Ὁ μδ΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τόκους εἰσπράττοντα τοὺς δανειζομένους, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι κελεύει· ὡς ἕνι μάλιστα τοῦτο δέος, μή ποτε κατὰ τὸ Εὐαγγέλιον ἐπαγγειλάμενοι ζῆν, διπλῆν ὑπόσχωμεν δίκην 2), περιπετεῖς γενόμενοι καὶ οἷς ὁ παλαιὸς ἀπείρηκε νόμος. Ὁ μὲν γὰρ, Οὐκ ἐκτοκιεῖς, φησὶ, τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου 3)· ὁ δὲ Ἰεζεκιὴλ ἐν τοῖς μεγίστοις τῶν κακῶν τίθεται, τόκον λαβεῖν καὶ πλεονασμόν. Ὀδύρεται δὲ καὶ ὁ Ἡσαΐας, δόλον ἐπὶ δόλῳ, καὶ τόκον ὁρῶν ἐπὶ τόκῳ 4)· καὶ ὁ Ψαλμῳδὸς περὶ πόλεως ἐν πλήθει κακῶν εὐθηνομένης φησίν· Οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος 5). Ὁ δὲ Κύριος, Τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς· δανείζετε δὲ παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν 6)· ὁ γὰρ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ· τὸ γὰρ αὐτὸ καὶ δῶρον μέν ἐστι διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως, δάνεισμα δὲ διὰ τὸ τοῦ δεσπότου φιλότιμον, δαψιλεῖς ἀποτινύντος ὑπὲρ αὐτοῦ καὶ πολλαπλασίους τὰς ἀμοιβάς.

1) κά. Βασ. Ζ. ιζ΄. — 2) κόλασιν Β. — 3) Δευτ. ΚΓ΄, 20. — 4) Ἰερ. Θ΄, 6. — 5) Ψαλμ. ΝΔ΄, 11. — 6) Λευκ. ϛ΄, 34.

Συνόδου πρώτης ιζ'.

Ὁ ιζ'. τῆς α'. Συνόδου, πάντα κληρικὸν, καὶ τῷ κανόνι ἐξεταζόμενον, καθαιρεῖσθαι κελεύει, περὶ ἐλαχίστου τιθέμενον, τὸ φάσκον ἱερὸν λόγιον, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ 1), καὶ τὴν πλεονεξίαν, καὶ τὸ αἰσχρὸν διώκοντα κέρδος, καὶ τόκους ἀπαιτοῦντα τοὺς δανειζομένους, ἢ ἑκατοστιαίους, ἢ ἡμιολίους. Πολυειδεῖς γὰρ ὄντες οἱ τόκοι, βαρύτεροι τῶν λοιπῶν οἱ ἑκατοστιαῖοι, ἤτοι τὰ ιϐ'. ἐπὶ τοῖς ἑκατὸν νομίσματα, ἅτινα τοῖς τοκογλύφοις εἰσπράττειν νόμος· οἱ γὰρ παλαιοὶ ταῖς ἑκατοντάσιν ἐχρῶντο, ὥσπερ ταῖς λίτραις ἡμεῖς τῶν οϐ'. ἐξαγίων. Ἡμιόλιοι δέ εἰσιν οἱ ἡμίσεις τοῦ ὅλου τόκου τῶν δώδεκα νομισμάτων, ἤτοι τὰ ἓξ· οὐ μὴν ὡς ἔθος τοῖς ἀριθμητικοῖς καλεῖν τὰς τῶν ἀριθμῶν ὑπὸ τὸ πρός τι ποσότητας ὅτι ὁ μὲν ἓξ τυχὸν, ἡμιόλιός ἐστι τοῦ τετάρτου, οὗτος δὲ ἐκείνου ἡφημιόλιος. Ἀλλὰ καὶ τοῖς μὴ ἀνέδην τοῦτο μετιοῦσι, σοφιζομένοις δὲ τὰ τοῦ πράγματος, τῷ μὴ ἁλῶναι παρανομίας, οἵτινες καὶ ἑτέροις ἐγχειρίζοντες χρήματα, τὸ μὲν κέρδος ἐξίσης συμφωνοῦσι μερίζειν, τῆς δὲ ζημίας μὴ κοινωνεῖν· τοῖς δὴ τοιαῦτα τεχνάζουσιν, ἢ ἕτερόν τι κέρδος ἐπινοοῦσιν αἰσχρὸν, καθαιρέσεως δεῖν οἴεται δίκην λαγχάνειν, καὶ τοῦ κλήρου ἀλλοτριοῦν· φιλανθρωπότερον δ' ἂν εἴη τὸ μετὰ παραγγελίαν, κατὰ τὸν ἀνωτέρω ἀποστολικὸν κανόνα.

Συνόδου ἕκτης ι'.

Τὰ αὐτὰ γὰρ καὶ ὁ ι'. τῆς ἕκτης λέξας Συνόδου, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι τῶν κληρικῶν τοὺς τοκογλύφους κελεύει.

Λαοδικείας δ'.

Τούτοις ἕπεται καὶ ὁ τῆς ἐν Λαοδικείᾳ δ'. κανών.

Καρθαγένης ε'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ε', τὴν ἀπληστίαν πάντων τῶν κακῶν εἶναι μητέρα, οὐδείς, φησιν, ἀγνοεῖ· ταύτην οὖν περιαιρετέον παντάπασι, καὶ μὴ κέρδους αἰσχροῦ χάριν τοὺς τῶν Πατέρων ὅρους παραβαίνειν, καὶ μὴ ἐξεῖναι κληρικῷ ἀφ' οἱουδήποτε πράγματος τόκον λαβεῖν· δανείζει γάρ τις οὐκ ἀργύριον μόνον,

1) Ψαλμ. ΙΔ', 6.

ἀλλὰ καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, συμφωνοῦντος τοῦ δανειστοῦ μετὰ τὸν ὡρισμένον καιρὸν τόδε τι ἐπέκεινα δοῦναι· περὶ γὰρ ὧν οἱ θεῖοι Πατέρες ἐθέσπισαν, οὐ δεῖ ψηφίζεσθαι καὶ βουλεύεσθαι, ἀλλ' ἔπεσθαι μηδὲν ἀντιλέγοντας ἢ περιεργαζομένους· εἰ γοῦν τὸ τοιοῦτον λαϊκοῖς ὄνειδος φέρει καὶ μέμψιν, πολλῷ δήπου κληρικοῖς.

Βασιλείου ιδ'.

Ὁ δὲ μέγας Βασίλειος, ἐν ιδ'. κανόνι, Ὁ τόκους λαμβάνων κληρικὸς, φησὶ, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος πτωχοῖς ἀναλῶσαι, καὶ εἰσέπειτα τὸ τῆς φιλοχρηματίας φυλάξασθαι νόσημα, δεκτός ἐστιν εἰς ἱερωσύνην· ἐπειδὴ καὶ ἑτέρωθι, φησὶν, Ὁ μὲν γεωργὸς τὸν στάχυν λαβὼν, τὸ σπέρμα πάλιν ὑπὸ τὴν ῥίζαν οὐκ ἐρευνᾷ· ὁ δὲ δανειστὴς, καὶ τοὺς καρποὺς ἔχει, καὶ οὐκ ἀφίσταται τῶν ἀρχαίων· ἄνευ γῆς φυτεύει, καὶ θερίζει ἄνευ σπορᾶς· διὰ τοῦτο χαλκοῦ καὶ χρυσοῦ, καὶ τῶν ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στεῖρα.

Νόμοι.

Εἰ καὶ πολλοῖς τῶν πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ' οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν Χριστιανῶν πολιτείας, ἀπευκταίαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην· διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι, ἐν μηδεμιᾷ ὑποθέσει τόκον λαμβάνειν, ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι, νόμον Θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται 1).

Ὁ δὲ παλαιὸς νόμος, ῥητὴν ὁρίζει τοῖς τόκοις ποσότητα, τῇ ποιότητι μέν τοι τῶν προσώπων διαλλάττουσαν. Τοὺς μὲν γὰρ δανείζοντας ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρω, ἄχρι τρίτης ἑκατοστῆς καὶ μόνον κελεύει λαμβάνειν· ἀργυροπράτας δὲ καὶ ἐμπόρους, ἄχρι διμοίρου ἑκατοστῆς· τοὺς δὲ λοιποὺς πάντας ἄχρι ἡμίσεως ἑκατοστῆς· εἰ δὲ πρὸς οἶκον εὐαγῆ τὸ δάνειον εἴη, ἄχρι τετάρτου ἑκατοστῆς. Ἐπὶ δὲ τῶν ναυτικῶν

1) Πρ. Ν. ις', ιδ'.

δανείων, ἔνθα ὁ δανειστὴς τὸν ἐκ τῆς θαλάσσης ἀναδέχεται κίνδυνον, οὐ λαμβάνει ὁ δανείζων πλέον τοῦ νομίμου τόκου, ἤγουν τῆς ἑκατοστῆς· εἰ γὰρ ἀναδέχεται ὁ δανείζων τὸν κατὰ θάλατταν κίνδυνον, δύναται λαβεῖν καὶ ὑπὲρ τὸν ἔννομον τόκον. Ἐπὶ δὲ τῶν δανειζομένων καρπῶν, ἐφ' ὧν τὸ παλαιὸν ἑξῆν πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως, οὐκ ἐπιτρέπει σήμερον ἡ διάταξις πλείονα τόκον ἐπερωτᾶν, εἰ μὴ ἕως ἑκατοστῆς μόνον, μὴ βουλουμένη μήτε διὰ παρακατασχέσεως ἐνεχύρων, μείζονα τόκον λαμβάνεσθαι, μήτε τοὺς δικαστὰς ποτὲ καταδικάζειν πλείονα τόκον προφάσει τῆς τῶν τόκων συνηθείας· εἰ δέ τις μείζονα τόκον λάβοι, εἰς τὸ κεφάλαιον αὐτὸν καταλογίζεσθαι. Ἑκατοστιαῖος δὲ λέγεται τόκος, τὰ διδόμενα δώδεκα νομίσματα ἐπὶ τοῖς ἑκατὸν ὑπὲρ ἑκάστου χρόνου· ἡ δὲ παρ' ἡμῖν νομιζομένη λίτρα, κατ' ἀναλογίαν νομίσματα ἔχει ὀκτὼ, ἤτοι δίμοιρον 1).

Οἱ τόκοι ἄχρι τῆς ποσότητος τοῦ ἐκδανεισθέντος κεφαλαίου ἐκτεινέσθωσαν· εἰ δὲ συμβαίη ἐπέκεινα τοῦ μέτρου τῶν κεφαλαίων καταβληθῆναι, εἰς τὸ κεφάλαιον λογιζέσθωσαν 2).

Ὁ τόκον τόκου μεθοδεύων ἀτιμοῦται· οὐδεὶς γὰρ τόκον τόκου ἀπαιτεῖ, κἂν κατὰ μικρὸν καταβληθῇ 3).

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τοῦ τρισαγίου ὕμνου.

Ζήτει ἐν τῷ λε΄. Κεφαλαίῳ τοῦ Ε στοιχείου, κανόνα πα΄. τῆς ς΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅτι τὰς τρίχας τῆς κεφαλῆς οὐ δεῖ καλλωπίζειν.

Συνόδου ἕκτης κς΄.

Ὁ κς΄. τῆς ς΄. Συνόδου κανών, Οἱ τὸν Χριστόν, φησι, διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν

1) ο΄, οά, οδ΄, Βασ. ΚΓ΄, γ΄. — ιέ, ιή, Βασ. ΝΓ΄, έ. — 2) κς΄. Βασ. ΚΔ΄, ς΄. — 3) οε΄ καὶ ιή, Βασ. ΚΓ΄, γ΄.

μιμεῖσθαι καθωμολόγησαν, πᾶσάν τε ἁγνείαν μετιέναι καὶ σωφροσύνην, καὶ μὴ τῇ τῆς ὕλης προστετηκότας 1) ματαιότητι, τὸ σῶμα κοσμεῖν περιττῶς τε καὶ περιέργως· τί δ' ἂν γένοιτο περιττότερον, τοῦ τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος περὶ πλείστου ποιεῖσθαι κοσμεῖν, εὖ τε διατιθέναι, καὶ δέλεαρ καθεῖναι ταῖς εὐολίσθοις πρὸς ἀκολασίαν ψυχαῖς, ἀφέντας τὸ διὰ πάσης ἀρετῆς τὸν ἔνδον κοσμεῖν ἄνθρωπον; Φησὶ γὰρ ὁ Ἀπόστολος· Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι 2)· καὶ ὁ Μωσῆς ἐν τῷ Δευτερονομίῳ· Οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν 3). Τοὺς οὖν τοιοῦτόν τι ποιοῦντας, πατρικῶς πρότερον ἐπιτιμᾶσθαι κελεύει· ἐπιμένοντας δὲ, ἀφορίζεσθαι. Τούτοις ὑπόκεινται τοῖς ἐπιτιμίοις καὶ οἱ τὰς τρίχας κλώθοντες ὥστε οὔλας γενέσθαι, ἢ βάπτοντες, ἢ ὕδατι διαβρόχους ποιοῦντες, καὶ τῷ ἡλίῳ θέροντες, ἵν' εἰς ξανθὰς μεταβάλλοι εν, ἢ χρυσιζούσας, ἢ δασείας ἐπιμελούμενοι γενέσθαι, ἢ νόθους πλοκάμους περιτιθέμενοι, ἢ τὸ γένειον ξηρῶντες, ἢ κεράμῳ πεπυρωμένῳ τὸ πλέον τούτου ἀποτεφροῦντες, ἢ τοῖς ὀδοῦσιν εὐφυῶς ἔστιν ἃ περιαιροῦντες, καὶ πρὸς τὸ δοκοῦν εὔσχημον ἀποκαθιστάντες, ὡς δοκεῖν ἄρτι φύειν αὐτοῖς τὸν ἴουλον· τοῦτο γὰρ νῦν καὶ μάλιστα ὥσπερ τι νόσημα ἐπιδήμιον τοῖς χριστωνύμοις ἐνέσκηψεν.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τυμβωρύχων.

Ὁ ξς΄. τοῦ μεγάλου Βασιλείου κανὼν, τὸν τυμβωρύχον, ὃς τοὺς τάφους ἀνοίγνυσι, καὶ συλᾷ τὰ τοῖς νεκροῖς συνθαπτόμενα, εἰς δέκα ἔτη τῆς ἱερᾶς κοινωνίας ἀποκλείεσθαι κελεύει.

Γρηγορίου Νύσσης ζ΄.

Ὁ δὲ μέγας Γρηγόριος Νύσσης ἐν τῷ ζ΄. κανόνι, Ἡ τυμβωρυχία, φησὶ, διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον· εἰ μὲν γάρ τις φειδόμενος τῆς ὁσίας, καὶ ἄσυλον ἀφεὶς τὸ κε-

1) προστετιμηκότας ε. — 2) ά. Κορ. ΙΑ, 14. — 3) Λευϊτ. Ιθ΄, 27.

κρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι τῷ ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων συγχρήσεται εἰς ἔργου τινὸς κατασκευήν, ἐπαινετὸν οὐδὲ τοῦτό ἐστι, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γένηται· τὸ δὲ ἀνερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, εἰς ἐννέα δηλαδὴ χρόνους· εἰ δὲ σπουδαίαν ὁ θεραπευόμενος ἐπιδείξαιτο τὴν ἐπιστροφὴν, ἔξεστι τῷ οἰκονομοῦντι τὴν αὐτοῦ θεραπείαν, συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τῇ ἐπιτιμίᾳ προθεσμίαν.

Νόμοι.

Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι 1).

Ἐάν τις ἀπὸ τάφου ἀφέληται λίθους, ἢ κίονας, ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι λίτρας χρυσίου τῷ δημοσίῳ καταβαλλέτω 2).

Οἱ τυμβωρυχοῦντες, καὶ γυμνοῦντες τὰ τῶν τεθνεώτων σώματα, εἰ μὲν μεθ' ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου 3).

Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν 4).

Οἱ λείψανα, ἢ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ὄντες, ἄκρως τιμωροῦνται· ἔντιμοι δὲ, περιορίζονται, ἢ εἰς μέταλλα πέμπονται 5).

Οὐ δεῖ τὰ λείψανα τῶν τελευτώντων ψηλαφᾶσθαι ἢ σκυλεύεσθαι· τὰ δὲ προσκαίρως ἀποτεθέντα μεταφέρειν ἔξεστι 6).

Μηδεὶς σῶμα ἀνθρώπινον χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω 7).

---

1) ιέ. Βασ. Ξ', κγ'. — 2) Βασ. αὐτ. — 3) γ'. Θέμ. ς'. Βασ. Ξ', κγ'. — 4) Πρ. Ν. ΛΘ', νζ'. — 5) ιέ. Βασ. αὐτ. — 6) ιδ'. Βασ. αὐτ. — 7) ιδ'. Βασ. ΝΕ, γ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι τύπτειν κληρικοῖς οὐκ ἐφεῖται.

Ἀποστόλων κζ'.

Ὁ κζ'. τῶν ἁγίων Ἀποστόλων κανών, Ἐπίσκοπον, φησίν, ἢ πρεσβύτερον, ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ ταύτῃ φοβεῖν ἐκείνους ἐθέλοντα, καθαιρεῖσθαι προστάττομεν, οὐδαμοῦ γὰρ ὁ Κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ, αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε, λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπείλει· ἐκέλευε δὲ καὶ τὴν ἀριστερὰν ἐμπαρέχειν τῷ μὴ φειδομένῳ τῆς δεξιᾶς. Ἐλέγχειν γὰρ τοὺς ἀδικοῦντας ἄλλως ἔξεστι· καὶ τοῖς ἀδικουμένοις ἐπικουρεῖν ὁπόσῃ δύναμις· καθὰ δὴ καὶ Παῦλον ἴσμεν τὸν μέγαν, Τιμοθέῳ ἐντελλόμενον, τοὺς ἁμαρτάνοντας ὑπ' ὄψιν πάντων ἐλέγχειν, ἵνα καὶ τοῖς λοιποῖς φόβος ἐγγένηται· κληρικοῖς δὲ οὐ θεμιτὸν ἑαυτοὺς ἐκδικεῖν· σωφρονίζειν μέντοι μετρίως τοὺς ἰδίους αὐτῶν μαθητὰς ἁμαρτάνοντας, καὶ μετὰ παραγγελίαν μὴ ἐπισχρέφοντας συγκεχώρηται· ὅτι, καὶ ὁ Κύριος, τοὺς ἐν τῷ ἱερῷ ἐμπορευομένους, ὡς εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγγελίῳ τύπτων ἀπήλασεν· εἰ δέ τις καὶ διδάσκαλος ὢν, θυμῷ εἴξας, φονευτηρίῳ τύψειεν ὀργάνῳ, οὐκ ἀτιμώρητος ἔσται.

Συνόδου ΑΒ', θ'.

Ὁ δὲ θ'. τῆς λεγομένης πρώτης καὶ δευτέρας Συνόδου, τὸν Ἀποστολικὸν τοῦτον κανόνα διεξιὼν, ἐπιτιμᾷ τοῖς αὐτὸν πειρωμένοις παραχαράττειν, καὶ οἰομένοις τοὺς αὐτοχειρίᾳ τύπτοντας μόνους αἰτιᾶσθαι, οὐ μὴν καὶ τοὺς ἐξ ἐπιτάγματος· μάταιον γὰρ τοῦτο, φησὶ, καὶ τῆς διανοίας τοῦ Ἀποστολικοῦ κανόνος ἀλλότριον, τὸν μὲν τρὶς ἢ τετράκις πλήξαντα καθαιρεῖσθαι, τὸν δὲ ἐξ ἐπιτάγματος εἰς θάνατον στίζοντα, εἶναι ἀθῷον· χρὴ γὰρ τὸν τοῦ Θεοῦ ἱερέα διδαχῇ καὶ νουθεσίᾳ, ἔσθ' ὅτε δὲ καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις τὸν ἀτακτοῦντα παιδαγωγεῖν, ἀλλὰ μὴ μάστιξι καὶ πληγαῖς εἰς τὰ τῶν ἀνθρώπων ἐπιπηδᾷν ἀσέμνως, καὶ ἐνυβρίζειν σώματα· εἰ δέ τινες εἶεν

παντάπασιν ἀσωφρόνιστοι, τούτους διὰ τοῦ ἐγχωρίου ἄρχοντος οὐδεὶς ὁ κωλύων σωφρονίζειν, ὡς καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ε΄. κανὼν διορίζεται, ὃν καὶ ζήτει ἐν τῷ ιϐ΄. Κεφ. τοῦ Σ στοιχείου.

Συνόδου Φωτιαρῆς γ΄.

Ὁ δὲ γ΄. τῆς Συνόδου, ἧς ἐξῆρχεν ὁ Φώτιος, ὑπὸ ἀνάθεμα τίθησι τὸν ὅλως τύψαί ἢ φυλακῇ καθεῖρξαι τολμήσαντα τῶν ἐπισκόπων τινὰ, εἴτε χωρὶς αἰτίας, εἴτε καὶ αἰτίαν πλασάμενον· εἰ δὲ πάνυ εἴη εὐπρόσωπος ἡ αἰτία, οὐδὲ ὁ τὴν μεγίστην ἀρχὴν διέπων ἐκδικεῖν ταύτην δύναται· ἀλλὰ δεῖ τῇ Συνόδῳ ἀνατιθέναι, ἧ μόνῃ κρίνειν ἐφεῖται καὶ κολάζειν τῶν ἐπισκόπων τοὺς ἁμαρτάνοντας.

Νόμοι.

Ὁ δὲ νόμος ἀπαγορεύει μὲν τοῖς ἐπισκόποις πλήττειν χερσὶν οἰκείαις, οὐχ ὥρισε δὲ ποινήν· γενικῶς δὲ περὶ παντὸς τύπτοντος ἢ ὑβρίζοντος διορίζεται, διδοὺς κατ' αὐτῶν τὴν περὶ ὕβρεως ἀγωγὴν, ἥτις καὶ χρηματικῶς κινεῖται καὶ ἐγκληματικῶς, καὶ διορίζεται ποία ἐστὶ τραχεῖα ὕβρις, ποία δ' ἐλαφρά 1).

Ὁ ἱερέα, εἴτε ἐν Ἐκκλησίᾳ, εἴτε ἐν λιτῇ ἐπιχειρῶν τύπτειν, ἐξοριζέσθω 2).

Ἐὰν βλαϐῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας, καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται· ὁ δὲ σῶμα δούλου βλάψας, ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις, καὶ τὴν ἐλάττωσιν τῆς διατιμήσεως αὐτοῦ 3).

---

1) κέ. Βασ. Γ΄, ά. καὶ ά. Βασ. Ξ΄, κά. — 2) μ.γ΄. Βασ. Γ΄, ά. — 3) γ΄. Βασ. Ξ΄, β΄.

ΑΡΧΗ ΤΟΥ Γ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ὕβρεων.

Ζήτει τὸ ζ'. Κεφάλαιον τοῦ Β στοιχείου.

Ἀποστόλων νέ, νς'.

Ὁ δὲ νε'. τῶν ἁγίων Ἀποστόλων κανὼν, ἔτι δὲ καὶ ὁ νς', Ὁ τὸν ἴδιον ἐπίσκοπον ὑβρίσας κληρικὸς καθαιρείσθω, φησί· Ἄρχοντα γὰρ τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς 1)· Μωσέως τοῦτο τοῦ πάνυ φωνή· πρεσβύτερον δὲ ἢ διάκονον ὁ ὑβρίσας ἀφοριζέσθω· ἡ γὰρ πρὸς τὸν μείζονα ὕβρις, καὶ μείζονος ἀξία τῆς τιμωρίας, ἐλάττονος δὲ ἡ πρὸς τοὺς ἐλάττονας· ὁ μὲν γὰρ, κεφαλῆς ἐπέχει τόπον τῷ σώματι τῆς Ἐκκλησίας, οἱ δὲ, χειρῶν, καὶ τῶν διακονικῶν ἑτέρων μελῶν.

Ὁ δὲ νζ', Καὶ ὁ χωλὸν, ἢ τυφλὸν, ἢ τὰς βάσεις πεπληγμένον χλευάσας, ἀφοριζέσθω, φησὶν, εἴτε κληρικὸς εἴη, εἴτε τῶν τοῦ λαοῦ· τοὺς τοιούτους γὰρ ἐλεεῖν μᾶλλον δέον χεῖρα βοηθὸν ἐπορέγοντας, ἢ χλεύης καὶ γέλωτος ποιεῖσθαι ὑπόθεσιν 2).

Νόμοι.

Ἡ τραχεῖα ὕβρις ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ τόπου κανονίζεται· ἀπὸ προσώπου, ὅταν ἄρχοντι ἢ πάτρωνι γένηται· ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ πάντων ὁρώντων· ἀπὸ τοῦ πράγματος, ὅταν καὶ τραῦμα γένηται, ἢ ὄψις πληγῇ· οἱ τοιοῦτοι, ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινος κωλύονται πράγματος ἔντιμοι ὄντες· εἰ δὲ ἐλεύθεροι μὲν εἶεν, εὐτελεῖς δὲ, ῥοπαλίζονται· εἰ δὲ δοῦλοι, φραγγελιζόμενοι, τῷ δεσπότῃ ἀποδίδονται 3).

Εἴ τις τῶν θείων μυστηρίων, ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων, εἰς ἁγίαν εἰσελθὼν Ἐκκλησίαν, τῷ ἐπι-

1) Δευτερ. ΚΒ', 28. — Πράξ. Ἀπος. ΚΓ', 5, — 2) ἐν δὲ τῷ 1375 ἀναγινώσκεται καὶ τὰ ἑξῆς· ἀτιμάζεται τις ὁ ἔν τινι πράγματι ὑβριζόμενος· ἀτιμοῦται δὲ ὁ ὑπὸ τοῦ νόμου ὁλοσχερῆ ἀτιμίαν ὑπομείνας — 3) ζ'. Θεμ. ἁ. Βασ. Ξ', κά.

σκόπῳ, ἢ τοῖς κληρικοῖς, ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς Ἐκκλησίας ὕβρεώς τι ἐπαγάγοι, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι, καὶ εἰς ἐξορίαν πεμφθῆναι· εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς λειτουργίας ταράξοι, ἢ ἐπιτελεῖσθαι κωλύσοι, κεφαλικῶς τιμωρεῖσθαι· τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς λιταῖς, ἐν αἷς ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται, φυλαττομένου· ἵνα, εἰ μὲν ὕβριν τις μόνον ποιήσοι, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσοι, κεφαλικὸν κίνδυνον ὑπομείνῃ 1).

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ ὑδροπαραστατῶν αἱρετικῶν.

Ζήτει ἐν τῷ β΄. Κεφ. τοῦ Α στοιχείου καὶ ἐν τῷ η΄. Κεφ. τοῦ Κ στοιχείου κανόνα λβ΄. τῆς ς΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ υἱοθεσίας.

Ζήτει ἐν τῷ η΄. Κεφ. τοῦ Β στοιχείου.

Ὁ υἱοθετῶν ὀφείλει μείζων εἶναι κατὰ τὴν ἡλικίαν τοῦ υἱοθετουμένου χρόνοις ιη΄. ἡ γὰρ θέσις μιμεῖται τὴν φύσιν 2).

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ ὑπηρετῶν ἤτοι ὑποδιακόνων.

Λαοδικείας κα΄.

Ὁ κα΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανὼν, Οὐκ ἔξεστι, φησὶ, τοῖς ὑπηρέταις, ἐν τῷ οὕτω πως ὠνομασμένῳ διακονικῷ, τῶν ἱερῶν ἅπτεσθαι σκευῶν, πρὸς τὸ δι' αὐτῶν ἱερουργῆσαι δηλονότι τὰ εἰς θυσίαν προσφερόμενα, τὸν ἄρτον, φημὶ, καὶ τὸν οἶνον, ἐκ τῶν περιεχόντων ὑποδηλῶν τὰ περιεχόμενα· οὐ γὰρ ἐφεῖται τούτοις τὰ τῶν διακόνων μετιέναι. Κενῶν δὲ τῶν ἱε-

1) μζ΄. Βασ. Γ΄, ά. — 2) ν΄. Βασ. ΑΡ΄, ά.

ρῶν σκευῶν ἅπτεσθαι, καὶ πρὸς τὴν ἱερουργίαν ἑτοιμάζειν, καὶ μετὰ τοῦτο περιστέλλειν, καὶ ἐν καλῷ τοῦ νεὼ τιθέναι, τοῖς ὑποδιακόνοις παντὸς μᾶλλον προσῆκον· τοῦτο καὶ γὰρ αὐτοῖς ἡ διακονία.

Ὁ δὲ κε΄. οὐδὲ ἄρτον διδόναι, ἢ ποτήριον εὐλογεῖν ἐφίησι τὸν ὑπηρέτην, ἤτοι τὸν ὑποδιάκονον.

Ὁ δὲ μγ΄. οὔτε τοῦ λαοῦ ὑπερεύχεσθαι τοὺς ὑποδιακόνους κελεύει ἐν τῷ τῆς θείας λειτουργίας καιρῷ, οὔτε τὰ θεῖα μεταχειρίζειν μυστήρια, τοῦτο γὰρ ἔργον μόνοις τοῖς ἱερεῦσιν, ἀλλὰ ταῖς θύραις ἐφεστάναι τῶν ἁγίων Ἐκκλησιῶν, καὶ μηδὲ πρὸς βραχὺ τούτων ἀφίστασθαι, ὥστε εἰσάγειν τε καὶ ἐξάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιπούς 1). Ἓν δὲ καὶ τοῦτο τῶν τῆς Ἐκκλησίας ταγμάτων, τὸ τῶν ὑπηρετῶν, φημι, τῶν καὶ θεραπευτῶν λεγομένων, καὶ ὑποδιακόνων, παρὰ τοσοῦτον τοῦ λαϊκοῦ πληρώματος ὑψηλότερον, παρ' ὅσον τῶν τοῦ βήματος ταπεινότερον.

Ζήτει καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ Α στοιχείου, κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου ιε΄. καὶ ἐν τῷ θ΄. Κεφ. τοῦ Σ στοιχείου, κανόνα τῆς ἐν Λαοδικείᾳ κϐ΄. καὶ κγ΄. Ζήτει καὶ τὸ λ΄. Κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ ὑποβόλου.

Νεαρά.

Ἡ τοῦ σοφοῦ Λέοντος Νεαρὰ, πλείονα δεῖ εἶναι, φησὶ, τὴν προῖκα, τοῦ ὑποβόλου· τοῦ δὲ ἀνδρὸς ἀτέκνου τελευτήσαντος, ἂν μὴ παρῇ σύμφωνον, ἀνακομίζεται ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον, καὶ πλέον οὐδέν· εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσει, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν· ὁ δὲ ἀνὴρ, τοῦ ἰδίου μὴ ἀποστερείσθω ὑποβόλου 2).

1) Ἐν 1375 καὶ τὰ ἑξῆς· ἢ τῶν δεχομένων αὐτὰ σκευῶν, τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ποτηρίου. — 2) Νεαρ. κ΄. Λέοντος.

ΑΡΧΗ ΤΟΥ Φ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ Φαλκιδίου.

Νόμος.

Φαλκίδιός ἐστι νόμος περιαιρῶν ἀπὸ τῶν λεγαταρίων τὸ τρίτον μέρος τῆς πατρικῆς οὐσίας, καὶ περιποιῶν τῷ κληρονόμῳ· ἐπενοήθη δὲ προνοίᾳ τῶν παίδων, ἵνα οἱ φυσικοὶ κληρονόμοι πρότερον θεραπευθῶσιν. Ἔστι δὲ τοιοῦτος· εἰ μὲν εἷς ὢν τυγχάνει τῷ πατρὶ παῖς, ἢ δύο, ἢ τρεῖς, ἄχρι καὶ τῶν τεσσάρων, ὑπεξαιρουμένων πρότερον τῶν χρεῶν, καὶ τῶν ἐν τῇ κηδείᾳ ἀναλωμάτων, καὶ τῶν ἐπ' εὐσεβείᾳ διδομένων, ἔτι δὲ καὶ τῶν τιμημάτων τῶν ἐλευθερωθέντων οἰκετῶν, λαμβάνουσιν οἱ παῖδες τὸ γ'. τῆς καθαρᾶς περιουσίας τοῦ πατρός· εἰ δὲ ε'. εἰσὶν οἱ παῖδες καὶ ἐπέκεινα, τὸ ἥμισυ κτῶνται τῆς ὑποστάσεως, τὸ δὲ λοιπὸν φιλοτιμεῖται ὁ πατὴρ ἔνθα ἂν αἱρεῖται, ἢ ἑνὶ τῶν αὐτοῦ παίδων, ἢ πλείοσιν, ἢ ξένῳ οἱῳδήτινι· εἰ δὲ καὶ κατὰ βυθοῦ ῥίψαι βουληθείη τυχὸν ὁ πατὴρ, οὐκ ἔχει τὸν ἀνακρίναντα. Φησὶ δὲ ὁ νόμος· Τὰ ἐπ' εὐσεβείᾳ καταλιμπανόμενα λεγάτα, καὶ τοῦ φαλκιδίου αὐτοῦ κατὰ προτίμησιν ἀνώτερα εἶναι θεσπίζομεν 1).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ φαρμακῶν καὶ μάγων.

Ζήτει τὸ α'. Κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ φθορᾶς παρθένων.

Ζήτει ἐν τῷ ιε'. Κεφ. τοῦ Μ στοιχείου, κανόνα τοῦ μεγάλου Βασιλείου ιη'. καὶ ξ'. καὶ τὸ ιγ'. Κεφ. τοῦ Α στοιχείου, καὶ τοῦ Γ στοιχείου τὸ η'. καὶ λ'. Κεφάλαιον.

1) Σύνοψ. Ἀταλ. ΛΖ'. — Βασ. ΜΑ', ε. καὶ δ'. — ιγ'. Βασ. Ε'. γ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ φιλαργυρίας.

Ζήτει τὸ ια'. Κεφάλαιον τοῦ Π στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων.

Ὁ ξε'. τῶν ἁγίων Ἀποστόλων κανὼν, Ὅστις ἐν μάχῃ, φησὶ, καὶ φιλονεικίᾳ πλήξας ἀποκτείνει τινὰ, εἰ καὶ μίαν ἔτυχε κατενεγκὼν τὴν πληγὴν, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω· διὰ γάρ τοι τοῦτο καὶ ὁ Κύριος, οὐχ ὅπως μὴ ἀμύνεσθαι τὸν λελυπηκότα, ἀλλὰ καὶ τὴν δεξιὰν ἐμπαρέχειν κελεύει τῷ παίοντι, οἷα τῆς μάχης ἔσθ' ὅτε τελευτώσης εἰς φόνον.

Νύσσης ε'.

Ὁ δὲ μέγας Γρηγόριος Νύσσης, ἐν τῷ ε'. κανόνι, τὸ τοῦ φόνου, φησὶν, ἄγος, τῇ διαφορᾷ τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου διῄρηται· καὶ ἑκούσιος μέν ἐστι φόνος, ὁ ἐκ παρασκευῆς τετολμημένος· ἔπειτα κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίαν τὴν διὰ χειρὸς πληγήν· ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι ποτὲ, ὥστε καὶ τὸ ἐκ συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προαιρέσεως καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται.

Οἱ δὲ ἀκούσιοι φόνοι, φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τῶν ἀνηκέστων τι δράσῃ. Τοῦ μὲν οὖν ἑκουσίου φόνου εἰς ἑπτὰ καὶ εἴκοσι χρόνους παρατείνεται τὸ ἐπιτίμιον, εἰς τρεῖς ἐννεαετηρίδας διαιρουμένους· ὡς ἐπὶ μὲν τῆς μιᾶς παντελῶς εἶναι ἀφωρισμένον τὸν ἐπιτιμηθέντα, ἔξω τῆς Ἐκκλησίας ἱστάμενον, καὶ προσκλαίοντα· τὰς δὲ λοιπὰς δύο, εἴς τε τὴν τῶν ἀκροωμένων πρότερον, εἶτα τῶν ὑποπιπτόντων διελόμενον στάσιν, οὕτως ἐπὶ τὴν τῶν

ἁγιασμάτων μετουσίαν ἐλθεῖν. Εἰ δὲ τὸ μέγεθος τῆς ἐπιστροφῆς τοῦ ἐπιτιμηθέντος, καὶ ἡ τῆς μετανοίας θερμότης περιγένοιτο τῶν ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥαθυμότερον ἑαυτοὺς ἐκκαθαιρόντων, συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις· ὥστε ἀντὶ τῶν ἐφ' ἑκάστῳ βαθμῷ ἐννέα ἐτῶν, ὀκτὼ, ἢ ἑπτὰ, ἢ ἓξ, ἢ πέντε μόνα γενέσθαι κατὰ τὴν κρίσιν τοῦ τὴν Ἐκκλησίαν οἰκονομοῦντος.

Ὁ δὲ ἀκούσιος φόνος συγγνωστὸς μὲν, οὐ μὴν ἐπαινετὸς ἐκρίθη· τὸν γὰρ ἁλόντα τῷ μιάσματι τούτῳ, ὡς ἐξάγιστον ἤδη γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος τῶν ἐννέα ἐτῶν, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων καλῶς ἔχειν ἐδοκιμάσθη· δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, εἰ δέον τὸν ὁρισθέντα χρόνον αὐτῷ ἐξήκειν ἢ ἐλάττω γενέσθαι.

Βασιλείου η'.

Οὕτω καὶ ὁ μέγας Βασίλειος ἐν τῷ η'. κανόνι τὸν ἑκούσιον καὶ ἀκούσιον ὁριζόμενος φόνον, Ἀκούσιος μέν ἐστι, φησὶν, ὅταν τις ἀκοντίσας λίθον, ἐφ ᾧ θηρίον ἀμύνασθαι, ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προϊδὼν, εἰς θάνατον πλήξῃ· οὐ μὴν, ἀλλὰ καὶ εἴ τις ἐπιστρέψαι τινὰ βουλόμενος, ἰμάντι, ἢ ῥάβδῳ μὴ πάνυ τραχείᾳ τύψοι, ἀποθάνοι δὲ ὁ τυπτόμενος· ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἐβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν. Ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο, ὅταν τις ἀμυνόμενος ἐν μάχῃ τινὰ, ξύλῳ ἢ χειρὶ ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνέγκῃ, ἐφ ᾧ κακῶσαι τοῦτον, οὐχ ὥστε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ. Ὁ γὰρ τοιούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, καὶ μὴ πεφεισμένως τὴν πληγὴν ἐπαγαγὼν, δῆλός ἐστι τῷ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶν τοῦ ἀνθρώπου. Ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ, ἢ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις φονεῦσι συναριθμεῖται· ἄλλο μέν τι προελόμενος, ἄλλο δέ τι ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγὴν, ὥστε ἀνελεῖν τὸν πληγέντα·

καί τοι ἡ σπουδὴ ἦν αὐτῷ συντρίψαι τυχόν, οὐχὶ καὶ παντελῶς θανατῶσαι. Ὁ μέντοι ξίφει χρησάμενος οἱῳδήτινι, οὐδεμίαν ἔχει παραίτησιν, καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας, καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι· ἀλλ' ἠκόντισεν, ὥστε τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείστου φορᾷ, ὀλεθρίαν τὴν πληγὴν ἀναγκαίως γενέσθαι. Ἑκούσιον 1) δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἔχον ἀμφιβολίαν, οἷόν ἐστι τὸ τῶν λῃστῶν, καὶ τὸ τῶν πολεμικῶν ἐφόδων· οἱ μὲν γὰρ χρημάτων ἕνεκεν ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἱ δὲ ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονίσαι, ἀλλ' ἀνελεῖν τοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι. Καὶ μέντοι κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον φάρμακόν τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον· οἷα ποιοῦσιν αἱ γυναῖκες πολλάκις, ἐπαοιδίαις τισὶ καὶ καταδέσμοις πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαι τοὺς ἄνδρας πειρώμεναι, καὶ προσδιδοῦσαι φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς αὐτῶν διανοίαις· αἱ τοιαῦται ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται. Καὶ αἱ τὰ ἐμβρυοκτόνα τοίνυν ἐπορέγουσαι ἢ δεχόμεναι φάρμακα, ὡς ἀμβλωθρίδια προενεγκεῖν καὶ ἄωρα τὰ γεννήματα, οὐδὲν τοῖς ἑκοντὶ φονεύουσιν ἀπεοίκασιν.

Ἐν δὲ τῷ μγ΄, Ὅστις, φησὶ, θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν, εἴτε ἧρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

Ἐν δὲ τῷ νς΄, Ὁ ἑκοντὶ φονεύσας, ἔπειτα μεταμεληθεὶς, εἰς κ΄. ἔτη τῆς κοινωνίας ἐκποδὼν ἔσται τῶν ἁγιασμάτων, ἐν τέσσαρσιν ἔτεσιν ἔξω τῆς θύρας τοῦ εὐκτηρίου ἑστὼς καὶ προσκλαίων, καὶ τὴν ἰδίαν ἐξαγορεύων παρανομίαν, τῶν εἰσιόντων τε πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι· ἐν πέντε ἔτεσι μετὰ τῶν ἀκροωμένων ἐξελεύσεται· καὶ αὖθις ἐν ἑπτὰ μετὰ τῶν ἐν ὑποπτώσει, ἔνδον οὐ μενεῖ διὰ τέλους· ἐν τοῖς λοιποῖς τέσσαρσι συστήσεται· καὶ ταῦτα διηνυκὼς, ἐν μεθέξει τῶν ἁγιασμάτων γενήσεται.

1) φόνον δὲ B.

Τὸν δὲ ἀκουσίως πέφονευκότα, ἐν τῷ νζ'. εἰς δέκα ἔτη τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀπείργει. Ἐν δὲ τῷ νδ'. κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ταῦ ἀκουσίως φονεύσαντος ἢ ὑφεῖναι, ἢ ἐπιτεῖναι κελεύει τὰ ἐπιτίμια.

Ἐν δέ γε τῷ ιά. ἀποχρῶσαν εἶναι, φησὶ, καταδίκην τῷ ἀκουσίως φονεύσαντι, τὸ ἐπὶ ἕνδεκα ἔτη μὴ κοινωνῆσαι· ὑπερβέβηκε γὰρ καὶ τὸν τετυπωμένον ταῖς κανόσι καιρόν· ἐπὶ δὲ τῶν πληγέντων, τὰ Μωσέως παρατηρήσωμεν· καὶ τὸν κατακλιθέντα μὲν ὑπὸ τῶν πληγῶν, ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ἑαυτοῦ ῥάβδῳ, οὐ λογισόμεθα πεφονεῦσθαι· εἰ δὲ οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλ' οὖν τῷ μὴ προελέσθαι αὐτὸν ἀνελεῖν, ὁ τυπτήσας, φονεὺς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν.

Ἀγκύρας κδ', κγ'.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ Συνόδου κανὼν κδ'. τοὺς ἀκουσίῳ φόνῳ περιπεσόντας, φησὶ, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μὴ μετασχεῖν· ὁ δὲ δεύτερος τὸν πενταετῆ χρόνον πληρῶσαι.

Ὁ δὲ κγ'. τοὺς ἑκουσίως φονεύσαντας, ἐν τῷ τέλει τοῦ βίου τῆς κοινωνίας ἀξιοῦσθαι κελεύει. Σὺ δὲ τοῖς τοῦ μεγάλου Βασιλείου μᾶλλον πείθου κανόσιν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τῶν φονευόντων ἑαυτούς.

Ζήτει τὸ ιϐ'. Κεφάλαιον τοῦ Β στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν φόνων τῶν ἐν πολέμοις, καὶ τῶν φονευόντων λῃστάς.

Ἀθανασίου.

Ὁ μὲν μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Ἀμμοῦν ἐπιστολῇ, Φονεύειν οὐκ ἔξεστι, φησὶν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον.

Βασιλείου ιγ'.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ιγ'. κανόνι, Τοὺς ἐν πολέμοις φόνους, οἱ Πατέρες ἡμῶν, φησιν, ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖ, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις· τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας ἀπέχεσθαι. Δι' ἐπαίνου γὰρ τίθεται καὶ ὁ θεσπέσιος οὗτος Πατὴρ, τοὺς ὁμόσε τοῖς ἀντιπάλοις εὐψύχως ἰόντας, καὶ τοῦ τῶν Χριστιανῶν γένους ὑπερασπίζοντας· τί γὰρ τῶν ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένων, εἰς ἐπαίνου λόγον γένοιτ' ἂν ἀξιώτερον; Ὅτι γε μὴν αὐτῷ πρόκειται σκοπὸς, τὰς συνεζευγμένας ἔσθ' ὅπη καὶ ταῖς ἀγαθαῖς τῶν πράξεων καθαίρειν κηλίδας, μετρίως καὶ τούτοις ἐπιτιμᾷ, ὥσπερ, οἶμαι, καὶ ὁ μέγας ἂν ἐποίησεν Ἀθανάσιος, εἰ ταύτην προστησάμενος καὶ αὐτὸς ἐτύγχανε τὴν ὑπόθεσιν, καὶ μὴ ἕτέρωσε βλέπων, τούτων ἀπεμνημόνευσεν. Ἀλλ' οἱ τῆς μεγαλονοίας τοῦ νομοθέτου μὴ ἐφικνούμενοι, μηδὲ τῶν ἀνθρωπίνων κατορθωμάτων τὸ πρὸς κακίαν ἀγχίθυρον στοχαζόμενοι, μέμψεις αὐτῷ περιάπτειν τολμῶσιν, οἷα φορτικὸν ὂν τὸ τῆς συμβουλῆς, καὶ τῆς ὀρθῆς ἀποδέον κρίσεως· συμβήσεσεται γάρ, φασι, παρὰ τοῦτο, τῶν στρατιωτῶν τοὺς εὐδοκιμωτάτους, καὶ μάλιστα οἷς ἔργον, ξίφει καὶ φόνῳ τὰς τῶν ἀλλοφύλων ἀνακόπτειν ὁρμὰς, διὰ βίου τῆς τοῦ ἀγαθοῦ στέρεσθαι μεταλήψεως, ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. Διὰ τί γάρ, φασιν, οὐ καθαροὶ τὰς χεῖρας, οὓς σωφροσύνης πέρι καὶ εὐσεβείας αὐτὸς πολεμεῖν μαρτυρεῖς, ἄριστα πάντων τοῦτο σκοπήσας· καὶ γὰρ εἰ μὴ οὗτοι προθυμηθεῖεν εἰς χεῖρας τοῖς βαρβάροις ἰέναι, καὶ τὰ ξίφη ἐπισείοντες πείθειν, οὐχ ὅπως τῶν ἀλλοτρίων μὴ ἐφίεσθαι 1), ἀλλὰ καὶ περὶ τῶν σφετέρων δεδοικέναι, οὐκ ἂν φθάνοι τὰ τῆς εὐσεβείας οἰχόμενα, τῶν βαρβάρων ὑφ' ἑαυτοὺς πάντα ποιουμένων κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὸ οἰκεῖον σέβας διὰ σπουδῆς τιθεμένων κρατύνειν; Σωφροσύνην δὲ τίς ἔσται ὁ μετιὼν, ἀναγκαζομένων πάντων ζῆν κατ' ἐκείνους, αὐτοκράτορας ἤδη γεγενημένους. Τούτοις παι-

1) οὐχ ὅπως τῶν ἀλλοτρίων ἐφίεσθαι, a.

δικῇ ὡς ἂν φαίη τις γλώττῃ τολμῶσι περιβομβεῖν τὴν πολύστομον τοῦ Πνεύματος σάλπιγγα, καὶ τῆς εὐαγγελικῆς ἐμπειρίας τὴν βίβλον· πρὸς οὓς ἐκεῖνο ἂν εἴποιμι, ὅτι τῶν ἐν ἡμῖν φυσικῶν παθῶν συλλήβδην εἰπεῖν ὁ ἐσμὸς, μετὰ τὴν τοῦ Ἀδὰμ, ὡς ἴσμεν, παράβασιν, τῷ τῶν ἀνθρώπων εἰσεκώμασε γένει, ὥσπερ ἀῤῥωστημάτων κοινῶν τῇ κακίᾳ συνεισπεσόντων· τούτων τὰ μὲν, φύσει συνέζευκται καὶ ἀνάγκῃ, τὰ δὲ, φύσει διοικεῖται καὶ προαιρέσει· καὶ τὰ μὲν ἔχει τὸ ἀνεπίκλητον, τῷ ἀποχρῶσαν κεκτῆθαι παραίτησιν τὴν ἄλογον ἀνάγκην τῆς φύσεως, ἂν μὴ τῇ χρείᾳ μόνον ἡ ἀμετρία λυμήνηται· ἐφ' ἃ δὲ ἡ προαίρεσις ἄγει, ἥπερ τῇ λογικῇ καὶ αὐτεξουσίῳ συνεισέρχεται φύσει, ὑποκλίνεσθαι ταύτην πείθουσα τοῖς τῆς ἀλόγου φύσεως πάθεσιν, ἐξὸν, εἴπερ ἐβούλετο, μὴ ἐνδοῦναι, οὐ πάντη τὸ ἄμεμπτον, εἰ καὶ συγκεχώρηται, διαπέφευγε· ταύτῃ τοι καὶ καθάρσεως ταῦτα δεῖται, οἷα τῆς προγονικῆς ἥττης κατ' ἴχνος ἑπόμενα. Καὶ γὰρ ὁ γάμος, εἰ καὶ τῆς ἀθανασίας, ἧς ἐκπεπτώκαμεν, δοκεῖ γε δήπου φέρειν τὸ ἀπεικόνισμα τῇ τοῦ γένους διαδοχῇ, ἀλλ' οὖν εἰ μὴ ἐπίκουρον σχοίη τὸν νόμον, καὶ τῇ ἱερᾷ τελετῇ τὴν παλαιὰν προστροπὴν ἀποπλύναιτο, τῶν ἐξαγίστων εἶναι δοκεῖ· ὥσπερ δὴ καὶ τὰ τικτόμενα βρέφη, εἰ μὴ τῷ θείῳ καθαρθείη λουτρῷ, ἐκποδὼν τῆς ἡμῶν ἵσταται κοινωνίας, καί τοι μὴ ἐκ προαιρέσεως, φυσικῶς δὲ τοῦ προγονικοῦ μετεσχηκέναι μιάσματος πιστευόμενα, ἅτε τῆς γενέσεως αἰτίαν, τῆς σαρκὸς ἴσχοντα τὴν ἐπιθυμίαν, ὥςπου φησὶν ὁ θεῖος Δαβίδ· Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην 1), καὶ τὰ ἑξῆς. Εἰ οὖν τῶν τῆς παραβάσεως προαιρετικῶν παθῶν ἔκγονα καὶ οἱ πόλεμοι, καὶ οἱ τούτοις ἑπόμενοι φόνοι, ἀνάγκη δήπου καὶ τοὺς ἐν ὅπλοις ζῆν ἑλομένους, καὶ τὴν δεξιὰν τοῖς τῶν ἀλλοφύλων αἵμασι βάπτειν, καθαρθῆναι πρότερον τοῖς τῆς μετανοίας φαρμάκοις, καὶ τῷ ταύτης πυρὶ τὰ περιφυόμενα τῷ ἐπιτηδεύματι ῥύπη ἐκτῆξαι, καὶ οὕτω τοῖς μυστηρίοις τοῦ νέου προσιέναι Ἀδάμ. Ἐπεὶ καὶ πᾶσα ἡ εὐαγγελικὴ νομοθεσία, ἐπὶ τὸ ἀρχαῖον ἡμᾶς ἐπανάγουσα, καὶ πρὸς τὴν πνευματικὴν ὡς οἷόν τε καὶ ἀμείνω παρα-

1) Ψαλμ. Ν'. 1.

καλοῦσα ζωὴν, οὐδαμοῦ δείκνυται ἡ πολέμους ἐν καλῷ τιθεμένη, ἡ φόνοις τὴν τῆς κακίας ἄγχουσα ῥύμην, ὡς τὰ τῆς παλαιᾶς εἶχε νομοθεσίας, ἀλλ' ἐκ διαμέτρου τούτοις ἱσταμένη, καὶ τἀναντία διδάσκουσα. Καὶ γάρ που τοῖς μαθηταῖς ἐρομένοις τὸν Κύριον, εἰ ἐπιτραπεῖεν σκηπτοὺς ἐπαφεῖναι τοῖς Σαμαρείταις μὴ δεξαμένοις αὐτοὺς, ζήλῳ τῷ τοῦ Θεσβίτου, ἐπιζραφεὶς, ἐπετίμησεν, Οὐκ ἴζε, εἰπὼν, οἵου Πνεύματός ἐζε ὑμεῖς 1). Οὐ μὴν ἀλλ' εἰ καὶ τὴν Παλαιὰν ἀκριβῶς σκοπήσαις, ἀδελφὰ ταύτῃ φρονοῦσαν ἔν γε τοῖς τοιούτοις εὑρήσεις, εἰ καὶ τῶν πρόπων τῆς ἀνθρωπείας φύσεως τὸ διάφορον, τὸ τῆς προναίας ἀπήτει διάφορον. Ἐπεὶ τί μαθὼν ὁ Θεὸς τὸν θεῖον Δαβὶδ οὐ προσήκατο, ναὸν αὐτῷ προθυμούμενον ἀνεγεῖραι; Οὐ παρὰ τὸ μεμιάνθαι τούτου τὴν δεξιὰν τῷ μυρίῳ φόνῳ τῶν ἀλλοφύλων, εἴ τω κἀνταῦθα πρὸς πίστιν Ἰώσηπος ἀξιόχρεως; Τί δὲ ἡνίκα τοῖς ἐξ οὐρανοῦ δείμασι, καὶ τῇ λεπτοτάτῃ φωνῇ τῆς αὔρας, ὁ Θεὸς ἐν Χωρὴβ ἐχρημάτιζεν αὐτῷ τούτῳ τῷ δηλωθέντι Θεσβίτῃ, καὶ τῶν μὲν, ἀπεῖναι, τῇ δὲ, παρεῖναι Κύριον ἔλεγεν; Οὐκ ἐναργῶς ἐντεῦθεν ἔδειξεν, ὅτι μακροθυμία καὶ φιλανθρωπία μόνη φίλη Θεῷ, ἕκαστον δὲ τῶν ἄλλων, ἡ πονηρία τῶν ἀνθρώπων ἐφέλκεται; Τί τῆς Μωσέως ὑπουργίας τὸ κράτιστον; Οὐ τὸ τὴν ἀσέβειαν ἐκ μέσου γεγενῆσθαι παρασκευάσαι, τῷ βίῳ τῶν ἀνθρώπων ἐνδυναστεύουσαν, καὶ ἅπαντας ἐκτριβῆναι τοὺς ταύτῃ κατάκρας ἁλόντας, καὶ ἀπεγνωσμένους παντάπασι τὴν πρὸς τὰ κρείττονα μεταβολήν; Τί οὖν δὴ τοὺς ἐκθερίζοντας, ἐξ ἐπιτάγματος θείου μετὰ τῶν ἀνθρωπείων σωμάτων καὶ τὴν ἀσέβειαν ἔσθ' ὅπου τῆς εἰς τὴν παρεμβολὴν ἐπὶ ῥητὰς ἡμέρας ἀπεῖργεν εἰσόδου· τοὺς γὰρ ἐπὶ τὸν ἔχθιστον Βαλαὰμ πρὸς αὐτοῦ μετὰ χρησμῶν ἐκπεμφθέντας αἰσίων, καὶ τὰς ὑποτελεῖς ἐκείνῳ πόλεις ἄρδην δηώσαντας, τοὺς ἐν αὐταῖς τε πάντας, πλὴν ὅσων ἦν ἐν νηπίοις, ἀφειδῶς καταθύσαντας, ἀλλὰ καὶ αὐτὸν ἱερεύσαντας βασιλέα, ἄνδρα μυρία καὶ βεβουλευμένον καὶ δεδρακότα πρότερον τοὺς Ἰουδαίους κακά· (γυναῖκας γὰρ ἀσελγεῖς προστησάμενος, λαγνείαις μὲν τὰ σώματα, τὰς ψυχὰς

1) Λουκ. Θ'. 55.

δὲ ἀσεβείᾳ τῶν αὐταῖς συμφθαρέντων διέφθειρε)· τοὺς οὖν οὕτω κατὰ τῶν πολεμίων ἠριστευκότας, ἔξω μεῖναι τοῦ στρατοπέδου εἰς ἑβδόμην ἡμέραν ἐπέταξε τῷ δὲ μεγάλῳ ἱερεῖ Ἐλεαζάρῳ καθαίρειν αὐτοὺς παρεγγύησε, δείξας, οἶμαι, ὡς εἰ καὶ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαί, ἀλλ' ὅ γε κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως ἀμυνόμενος καὶ βιασθείς, κἂν ὁποιασοῦν ὢν τυγχάνῃ θρησκείας, ὑπαίτιος εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω συγγένειαν καὶ κοινὴν, οὗ χάριν καθάρσεως ἐδέησε τοῖς κτείνασι καὶ τοὺς πόρρω ἀσεβείας ἐληλακότας, πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους. Πρὸς τοίνυν τὸν νόμον τοῦ Πνεύματος τὸν νοῦν ὅλον τείνων ὁ ἅγιος, καὶ πρὸς παράδειγμα Μωσέα βλέπων, ὠδίνοντα μὲν τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, μήπω δὲ τελέως θαρροῦντα δοῦναι τούτῳ τὴν παῤῥησίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων ταύτην μὴ προσιεμένων, οὐδὲ τοὺς ἐν πολέμοις φόνους ἔξω δίκης ἑστᾶναι κελεύει, ὡς ἡ ἐπίκρισις ἔχει τοῦ κεραννύντος τὰ φάρμακα καὶ ἡ διάθεσις τοῦ ταῦτα προσιεμένου, εἰ καὶ ῥητοῖς δοκεῖ χρόνοις τὴν τοῦ πταίσματος ἐπιμετρεῖν ἄφεσιν, ὡς καὶ ἐν τοῖς ἄλλοις ἁμαρτήμασιν ὁρᾶται διαταττόμενος.

Καὶ ἐπὶ τοῦ βασιλέως δὲ Νικηφόρου τοῦ Φωκᾶ, ἐν καιρῷ τῇ Ἐκκλησίᾳ τὰ τοῦ κανόνος γέγονε τοῦδε. Ἐκείνου γὰρ ἀναγκάζοντος νόμον θέσθαι τὴν Ἐκκλησίαν, τοὺς πίπτοντας ἐν πολέμοις ἐξ ἴσης τοῖς ἁγίοις πρεσβεύειν μάρτυσι, καὶ ὥσπερ ἐκείνους ὕμνοις γεραίρειν καὶ πανηγύρεσιν, οἱ τότε τῆς Ἐκκλησίας προβεβλημένοι, ἐπεὶ πολλὰ λέγοντες τὸν βασιλέα οὐκ ἔπειθον, μὴ ὅσιον εἶναι τοὐπίταγμα, τελευτῶντες τῷ κανόνι τούτῳ ἐχρήσαντο, πῶς οἷόν τε, φάμενοι, τοὺς ἐν πολέμοις πεσόντας συναριθμεῖν τοῖς μάρτυσιν, οὓς ὁ μέγας Βασίλειος, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τῶν ἁγιασμάτων ἐπὶ τριετίαν ἀπεῖρξε· κατ' οὕτω τὴν τοῦ βασιλέως βίαν ἀπεσκευάσαντο. Διαφόρων δὲ ἱερέων καὶ ἐπισκόπων ἐπὶ τῆς Συνόδου ἐξομολογησαμένων, πολεμίοις συμπλακῆναι, καὶ πολλοὺς ἐξ αὐτῶν ἀνελεῖν, ἡ ἱερὰ καὶ θεία Σύνοδος τῷ τοῦ ἁγίου τούτου κανόνι καὶ τῷ νε'. ἑπόμενοι, ὃν καὶ ζήτει ἐν τῷ ε'. Κεφ. τοῦ Λ στοιχείου, ἀναλεγόμενοι καὶ ὅσα τῇ θείᾳ Γραφῇ διείληπται, τῆς λειτουργίας αὐτοὺς ἐκέλευσε παύσασθαι, εἰ καὶ ἔνιοι, τῶν τοῦ στρατιωτικοῦ

καταλόγου μάλιστα, τούτοις οὐκ ἐτίθεντο. Ζήτει καὶ τὸ ζ'. Κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν φονευουσῶν γυναικῶν διὰ φαρμάκων τὰ ἔμβρυα.

Ζήτει τὸ κή'. καὶ τὸ κθ'. Κεφ. τοῦ Γ στοιχείου, καὶ ἐν τῷ θ'. Κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα κε'. τῆς ἐν Ἀγκύρᾳ Συνόδου. Ἔτι περὶ φόνων ἀκουσίων, καὶ περὶ τῶν ἀποπνιγέντων νηπίων παρακειμένων τοῖς γονεῦσιν αὐτῶν.

Ἐν τοῖς ἀκουσίοις δὲ φόνοις ἐκεῖνο κρίνεται, ἡνίκα τῶν βρεφῶν ἔνια, μέσον κείμενα νυκτὸς τῶν γονέων, ἐκ ῥαθυμίας αὐτῶν, ἢ μέθῃ, ἢ γαστρὸς κόρῳ βαρυνομένων, καὶ ἐμπεσόντων αὐτοῖς, ἀποπνιγῇ· οἱ καὶ τὴν ἐπταετίαν φυλάξουσι, ξηροφαγίᾳ δὲ καὶ γονάτων κλίσεσι τὸ θεῖον ἐξιλεούμενοι, κλαυθμῷ καὶ τῇ κατὰ δύναμιν ἐλεημοσύνῃ ὑποτέμνουσι καὶ τοὺς ὁριαθέντας χρόνους, συγγνώμην ἔχοντες καὶ τῷ ἀνηκέστῳ ληφθῆναι συμφορᾷ.

Εἰ δ' ἐξ ἐπιβουλῆς τοῦ ἀντικειμένου σαφῶς ταῦτο συνέβη, μηδὲν τῶν γονέων ἐπταικότων, εἰ καὶ συγγνώμης τὸ συμβὰν ἄξιον, ἀλλ' οὖν καὶ μετρίων δεῖ τῶν ἐπιτιμίων· ἔοικε γὰρ δι' ἑτερά τινα ἀμετανόητα πταίσματα, τὴν ἐγκατάλειψιν ταυτηνὶ γεγονέναι παρὰ τοῦ φυλάσσοντος Κυρίου τὰ νήπια. Μὴ δῴης γάρ, φησίν, εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε ἄγγελος 1).

Εἰ δὲ καὶ ἀφώτιστον ὂν ἀπεπνίγη τὸ βρέφος, ἐπιτείνεσθαι δεῖ τοῖς γονεῦσι μετὰ τῶν ἐπιτιμίων καὶ τὸ περὶ τὴν ἐλεημοσύνην φιλότιμον.

Νόμοι.

Ὁ φόνος ἀπὸ διαθέσεως σκοπεῖται, εἰ σκοπὸν ἔσχε φονεῦσαι ἢ οὔ· ὅθεν ἐστὶν εὑρεῖν, ὅτι καὶ ὁ πλήξας, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται· καὶ ὁ φονεύσας, εἰ μόνον ἠθέλησε πλῆξαι,

1) Ψαλμ. ΡΚ'. 3.

οὐ τιμωρεῖται ὡς φονεύς· ἡ δὲ τοιαύτη διάθεσις ἀπὸ τοῦ πλήξαντος ὀργάνου σκοπεῖται. Καὶ ἔστι τοῦ μὲν ἑκουσίου φόνου τιμωρία, ἐπὶ μὲν ἐντίμου φονεύσαντος, δεπορτατίων, ἤτοι τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, τὸ ξίφει καὶ θηρίοις ὑποβληθῆναι· ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἢ ἀμέλειαν φονεύσαντος, πενταετὴς ἐξορία· ἐπὶ δὲ τοῦ ἀκουσίου, συγγνώμη δέδοται 1).

Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν· ὅθεν ἐάν τις ἑαυτὸν ἐξ ὕψους ῥίψας ἢ, λίθον, ἢ κλάδον ἀπὸ δένδρου, φονεύσῃ τινά, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ 2).

Οὔτε ἴνφανς, τουτέστιν ὁ ἑπταετὴς, οὔτε ὁ μαινόμενος, φονεύων ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ 3).

Ὁ ἐντειλάμενός τινι φονεῦσαι, ὡς φονεὺς κρίνεται 4).

Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, εἰ ἐκ προνοίας ἢ κατὰ τύχην ἥμαρτέ τις· καὶ οὕτως ἢ κατὰ νόμον, ἢ πραοτέραν τὴν τιμωρίαν ἐπιφέρειν 5).

Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα συγγενῆ, πυρὶ παραδίδοται 6).

Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευεν, ἀνεύθυνός ἐστιν 7).

Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τις, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα τοῦ ἰδίου κινδύνου φείσασθαι αὐτοῦ 8). Ζήτει καὶ ἐν τῷ ε΄. Κεφ. τοῦ Λ στοιχείου, τὸ κθ΄. Κεφ. τοῦ Γ στοιχείου.

Νεαρὰ Ἀθανασίου.

Ἡ δὲ νεαρὰ τοῦ ἁγίου Πατριάρχου Ἀθανασίου καὶ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου διορίζεται, τὸν φόνῳ ἁλόντα, αὐτὸν μόνον τιμωρεῖσθαι κατὰ τοὺς νόμους, τοὺς δὲ παῖδας αὐτοῦ μὴ δημεύεσθαι, τῇ μιαιφονίᾳ μὴ συμπράξαντας· μεριζομένης δὲ τῆς αὐτοῦ περιουσίας κατὰ τὸν ἀριθμὸν τῶν οἰκείων παίδων, ἀπονέμει μίαν καὶ τῷ φονευθέντι μερίδα, καὶ μάλιστα εἰ πενίᾳ συζῶν ἦν, καὶ ἐπὶ γυναικὶ καὶ παισὶν ἀπῆλθε· μόνην δὲ τὴν τοῦ φονέως μερίδα προσκληροῦσθαι τῷ δημοσίῳ 9).

---

1) α΄, Θέμ. δ΄. β΄. Θέμ. ς΄. καὶ ιϛ΄. Βασ. Ξ΄. λθ΄. —2) έ. Βασ. ξ΄, λθ΄.—3) ή. Βασ. αὐτόθι Πρ. Ν. ΛΘ΄, π΄.—4) ιά. Βασ. αὐτ.—5) ί. Βασ. Ξ΄, λθ΄.—6) Πρ. Ν΄, ΛΘ΄, λε΄.—7) αὐτ. λθ΄. —8) ις΄. Βασ. Ξ΄. λθ΄. — 9) Τόμ. Ε. τοῦ παρ. Συντ. σελ. 121.

Καὶ ὁ τὸ νήπιον φονεύσας, τιμωρίᾳ φόνου ὑπόκειται 1).

Ζήτει καὶ τὰς δύο νεαρὰς τοῦ βασιλέως Κωνσαντίνου τοῦ πορφυρογεννήτου κατὰ τὴν τοῦ φόνου ποιότητα, διαφόρους καὶ τὰς τιμωρίας νομοθετούσας· καὶ τίνας δεῖ τῶν φονέων προσφεύγοντας τῇ Ἐκκλησίᾳ μὴ ἐκβάλλειν, καὶ τίνας ἀφειδῶς ἀποσπᾶν 2).

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅτι οὐ δεῖ φυλακτήρια ποιεῖν.

Ζήτει τὸ α΄. Κεφ. τοῦ Μ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν ἐν φυλακῇ κατακρίτων.

Ζήτει ἐν τῷ ια΄. Κεφαλαίῳ τοῦ Τ στοιχείου κανόνα γ΄. τοῦ Φωτίου Κωνσταντινουπόλεως, καὶ τὸ ιζ΄. Κεφ. τοῦ Ε στοιχείου.

Νόμος.

Χρὴ τοὺς ἄρχοντας κατὰ κυριακὴν ἐπισκέπτεσθαι τοὺς ἐν φυλακῇ· καὶ ὁρίζειν, ἵνα φιλανθρώπως αὐτοῖς οἱ φύλακες χρῶνται, καὶ τροφὰς αὐτοῖς ἀπορουμένοις ἐπινοεῖν 3).

---

1) κ΄. Βασ. Ξ΄, λθ΄. — 2) Τόμ. Ἑ. τοῦ παρ. Συντ. σελ. 256 καὶ 258. — 3) λθ΄. Βασ. ς΄. γ΄.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅπως αἱ τῶν χειροτονουμένων ἐπισκόπων ψῆφοι γίνονται, καὶ περὶ τῆς γινομένης ἐν ταύταις ἀντιλογίας.

Συνόδου πρώτης δ'.

Ὁ δ'. κανὼν τῆς πρώτης Συνόδου κατὰ ῥῆμά φησιν, Ἐπίσκοπον προσήκειν μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ· ἐπικυροῖ γὰρ οὗτος τὰς ψήφους, ἕνα τῶν ψηφισθέντων ἐκλεγόμενος, καὶ χειροτονῶν μεθ' ἑτέρων δύο ἢ τριῶν ἐπισκόπων· εἰ δὲ ἡ τοῦ μητροπολίτου ἐπαρχία τοσοῦτον ἐπισκόπων ἐνδεῶς ἔχοι, καὶ ἐξ ἀλλοδαπῆς προσλαμβάνειν χρεὼν εἴς τε τὰς ψήφους καὶ τὴν χειροτονίαν.

Καρθαγένης ιγ'.

Τούτοις καὶ ὁ ιγ'. τῆς ἐν Καρθαγένῃ ἐπιψηφίζεται, Εἴ δέ τις, φησὶ, τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ ἐναντιωθείη, αὐτὸς καθ' ἑαυτοῦ τὴν δίκην ἐνέφερεν, στερούμενος τῆς ἰδίας τιμῆς. Δείκνυται δὲ ἐκ τῶν κανόνων, μὴ νόμιμον εἶναι τὸν μητροπολίτην ταῖς ψήφοις τῶν ὑπ' αὐτὸν ἀρχιερέων συμπαρεῖναι, ἀλλὰ μόνους τοὺς ἐπισκόπους.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ε'. κανὼν, μὴ ἐξεῖναί φησι τῷ βουλομένῳ παντὶ τῇ ψήφῳ τοῦ μέλλοντος χειροτονεῖσθαι παρεῖναι· ἐγκλήματα γὰρ ἔσθ' ὅτε κατά τινων ἐν τῷ μέσῳ συμβαίνει κινεῖσθαι, καὶ τῆς χειροτονίας ἴσως αὐτοὺς ἀπείργοντα· καὶ εἰ μὴ ἀνέκφορα τοῖς πολλοῖς εἴη ταῦτα, αὐτὸς μὲν αἰσχύνην αὐτοῖς ὀφλήσει καὶ γέλωτα, καὶ ἅμα προτροπὴ πρὸς κακίαν αὐτοῖς τοῦτο γενήσεται· βλασφημηθήσεται δὲ τὸ θεῖον πρὸς τῶν

μὴ καλῶς ἐνιδρυμένων τῇ πίστει, ὥσπερ ἄρα διὰ τῶν ἀρετῆς μεταπσιουμένων δοξάζεται.

Ἀντιοχείας ιθ'.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ιθ'. κανὼν διορίζεται, παρεῖναι δεῖν προηγουμένως λέγων τὸν μητροπολίτην τῆς ἐπαρχίας τῇ ψήφῳ τοῦ μέλλοντος χειροτονεῖσθαι, οὐχὶ τῷ συμπαρεῖναι τοῖς ἐπισκόποις, ἀλλὰ τῷ ἐπιτρέπειν· χωρὶς γὰρ τῆς αὐτοῦ ἐπιτροπῆς ψήφους γενέσθαι ἀδύνατον· εἶτα πάντας τοὺς τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπους μετακλήτους γεγενημένους δι' ἐπιστολῶν τοῦ μητροπολίτου. Καὶ βέλτιον μὲν τοὺς πάντας συνιέναι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τοὺς γοῦν πλείους παρεῖναι δεῖ· τοὺς μέντοι δι' ἀναγκαίας αἰτίας μὴ ἀπαντήσαντας, διὰ γραμμάτων τοῖς πεπραγμένοις ἐπιψηφίζειν, καὶ οὕτω γίνεσθαι τὴν τῆς ψήφου κατάστασιν· ἂν δὲ μὴ οὕτω γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. Εἰ δὲ κανονικῶς, ὡς εἰρήκαμεν, τὰ τοῦ πράγματος τελεσθείη, ἔνιοι δὲ τῶν ἐπισκόπων ἴσως ἀντιλέγοιεν φιλονείκως, μὴ τὰ τῆς ψήφου ἐμποδιζέσθω, ἀλλ' ἡ τῶν πλειόνων ψῆφος κρατείτω.

Καρθαγένης μθ'.

Ὁ δὲ μθ'. τῆς ἐν Καρθαγένῃ, Τοῦ ἐπισκόπου, φησὶν, ἐκλεγομένου παρὰ τριῶν ἐπισκόπων, ἐὰν ἀναφύῃ τις ἐκ τῶν τοῦ δήμου ἀντιλογία, οὐκ εὐαγεῖς εἰσαγόντων τινῶν αἰτίας, δεῖ προστεθῆναι τῷ ἀριθμῷ τῶν τριῶν καὶ ἑτέρους δύο, ὥστε ὁμοῦ πάντας ἐξετάσαι τὰ κατὰ τοῦ ψηφιζομένου λεγόμενα, καὶ καθαρὸν αὐτὸν ἀποφῆναι.

Ζήτει καὶ ἐν τῷ ια'. Κεφ. τοῦ Ε στοιχ. κανόνα ς'. τῆς α'. Συνόδου, καὶ κη'. τῆς τετάρτης Συνόδου.

Ἡ δὲ ρλζ'. Ἰουστινιάνειος νεαρὰ, ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα γίνεσθαι τῶν ἐπισκόπων κελεύει παρά τε τῶν κληρικῶν καὶ τῶν τῆς πόλεως τὰ πρῶτα φερόντων, ἐφ' ᾗ ψηφίζεται ὁ ἐπίσκοπος, ἑκάστου τούτων κατὰ τῶν θείων ἐπομνυμένων Εὐαγγελίων, μήτε δόσει χρυσίου, ἢ ὑποσχέσει, ἢ φιλίᾳ, ἢ χάριτι, ἢ ἄλλῃ τινὶ προσπαθείᾳ τοῦτον ἐκλέγεσθαι, ἀλλ' εἰδότες τῇ τε

πίστει ὀρθὸν καὶ τῷ βίῳ σεμνόν· καὶ εἰ ἔσχε γαμετὴν, καὶ αὐτὴν μίαν, καὶ οὔτε χήραν ἢ ἐκβεβλημένην, ἀλλ' οὐδὲ παλλακὴν ἐκτήσατο, καὶ ἐκ τῶν ψηφιζομένων τριῶν τὸν βελτίονα χειροτονεῖσθαι τῇ ἐπιλογῇ καὶ τῇ κρίσει τοῦ χειροτονοῦντος· τοιοῦτον ἔχειν βίον ἀπαιτεῖ καὶ τοὺς χειροτονουμένους κληρικούς. Ἀλλὰ τὰ πλείω τούτων τοῖς ἱεροῖς παρεῖται κανόσι, μήτε κατὰ τῶν θείων Εὐαγγελίων ὀμνύναι τοὺς ψηφιζομένους δεῖν οἰομένοις, μήτε παρὰ τῶν κληρικῶν ἢ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους γίνεσθαι, ἀλλὰ μόνων τῶν ἐπισκόπων, οἳ καὶ τὸν ὑπὲρ τούτων λόγον πρὸς τοῦ κοινοῦ κριτοῦ εἰσπραχθήσονται.

Νόμος.

Κατηγορίας δέ, φησι, πρός τινος κινηθείσης κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου, ἢ κληρικοῦ ἐφ' οἱαδήποτε αἰτίᾳ, ἀναβαλλέσθω ἡ τοιαύτη χειροτονία, καὶ ζήτησις ἀκριβεστάτη γινέσθω τριῶν εἴσω μηνῶν· καὶ εἰ μὲν ὑπεύθυνος εὑρεθείη ὁ μέλλων χειροτονηθήσεσθαι, κωλυέσθω ἡ χειροτονία· εἰ δὲ ἀνεύθυνος, χειροτονείσθω· ὁ δὲ μὴ ἰσχύσας ἀποδεῖξαι κατήγορος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐξωθείσθω βαθμοῦ, εἰ δὲ λαϊκὸς, προσηκόντως σωφρονιζέσθω. Εἰ δέ τις πρὸ ἐξετάσεως τοῦτον χειροτονήσειε, καθαιρείσθω συνάμα τῷ χειροτονηθέντι 1).

Ὁ δὲ τῇ οἰκείᾳ ἐναντιούμενος περὶ τὰς ψήφους ὑπογραφῇ, λέγων μετὰ ταῦτα μεμαθηκέναι τόδε τι τὸ κωλύον τὸν ψηφισθέντα χειροτονηθῆναι, ἄλλως οὐ καθαιρεθήσεται, εἰ μὴ περὶ τὰς ἀποδείξεις ἀτονήσειεν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι τὰς τῶν χειροτονουμένων ψήφους οὔτε παρὰ ἀρχόντων, οὔτε παρὰ τοῦ δήμου γίνεσθαι χρή.

Ζήτει τὸ ιθ'. Κεφ. τοῦ Ε στοιχείου.

Λαοδικείας ιβ', ιγ'.

Ὅ γε μὴν ιβ'. καὶ ὁ ιγ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανὼν, οὐ

1) Ν. ρλζ', γ'.

τοῖς ὄχλοις ἐπιτρέπουσιν ἢ ἐπισκόπους ἢ πρεσβυτέρους ἐκλέγεσθαι, ἀλλὰ τῇ κρίσει τοῦ μητροπολίτου, καὶ τῶν τῆς ἐπαρχίας αὐτοῦ ἐπισκόπων· εἶναι δὲ τὸν ἐκλεγόμενον ἐκ πολλοῦ δεδοκιμασμένον ἔν τε λόγῳ καὶ πράξει, ὡς τῷ μὲν, δύνασθαι τοὺς ὑπ' αὐτὸν πρὸς τὴν ὑγιαίνουσαν πίστιν παρακαλεῖν, καὶ τοὺς ἀντιλέγοντας τοῖς ὀρθοῖς δόγμασιν ἐλέγχειν, τῷ δὲ βίῳ, οἷόν τε εἶναι πρὸς τὸν τῆς ἀρετῆς ζῆλον ἕλκειν τοὺς πρὸς αὐτὸν βλέποντας, εὐθύν τε ὄντα καὶ ἀνεπίληπτον, καὶ τρόποις χρηστοῖς εὐθηνούμενον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

Ὁ κε'. τῆς δ'. Συνόδου κανὼν, τὰς τῶν ἐπισκόπων χειροτονίας ἐντὸς τριῶν μηνῶν γίνεσθαι διατάττεται, παρ' οἷς ἡ ἐκείνων ἀνήκει προχείρισις· οὐ γὰρ ἐπὶ πολὺ χρὴ τοὺς τῶν Ἐκκλησιῶν λαοὺς ἐρήμους εἶναι τῆς τῶν ποιμένων προνοίας, καὶ ὡς ἔτυχε φέρεσθαι, εἰ μήπου ἐξ αἰτίας ἀπαραιτήτου συμβαίη ἐπιταθῆναι τὸν χρόνον, καὶ ὑπερτεθῆναι τὴν χειροτονίαν, ὑπὸ βαρβάρων ἴσως ἐκλωκυίας τῆς πόλεως· τοὺς δὲ μὴ οὕτω ποιοῦντας, ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι. Τὴν μέντοι πρόσοδον τῆς χηρευούσης Ἐκκλησίας, τοῦ καιροῦ τῶν τριῶν μηνῶν ἢ καὶ πλείονος, σώαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς Ἐκκλησίας ἐπιτάττει φυλάττεσθαι τῷ χειροτονηθήσεσθαι μέλλοντι.

Ζήτει τὸ κζ'. Κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὁποίους εἶναι δεῖ τοὺς χειροτονουμένους ἐπισκόπους, καὶ τίνα πρὸ πάντων γινώσκειν χρή.

Συνόδου ἑβδόμης β'.

Ὁ β'. τῆς ζ'. Συνόδου κανὼν, τῷ μέλλοντι προχειρίζεσθαι,

καὶ εἰς τὸν τῆς ἐπισκοπῆς ἀνιέναι βαθμὸν, τοῦτο εἶναι οἱ προὔργου παρεγγυᾶται, τὸν Ψαλτῆρα παντὸς μᾶλλον ἐπίστασθαι, ἐκπαιδεύειν τε τὸν οἰκεῖον λαὸν τὰ τούτου πρὸ τῶν ἄλλων ᾄδειν τε καὶ μυεῖσθαι· ἀνακρίνεσθαι δὲ ἀσφαλῶς πρὸς τοῦ οἰκείου μητροπολίτου, εἰ προθύμως ἔχει, ἐρευνητικῶς καὶ οὐ κατὰ τὸ παρῆκον τοὺς ἱεροὺς ἀναγινώσκειν κανόνας, καὶ τὸ ἅγιον Εὐαγγέλιον, τήν τε τοῦ θείου Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν ἄλλην θείαν Γραφὴν, καὶ τὸν νοῦν αὐτῆς σπουδαίως ἐκλέγεσθαι, καὶ κατὰ τὰ θεῖα ταύτης ἐντάλματα αὐτόν τε βιοῦν, καὶ τοὺς ἄλλους ἐνάγειν περὶ πλείστου ταῦτα τιθέναι, ἕτοιμόν τε εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, καὶ τοὺς ὑπ' αὐτὸν εὐπρεπεῖς εἶναι πρὸς τοῦτο παρασκευάζειν· οὐσία γὰρ καὶ σύστασις τῆς καθ' ἡμᾶς ἱεραρχίας, τὰ θεοπαράδοτα λόγια, ὡς ὁ μέγας ἀπεφήνατο Διονύσιος· καὶ εἰ μὲν ἀσμένως ταῦτα ποιεῖν ὑπισχνεῖται, τὴν χειροτονίαν λαμβάνειν· εἰ δὲ ἀμφιβάλλων εἴη καὶ ἀναδυόμενος, ἄπρακτον ἀποπέμπεσθαι· φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ Προφήτου· Σὺ ἀπώσω ἐπίγνωσιν, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι 1)· εἰ γὰρ πάντες οἱ πιστοὶ ψάλλοντες συντασσόμεθα, Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου 2), ἦπου τοῖς τὴν ἱερὰν ἐνδεδυμένοις στολὴν πολλῷ γε μᾶλλον τοῦτο προσήκει ποιεῖν.

Καρθαγένης ιη', ιθ'.

Ὁ δὲ ιη'. καὶ ιθ'. τῆς ἐν Καρθαγένῃ Συνόδου, τὸν χειροτονούμενον ὑπομιμνήσκεσθαι κελεύει τοὺς ὅρους τῶν Πατέρων φυλάττειν, ὅσα τε περὶ δογμάτων, καὶ ὅσα περὶ τῶν ἱερῶν κανόνων ἐθέσπισαν, ἵνα μὴ τοὺς ὅρους τούτων παρεξιόντες, ἐπ' ἐσχάτων ἀνόνητα μεταμεληθῶσιν, ἢ ἐν τῷ παρόντι καθαιρεθέντες, ἢ ἀπαραιτήτους δίκας ὑπέχοντες ἐν τῷ μέλλοντι.

---

1) Ὡσηὲ, Δ', 6. — 2) Ψαλμ. ριθ', 16.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὑπὸ πόσων ἐπισκόπων χειροτονοῦνται οἱ ἐπίσκοποι, καὶ οἱ λοιποὶ κληρικοί.

Ἀποστόλων ά, καὶ β'.

Ὁ μὲν α'. τῶν ἁγίων Ἀποστόλων κανὼν, ἐπίσκοπον ὑπὸ δύο ἐπισκόπων χειροτονεῖσθαι κελεύει, καθιερούμενον πρὸς αὐτῶν τῇ ἐπικλήσει τοῦ ἁγίου Πνεύματος, καὶ τῇ ἱερᾷ τῶν εὐχῶν τελετῇ.

Ὁ δὲ β', πρεσβύτερον, καὶ διάκονον, καὶ τοὺς λοιποὺς κληρικοὺς, ὑφ' ἑνὸς ἐπισκόπου χειροτονεῖσθαι παρεγγυᾶται.

Καρθαγένης μθ'.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μθ', τρεῖς ἐπισκόπους εἰς ἐπισκόπου χειροτονίαν ἀρκεῖν ἀπεφήνατο, ἵνα μὴ πλείους ἐπιζητούντων, τῷ χρησίμῳ καὶ ἀναγκαίῳ τῆς Ἐκκλησίας ἐμποδὼν τοῦτο γένηται. Οὐκ ἀνάγκη δὲ καὶ τοὺς τρεῖς τῆς αὐτῆς ἐπαρχίας εἶναι· ἀλλ' εἰ μὴ τοσούτους ἔχει ὁ μητροπολίτης, καὶ ἐξ ἑτέρας ἐπαρχίας δύο προσλαμβάνει, καὶ οὕτω τὸν ψηφισθέντα χειροτονεῖ.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Ὅτι τὸν χειροτονηθήσεσθαι μέλλοντα ἐπίσκοπον, δεῖ πρότερον τῆς ἰδίας χωρίζεσθαι γυναικός.

Ζήτει τὸ ιζ'. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς τῶν χειροτονουμένων ἡλικίας.

Ζήτει τὸ β'. Κεφάλαιον τοῦ Β στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Ὅτι οὐ δεῖ χειροτονεῖν ἕτερον ἀνθ' ἑαυτοῦ τὸν τελευτῶντα ἐπίσκοπον.

Ἀποστόλων ος΄.

Ὁ ος΄. τῶν ἁγίων Ἀποστόλων κανών, Οὐ χρὴ, φησὶ, τὸν ἐπίσκοπον, ὁποιῳδήποτε μεθιστάμενον τρόπῳ ἧς ἐθύνειν ἔλαχεν Ἐκκλησίας, ἢ τινι τῶν ἀφ' αἵματος ἢ ἑτέρῳ χαριζόμενον, εἰς τὸν ταύτης θρόνον τοῦτον χειροτονεῖν· οὐ γὰρ δίκαιον, ἢ τοὺς γένει προσήκοντας κληρονόμους τῆς ἐπισκοπῆς ποιεῖσθαι, ἢ ἑτέροις τὰ τοῦ Θεοῦ πάθει ἀνθρωπίνῳ χαρίζεσθαι· εἰ δὲ συμβαίη γενέσθαι, καὶ τὴν χειροτονίαν ἄκυρον μένειν, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι· ὑπὸ γὰρ Συνόδου τοὺς ἐπισκόπους γίνεσθαι διατέτακται, οὐ μὴν ἕκαστον ἀνθ' ἑαυτοῦ προΐσχεσθαι ὃν ἂν βουληθείη. Τοῦτο καὶ τοῖς ἐξ Ἰσραὴλ τῶν ἀπειρημένων ἐδόκει· ἀμέλει καὶ τῷ θεσπεσίῳ ἐνεκάλουν 1) Μωσῇ, ὡς ἄρα τὸν ἀδελφὸν Ἀαρὼν καὶ τοὺς ἐκείνου υἱεῖς ἱερᾶσθαι προεχειρίσατο· καὶ εἰ μὴ σημείοις ὁ Θεὸς τὴν ἱερωσύνην αὐτοῖς ἐπεψήφισεν, οὐκ ἂν ἦσαν φθάνοντες ταύτης ὠστρακισμένοι.

Ἀντιοχείας κγ΄.

Ὁ δὲ κγ΄. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, μὴ ἐξεῖναι κελεύει τῷ βουλομένῳ χειροτονεῖν ὃν βούλεται διάδοχον ἑαυτοῦ, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ ὤν, εἰ δὲ μὴ, ἄκυρον εἶναι τὴν κατάστασιν· τοὺς δὲ θεσμοὺς τῆς Ἐκκλησίας φυλάττοντας, μετὰ τὸ μηκέτι εἶναι τὸν ἐπίσκοπον, κρίσει τῶν τῆς ἐπαρχίας ἐπισκόπων τὸν ἄξιον προχειρίζεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐὰν μὴ πρότερον τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας ποιήσῃ Χριστιανούς.

Καρθαγένης λς΄.

Ὁ δὲ λς΄. τῆς ἐν Καρθαγένῃ Συνόδου κανών, μὴ χειροτονεῖ-

1) ἐπεγκάλουν Κ. ἐπεκάλουν a. B.

σθαι κελεύει μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον, ἂν μὴ πρότερον τοὺς οἰκείους πάντας Χριστιανοὺς γενέσθαι παρασκευάσωσιν. Ὁ γὰρ τοὺς οἰκείους ἐπιστρέψαι πρὸς εὐσέβειαν μὴ δεξιῶς ἔχων, πῶς ἑτέρους ἱκανὸς ἔσται διδάσκειν; ὡς καὶ ὁ μέγας φησὶ Παῦλος· Εἴ τις ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς οὗτος Ἐκκλησίας Θεοῦ προστήσεται 1);

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἀθρόον τὸν λαϊκὸν ἐπίσκοπον, οὐδὲ τὸν ἄρτι φωτισθέντα· καὶ διὰ ποίας αἰτίας ὁ κληρικὸς τῆς ἱερωσύνης ἀφαιρεῖται.

Ζήτει τὸ α΄. Κεφάλαιον τοῦ Λ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Πότε χειροτονεῖται εὐνοῦχος, ἢ ἄλλως τὸ σῶμα λελωβημένος, ἐπίσκοπος ἢ κληρικός.

Ζήτει τὸ λδ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

Ἀποστόλων οζ΄, οη΄.

Ὁ δὲ οζ΄. καὶ ὁ οη΄ κανόνες τῶν ἁγίων Ἀποστόλων οὐκ ἀποθοῦνται τῆς ἱερωσύνης τὸν ἑτερόφθαλμον, ἢ τὸ σκέλος ὑποσκάζοντα· οὐ γὰρ λώβη, φησὶ, σώματος, οἷα τε τοῦτο μιᾶναι, ἀλλὰ ψυχῆς μολυσμός 2)· ταυτὶ γὰρ τῷ σκιώδει παρατετήρητο νόμῳ, ὁλόκληρον ἐπιζητοῦντι τὸ σῶμα, τοῖς ὁρωμένοις ἐκπαιδεύειν τὰ πνευματικὰ εἰωθότι. Ἀλλὰ καὶ ὁ μετὰ τὴν ἱερωσύνην τοιοῦτόν τι πεπονθὼς, ταύτης ἀπεκινεῖτο· παρ' ἡμῖν δὲ, καὶ ὁ τὰς ὄψεις μετὰ τὴν ἱερωσύνην ἀνακοπεὶς, ἢ ἑτέρῳ πάθει περιπεσὼν ἀνηκέστῳ, τῆς ἱερωσύνης οὐ μετατίθεται. Εἰ γάρ τις, φησὶ, καὶ ἄμφω τοὺς ὀφθαλμοὺς ἐκκέκοπται, ἢ τὰ ὦτα κεκώφωται, ἢ τὴν δεξιὰν ἀργὴν ἔχει χεῖρα, ἢ ἄλλην τινὰ τῶν αἰσθήσεων ἀφῃ-

1) ά. Τιμόθ. Γ΄, 5. — 2) λογισμὸς ε.

ρηται, προσισταμένης αὐτῷ τῆς πηρώσεως πρὸς τὴν τῆς ἱερωσύνης ἐνέργειαν, εἰς ἱερωσύνην οὐ προβιβασθήσεται, οὐ τῷ βεβλάφθαι τὰ μέλη, ἀλλὰ τῷ ἀδυνάτως ἔχειν πρὸς τὴν τῶν θείων μεταχείρησιν. Ὁ δὲ μετὰ τὴν ἱερωσύνην ἐκεῖνα παθὼν, ταύτης οὐκ ἀφαιρεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν Ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ἔτι περίεστι.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Δ στοιχείου κανόνα ις΄. τῆς α΄. καὶ β΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν πόλει μικρᾷ ἢ κώμῃ.

Ζήτει τὸ λ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Περὶ χειροτονίας χωρεπισκόπων.

Ζήτει τὸ λα΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ τοῦ χειροτονηθέντος ἐπισκόπου, καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ Ἐκκλησίαν.

Ζήτει τὸ κ΄. Κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Ὅτι οὐ δεῖ χειροτονίας ποιεῖν ἐπίσκοπον ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ ἐνορίαις.

Ἀποστόλων λε'.

Ὁ λε'. τῶν ἁγίων Ἀποστόλων κανὼν, ἐπίσκοπον μὴ τολμᾷν διορίζεται, ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ πόλεσι καὶ χώραις· εἰ δέ τις τοῦτο πεποιηκὼς ἐλεγχθείη παρὰ γνώμην τῶν αὐτὰς κατεχόντων, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν. Ἀλλ' οὐδὲ αὐτῷ τῷ μητροπολίτῃ ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀπιέναι, καὶ ἱεραρχικόν τι τελεῖν γνώμης ἄνευ τοῦ ἐπισκόπου.

Ζήτει ἐν τῷ θ'. Κεφ. τοῦ Α στοιχείου τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κανόνα ιγ'. καὶ κϐ'. καὶ τῆς ϐ'. Συνόδου κανόνα ϐ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ὅτι χειροτονεῖν ἐπισκόπῳ οὐκ ἐφεῖται κληρικὸν ἑτέρας ἐνορίας.

Ὁ νδ'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν, τοὺς ἀλλότριον δεχομένους κληρικὸν ἐπισκόπους, καὶ χειροτονοῦντας ἐν ταῖς ὑπ' αὐτοὺς Ἐκκλησίαις, τῆς τῶν λοιπῶν κοινωνίας ἀφορίζει.

Τίνα τοὺς ἐπισκόπους πανταχοῦ ποιεῖν συγκεχώρηται, καὶ τίνα οὐκ ἔξεστι συνέδρια.

Τὸ μέν τοι συνοδικὸν σημείωμα, ὃ γέγονεν ἐπὶ τοῦ Πατριάρχου Μιχαὴλ, τοῦ καὶ χρηματίσαντος ὑπάτου τῶν φιλοσόφων, Συγκεχώρηται μέν, φησι, τοῖς ἀρχιερεῦσι τοὺς ἀμυήτους ἅπαντας τὸν περὶ πίστεως λόγον διδάσκειν, καὶ κατηχεῖν, καὶ βαπτίζειν ὁθενδήποτε ὄντας, τῶν θείων τε μυστηρίων μεταδιδόναι τοῖς ἐξ οἰασοῦν ἐνορίας πιστοῖς· χειροτονίας δὲ ἀξιοῦν τοὺς ἀπανταχόθεν ἐρχομένους, οὐδαμῶς, ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας, ὡς οἱ θεῖοι κανόνες διορίζονται· σκληρὸν μέν

τοι καὶ ἀπηνὲς ἐλογίσαντο, τοὺς οὕτω φθάσαντας πρᾶξαι, τοὺς μὲν ἐπισκόπους ἀφορίσαι, τοὺς δὲ χειροτονηθέντας γυμνῶσαι τῆς ἱερωσύνης, εἰ μήπου μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν πεισθῆναι οὐκ ἐβουλήθησαν· ἀλλὰ καὶ τότε τοῦ μὲν ἐπισκόπου ἀργίαν ἐπὶ ῥητῷ κατεψηφίσατο χρόνῳ, τὸν δὲ χειροτονηθέντα, ἐν ἐκείνῃ τῇ ἐνορίᾳ ἱερατεύειν, ἐν ᾗ κεχειροτόνητο. Δίδοσθαι δὲ κελεύει τοῖς τῆς ἐπισκοπῆς ὑπηρέταις καὶ τῷ χαρτοφύλακι παρὰ τῶν χειροτονουμένων, τὰ ἐξ ἔθους ἀρχαίου τετυπωμένα· καὶ ζήτει ταῦτα ἐν τῷ κή. Κεφ. τοῦ παρόντος στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Τίσι τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς, καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς Ἐκκλησίαις.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Α στοιχείου κανόνα νε΄. τῆς ἐν Καρθαγένῃ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Ὅτι χειροτονεῖται κληρικὸς, καὶ ὁ μὴ ἐκ γένους ἱερατικοῦ καταγόμενος.

Ζήτει τὸ ιγ΄. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Πότε χειροτονοῦνται καὶ δοῦλοι.

Ζήτει τὸ ιϐ΄. Κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ χειροτονίας ἀναγνωστῶν.

Ζήτει τὸ ς΄. Κεφάλαιον τοῦ Α στοιχείου.

Νόμος.

Ἀναγνώστης χειροτονείσθω ἀφ' ὁτουοῦν χρόνου δύναται καὶ

ἐπίσταται ἀναγινώσκειν· ἂν δὲ δευτέραν γαμετὴν ἀγάγηται, ἢ πρώτην μὲν, χήραν δὲ, ἢ διαζευχθεῖσαν ἀνδρὸς, ἢ τοῖς νόμοις ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν προβαινέτω βαθμόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Ὅτι οὐκ ἐχειροτονοῦντο ἀπολελυμένως οἱ κληρικοί.

Ζήτει τὸ ιθ΄. Κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Ὅτι χειροτονεῖται ὁ πρὸ τοῦ βαπτίσματος θύσας κατηχούμενος.

Ζήτει ἐν τῷ α΄. Κεφ. τοῦ Α στοιχείου κανόνα ιϐ΄. τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Ὅτι ἀναχειροτονήσεις οὐ δεῖ γίνεσθαι.

Ἀποστόλων ξή΄.

Ὁ ξή΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, τὸν δευτέραν πρός τινος χειροτονίαν δεξάμενον ἐπίσκοπον ἢ κληρικὸν, καθαιρεῖσθαι κελεύει καὶ αὐτὸν καὶ τὸν χειροτονήσαντα, εἰ τοῦτο σύνοιδεν αὐτῷ, εἰ μὴ ἄρα πρὸς αἱρετικῶν τὴν χειροτονίαν δεξάμενος ἔτυχεν· ἀθετοῦμεν γὰρ τῶν τοιούτων ὥσπερ τὸ βάπτισμα, οὕτω δὴ καὶ τὴν χειροτονίαν, οὐ γὰρ ἁγιασμὸν ταῦτα, ἀλλὰ μολυσμὸν πεπείσμεθα προξενεῖν· ὁ δὲ δευτέραν πειρώμενος δέξασθαι χειροτονίαν, ἢ ὡς τοῦ πρώτου χειροτονήσαντος καταγινώσκων τοῦτο ποιεῖ, ἢ ὡς ἐλπίζων πλείονος ἀπολαύσεσθαι πρὸς τοῦ δευτέρου χάριτος, ἢ ὡς ἀποστὰς τυχὸν τῆς ἱερωσύνης, καὶ ἐξ ὑπαρχῆς χειροτονεῖσθαι διανοούμενος, ὅπερ ἄθεσμον.

Καρθαγένης μή.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ Συνόδου μή. κανὼν, μήτε ἀναβαπτίζειν, μήτε δέχεσθαί τινα δευτέραν χειροτονίαν διορίζεται· ἀλλὰ δευτέραν οὗτος χειροτονίαν φησὶ, τὸ ἐᾶσαί τινα τὴν ἰδίαν ἐπισκοπὴν, καὶ πρὸς ἑτέραν μεταπεσεῖν, ὃς καὶ μετὰ πραότητος ὑπομιμνησκόμενος, εἰ μὴ πεισθείη πρὸς τὴν ἰδίαν ἐπανιέναι, τῇ τῶν ἀρχόντων ἐκδοθήσεται ἐξουσίᾳ.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τοῦ ὑποκειμένου ἁμαρτήμασι, καὶ χειροτονηθέντος.

Συνόδου πρώτης θ΄.

Ὁ θ΄. τῆς α΄. Συνόδου κανὼν, τὸν ἀνεξετάστως χειροτονηθέντα πρεσβύτερον, ἢ ἀνακριθέντα μὲν καὶ ἐξομολογησάμενον πρὸ τῆς χειροτονίας, πορνείᾳ τυχὸν περιπεπτωκέναι, παρὰ κανόνας δὲ χειροτονηθέντα, μηδὲν ἀπόνασθαι τοῦτον ἐκ τῆς ἀθέσμου χειροτονίας κελεύει· μετὰ γὰρ τὴν διάγνωσιν καθαιρεῖται· οὐ γὰρ ὥσπερ τὸ θεῖον λουτρὸν, νέον ἄνθρωπον τὸν βαπτισάμενον ἀποτελεῖ, οὕτω καὶ ἡ ἱερωσύνη τὰ πρό γε αὐτῆς ἁμαρτήματα λύει, ὥς τινες οἴονται· τοῦτο γὰρ ὁ κανὼν οὐ προσίεται· τὸ γὰρ ἀνεπίληπτον ἐν πᾶσιν ἡ Ἐκκλησία ζητεῖ, καὶ μὴ εὑροῦσα, ἐκδικεῖ.

Θεοφίλου ε΄.

Ὁ δὲ ε΄. τοῦ Θεοφίλου Ἀλεξανδρείας, τοὺς μὲν τοιούτους καὶ τῆς Ἐκκλησίας ἐξωθεῖ, μήτοι γε τῆς ἱερωσύνης· τῷ δὲ ἐξ ἀγνοίας χειροτονήσαντι, συγγνώμην δίδωσι.

Ζήτει τὸν κανόνα τοῦτον, καὶ ἐν τῷ ις΄. Κεφ. τοῦ Π στοιχείου καὶ τῆς ἐν Ναιοκαισαρείᾳ Συνόδου θ΄. καὶ ι΄. 1).

1) καὶ ἐν τῷ θ΄. Κεφαλαίῳ τοῦ Γ στοιχ. κανόνα τοῦ μεγάλου Βασιλείου κ΄. καὶ ἐν τῷ ιθ΄. Κεφαλαίῳ τοῦ Μ στοιχείου κανόνα τῶν ἁγίων Ἀποστόλων ξα΄. καὶ Νικηφόρου Κωνσταντινουπόλεως Κεφ. λέ. Γ.

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι τὸν ἐν νόσῳ φωτισθέντα.

Ζήτει ἐν τῷ α'. Κεφ. τοῦ Β στοιχείου κανόνα ιϐ'. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῶν τὴν χειροτονίαν ὀμνύντων μὴ καταδέξασθαι.

Ζήτει ἐν τῷ λϐ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα ι'. τοῦ μεγάλου Βασιλείου.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τῶν χειροτονουμένων ἐπὶ χρήμασιν.

Ἀποστόλων κθ'.

Ὁ κθ'. τῶν ἁγίων Ἀποστόλων κανὼν οὕτως ἐπὶ λέξεως ἔχει· Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένοιτο, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω τῆς κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

Ζήτει καὶ τὸν λ'. τούτων κανόνα ἐν τῷ ιθ'. Κεφ. τοῦ Ε στοιχείου, καὶ τὰ ἐνταῦθα περὶ ἀμφοτέρων τῶν κανόνων τουτωνὶ ῥηθέντα.

Συνόδου τετάρτης β'.

Ὁ δὲ β'. κανὼν τῆς δ'. Συνόδου, Εἴ τις, φησὶν, ἐπίσκοπος εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν τοῦ ἁγίου Πνεύματος, τὴν ἀτίμητον δηλαδὴ, καὶ πράσει μὴ ὑποπίπτουσαν, τῷ ὑπερφυᾶ ταύτην εἶναι καὶ τιμῆς πάσης ἐπέκεινα, καὶ χειροτονήσειεν ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον, (οὗτοι γὰρ οἱ χειροτονούμενοι), ἤ τινα τῶν ἐν τῷ κλήρῳ προβάλλοιτο οἰκονόμον, ἢ ἔκδικον, ἢ νεωκόρον, (οὗτοι γὰρ οἱ προβαλλόμενοι, ὥσπερ ἄρα οἱ ἀναγνῶσαι καὶ ψάλται αφραγίζονται), ἤ τινα ὅλως τῶν τοῦ κανόνος ἕτερον, ὁ τούτοις ἐπιχει-

ρήσας δι' οἰκείαν αἰσχροκέρδειαν, καὶ ἐλεγχθείς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν χειροτονίας ὠφελείσθω ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗ διὰ χρημάτων τετύχηκεν· εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ, εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω. Ἐνταῦθα καλὸν ἂν εἴη τὸ στῆθος πλήξαντας τεπονθότως ἀναβοῆσαι· Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Τίς γάρ ἐστιν ὁ διοίκησιν εὐαγοῦς οἴκου, ἢ διακονίαν οἱανδήτινα τῆς Ἐκκλησίας ἀναδεχόμενος, ἢ κληρικὸς γινόμενος, ἢ μονίδριον λαμβάνων, ἄνευ τῆς δόσεως; Εἰ δὴ πᾶσι τούτοις τοῖς τε πορίζουσι καὶ πριζομένοις ἀθέσμως, τῶν ἐσχάτων οἱ ἱεροὶ τιμῶνται κανόνες, ποία ἡμῖν σωτηρίας ἐλπὶς μὴ ἀφισταμένοις καὶ τῆς αὐτῶν κοινωνίας παντάπασιν;

Συνόδου ἕκτης κϐ'.

Ὁ δὲ κϐ'. τῆς ς'. Συνόδου κανὼν, τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, φησὶ, εἴτε ἐπισκόπους, εἴτε οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου ἀστείαν αἵρεσιν, αὐτούς τε καὶ τοὺς χειροτονήσαντας καθαιρεῖσθαι προστάσσομεν.

Συνόδου ἑβδόμης ε'.

Ὁ δὲ ε'. κανὼν τῆς ζ'. Συνόδου, σύμπαντας τοὺς ῥηθέντας κανόνας διεξιὼν, καὶ ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ τῷ κοινῷ τῆς Ἐκκλησίας δεδόσθαι νομίσας, τῇ ἐκείνων κρίσει καὶ οὗτος ἐπιψηφίζεται.

Βασιλείου.

Ὁ δὲ μέγας Βασίλειος, πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους γράφων, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασι, μετὰ τῶν ἄλλων καὶ ταῦτα φησί· Νομίζουσί τινες μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν· λαβεῖν δέ ἐστι τὸ ὁτεδήποτε λαβεῖν· παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύναντες τοῖς τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια.

Γενναδίου.

Ἡ δὲ ἐγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως, πρός γε τοῖς ἄλλοις καὶ ταῦτα περιέχει· Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ,τε κτᾶσθαι τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχηται, κἂν μὴ ἐλέγχηται τοῦτο ποιήσας· οὐ γὰρ οἷόν τε συμβῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν Μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας, δουλεῦσαι Θεῷ· δεσποτικὴ καὶ αὕτη ἀπόφασις ἀναμφίλεκτος· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμωνᾷ 1).

Ταρασίου.

Ἡ δὲ τοῦ ἐν ἁγίοις Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, πρὸς Ἀδριανὸν Πάπαν Ῥώμης σταλεῖσα, Φορητότερος μᾶλλόν ἐστι, φησὶ, Μακεδόνιος, καὶ ἡ τῶν ἀμφ' αὐτὸν πνευματομάχων δυσσεβὴς αἵρεσις, ἢ οἱ πιπράσκειν τολμῶντες τὴν χάριν τοῦ ἁγίου Πνεύματος· ἐκεῖνοι μὲν γὰρ κτίσμα καὶ δοῦλον τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἅγιον Πνεῦμα ληρωδοῦσιν· οὗτοι δὲ ἑαυτῶν, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσιν· ὁ γάρ τι πιπράσκων, ὡς δεσπότης αὐτοῦ πιπράσκει· καὶ ὁ ἀγοράζων, δεσπότης εἶναι βουλόμενος τοῦ ἐξωνηθέντος, ἀργυρίου τοῦτο κτᾶται τιμῆς. Προστίθησι δὲ καὶ ὡς ἐφάμιλλον τὸ τούτων ἁμάρτημα τῷ τοῦ προδότου Ἰούδα, οὑτωσὶ συλλογιζομένη· εἰ γὰρ ὁμοούσιον τῷ Υἱῷ τὸ Πνεῦμά ἐστι καὶ ὁμότιμον, κατακρίνεται δὲ ὁ Ἰούδας, τὸν Υἱὸν ἀποδόμενος ἀργυρίου, ἀνάγκη δήπου καὶ τοὺς τὸ Πνεῦμα πιπράσκοντας, μὴ ἐλάττονας ἢ ἐκεῖνος τὰς εὐθύνας ὑπέχειν.

Ἐκ τοῦ βίου τοῦ Χρυσοστόμου.

Ἀλλὰ γὰρ παρίτω καὶ ἡ τῆς Ἐκκλησίας σειρὴν, ἡ διὰ πάσης τῆς οἰκουμένης ᾄδουσα λύρα, ὁ τὰ πνευματικὰ φάρμακα μᾶλλον παντὸς ἰατροῦ εἰδώς τε καὶ σοφῶς κεραννὺς, ὁ θεῖος, φημὶ, Χρυσόστομος, ὡς ἂν ἡμᾶς κἀν τούτῳ διδάξῃ, ὅπως χρὴ τὸ

1) Ματθ. ς', 24.

αὐστηρὸν τῶν θείων κανόνων ἔσθ' ὅτε τῇ συμπαθείᾳ παρακιρνῶντας ὑποχαλᾶν· ἴσμεν γὰρ ὅπως τοὺς χρυσίῳ τὰς χειροτονίας ἐωνημένους, τῆς μὲν ἱερωσύνης ἐγύμνωσε, τὸ δὲ χρυσίον παρὰ τῶν τοῦ χειροτονήσαντος κληρονόμων ἠξίωσεν ἀπολαβεῖν, ἐπειδὴ τὴν ζωὴν ἐκμετρήσας ἐκεῖνος ἔφθασεν ἤδη, (Ἀντωνῖνος οὗτος ἦν τῆς Ἐφεσίων ὁ πρόεδρος, ὁ τὴν τοῦ Ἁγίου Πνεύματος δωρεὰν ὤνιον θέσθαι μὴ καταπτήξας). Ἀλλ' ὅρα μοι τῆς τοῦ ἁγίου συμπαθείας τὸ περιόν· ἐξώμνυντο μὲν γὰρ ἐπὶ πολὺ πρότερον ἐκεῖνοι, ἢ μὴν τοῦτο πεποιηκέναι μηδέποτε· τοῖς δὲ φανεροῖς ἐλέγχοις δυσωπηθέντες, τόπων ὑπομιμνησκόμενοι καὶ καιρῶν, καὶ τῆς τοῦ χρυσίου ποσότητος, οὕτως ἔχειν ἀνωμολόγησαν ὕστερον, διατεινόμενοι ὡς οὐ σκαιότητι γνώμης, ἀλλ' ἀκεραιότητι μᾶλλον καθυπαχθῆναι, τοιαύτην ὑπειληφότες τὴν συνήθειαν εἶναι, καὶ ἵνα τοῦ βουλευτηρίου, ᾧ περ ἦμεν ὑποτελεῖς, ἀπαλλαγείημεν, φάμενοι. Πρὸς ταῦτα ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, καὶ τῶν τοῦ Θεοῦ οἰκτιρμῶν εἴπερ τις ὑφηγητὴς γνησιώτατος, οὐκ ἀφορισμὸν πρὸς τῇ καθαιρέσει ἐπήνεγκεν, ὡς οἱ θεῖοι κανόνες κρίσεως ἔχουσιν, οὐ τῆς Ἐκκλησίας ἀπεώσατο, (καί τοι τῆς μὲν ἐκουσίας ἐξομολογήσεως, ἑκασταχῇ τῶν εὐθυνῶν τὸ πλεῖστον ἀφαιρουμένης, τοῦ δὲ ἐλέγχου χαλεπωτέρας ταύτας ἐργαζομένου), ἀλλ' ἡμερότητι τὸ τῶν κανόνων κεράσας ἀπότομον, εἴσω τοῦ θυσιαστηρίου τῶν ἁγιασμάτων αὐτοῖς μετέχειν ἐπέτρεψεν, ἱκανῶς ταύτῃ τὰς αὐτῶν οἰόμενος παρακαλέσαι ψυχὰς, τῇ τῆς ἱερωσύνης ὀδυνωμένας ἐκπτώσει.

Ἐκ τῶν Πράξεων.

Ἐν δὲ τῇ βίβλῳ τῶν Πράξεων ταῦτα γέγραπται· Θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων, δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι 1), καὶ τὰ ἑξῆς.

1) Πράξ. Η', 18.

Ἡ δὲ τρίτη τῶν Βασιλειῶν, Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ, φησὶν, ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ· καὶ ἐγένετο τοῦτο τὸ ῥῆμα εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ, καὶ εἰς ὄλεθρον, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς 1). Τίς οὖν οὐκ οἶδε καὶ τὸν πάλαι Γιεζῆ, ὅπως τῷ προφήτῃ μὲν Ἐλισσαίῳ διακονούμενος ἦν, ὡς ἡ τῶν Βασιλειῶν τετάρτη διέξεισιν, οἷα δὲ πέπονθεν ἐξ ὧν ἔδρασεν; Οὐχ ἧττον γὰρ διὰ κακίαν ἐκεῖνος, ἢ δι' ἀρετὴν ὁ διδάσκαλος, μικροῦ τοῖς πᾶσι γνωρίζεται. Χρήματα γοῦν τοῦ Νεεμὰν τῷ προφήτῃ πορίσαι προθυμουμένου, ἀνθ' ὧν τῆς λέπρας ἐξάντης δι' αὐτοῦ γεγένητο, κἀκείνου τὴν εἰσφορὰν μὴ προσηκαμένου, ὁ Γιεζῆ καταλαβὼν ἀπιόντα τὸν Νεεμὰν, καὶ τὴν φιλοχρηματίαν τῷ ψεύδει ἐπιλυγάσας, ὡς ἄρα ὁ διδάσκαλος αὐτῷ λαβεῖν ἐπιτάξειε, καὶ ταύτῃ τῶν ἐκείνου εἰληφὼς οὐκ ὀλίγα, κληρονόμος εὐθὺς καὶ ἧς ἐκεῖνος ἀπήλλακτο λέπρας γεγένητο, αὐτὸ τοῦτο τοῦ προφήτου ἀρασαμένου.

Βασιλείου.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῇ εἰς τὸν προφήτην Ἡσαΐαν ἑρμηνείᾳ, ἐξηγούμενος τὸ, Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ 2), ὅτι αἱ ἐγγαστρίμυθοι, φησὶν, ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι, μισθὸν τοῦ ψεύδους, οἱ ἀπατώμενοι. Τὸ δὲ ῥῆμα τοῦ νόμου οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ, ὅτι τὴν χάριν οὐδεὶς ἀποδίδοται· Δωρεὰν γάρ, φησιν, ἐλάβετε, δωρεὰν δότε 3). Ὁρᾷς ὅπως ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι, ἀργύριον ὑπὲρ τῆς τοῦ Πνεύματος χάριτος προσκομίσαντι; Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη, φησὶν, εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι 4). Οὐκ ἔστιν οὖν ὁ τοῦ Εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων· τί γὰρ ἄν τις δοίη ἄξιόν αὐτοῦ ἀντάλλαγμα;

1) γ'. Βασ. ΙΓ'. 33, 34.—2) Ἡσ. Η', 20.—3) Ματθ. Ι'. 8.—4) Πράξ. Η', 13.

Ἄκουε τοῦ Δαβὶδ διαποροῦντος καὶ λέγοντος· Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι 1); Οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς αὐτοῦ χάριτος· ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος. Ὁ δούς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Νόμοι.

Ἐάν τις διὰ δόσεως χρυσίου ἐπίσκοπος ἢ κληρικὸς γένηται, ἢ ξενοδόχος, ἢ πτωχοτρόφος, ἢ νοσοκόμος, ἢ διοικητὴς εὐαγοῦς οἱουδήποτε οἴκου, ἢ ἑτέρου τινὸς ἐκκλησιαστικοῦ φροντιστὴς διακονήματος, καὶ ὁ δοὺς, καὶ ὁ λαβὼν, καὶ ὁ μέσος γενόμενος, τῆς ἱερωσύνης, ἢ τοῦ κλήρου, ἢ τῆς ἐμπιστευθείσης διοικήσεως, ἀπογυμνούσθωσαν 2).

Εἰ δέ τις τῶν ἐπισκόπων ἢ κληρικῶν, εἴτε πρὸ τῆς χειροτονίας, εἴτε μετὰ ταῦτα, ἐκ τῶν ἰδίων πραγμάτων δοῦναι βουληθείη τῇ Ἐκκλησίᾳ, εἰς ἣν ἐπεκηρύχθη, οὐ μόνον οὐ κωλύομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν 3).

Περὶ κανονικοῦ, καὶ τῶν ὑπὲρ χειροτονίας διδομένων.

Ἐξ αὐτῆς τῆς κώμης, ἐν ᾗ ἐστιν ἡ Ἐκκλησία, κατὰ ἀναλογίαν τῶν τόπων, κρίσει τοῦ ἐπισκόπου οἱ κληρικοὶ χειροτονείσθωσαν, καὶ τὴν οἰκείαν ἐπιγινωσκέτωσαν κεφαλιτιῶνα· χάριν δὲ τοῦ τοιούτου κανονικοῦ, καὶ τῶν ὑπὲρ χειροτονίας διδομένων συνήθως, διορίζεται τὸ χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως Ἰσαακίου τοῦ Κομνηνοῦ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα· Τυποῖ γάρ, φησιν, ἡ βασιλεία μου, ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανονικῷ, τὸν παλαιὸν ἐνεργεῖν τύπον, καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τούτους ἐπίσκοπον, ἀλλ' ἢ μόνα τὰ ἑπτὰ χρυσᾶ νομίσματα, ἤγουν ἓν μὲν, ὅτε ποιεῖ αὐτὸν ἀναγνώστην, τρία δὲ, ὅτε χειροτονεῖ αὐτὸν διάκονον, καὶ ἕτερα τρία, ὅτε πληροῖ αὐτὸν ἱερέα. Ἐπιβεβαιοῖ δὲ τοῦτο καὶ τὸ συνοδικὸν ψήφισμα τὸ γεγονὸς ἐπὶ τοῦ Πατριάρχου Μιχαὴλ, θ καὶ ζήτει κατὰ τὸ ιζ'. κεφάλαιον τοῦ

1) Ψαλμ. ΡΙΕ', 12. — 2) θ'. Βασ. Γ', ά. — 3) αὐτόθι.

παρόντος στοιχείου. Ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ, ἀπὸ τοῦ ἔχοντος χωρίου τριάκοντα καπνοὺς, νόμισμα χρυσοῦν ἕν, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς μοδίους ἓξ, οἴνου μέτρα ἓξ, ἀλεύρου μοδίους ἓξ, καὶ ὄρνεις τριάκοντα. Ἀλλὰ καὶ ἕτερον συνοδικὸν σημείωμα γέγονεν ἐπὶ τοῦ πατριάρχου Νικολάου, κελεῦον κατὰ τὸ τοιοῦτον χρυσόβουλλον δίδοσθαι τὰ κανονικὰ, καὶ τὰ ὑπὲρ χειροτονίας.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ χηρῶν γυναικῶν.

Ζήτει τὸ α΄. Κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν χλευαζόντων τοὺς ἀσθενῶς τοῦ σώματος ἐχοντας.

Ζήτει τὸ α΄. Κεφ. τοῦ Υ στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ τοῦ ἁγίου χρίσματος, καὶ τίνες χρίονται μόνον τῶν προσερχομένων τῇ Ἐκκλησίᾳ αἱρετικῶν.

Ζήτει ἐν τῷ θ΄. Κεφ. τοῦ Μ στοιχείου κανόνα ς΄. τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἐν τῷ α΄. Κεφ. τοῦ Β στοιχείου κανόνα μή. τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ ἐν τῷ ϐ΄. Κεφ. τοῦ Α στοιχείου κανόνα ζ΄. τῆς ϐ΄. Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Περὶ Χριστιανισμοῦ.

Καρθαγένης ρή.

Ὁ ρή. κανὼν τῆς ἐν Καρθαγένῃ Συνόδου, τοὺς τὴν ἄσκησιν εἰσδεχομένους τῶν Χριστιανῶν, ἐλευθέρᾳ προαιρέσει καὶ αὐτε-

ξουσίῳ νομοθετεῖ προσιέναι τῇ πίστει, ἀλλὰ μὴ βίᾳ, μηδ' ἐξ ἀνάγκης· τὰ γὰρ τοιαῦτα οὐ βέβαια, οὐδὲ νόμιμα· αἱρετὴν γὰρ εἶναι δεῖ τὴν ἀρετὴν, ἀλλ' οὐ βεβιασμένην, ἢ ἀκούσιον. Ἄσκησιν δὲ εἰπὼν, ἐνέφηνεν, ὅτι πᾶσαν δεῖ τὸν Χριστιανὸν ἀρετὴν ἀσκεῖν, ἐγκράτειαν, καὶ σωφροσύνην, καὶ πρό γε τῶν ἄλλων, τὴν εἰς ἅπαντας ἀγάπην· ὡς ὅ γε μὴ ταύτῃ βιοὺς, ὀνόματι μόνον Χριστιανὸς, ἀλλ' οὐ πράγματι λέγεται.

Βασιλείου μέ.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ μέ. κανόνι, Ὁ τὴν τοῦ Χριστιανοῦ, φησι, προσηγορίαν εἰληφὼς, καὶ διὰ τῆς τῶν ἐντολῶν παραβάσεως τὸν Χριστὸν ἐνυβρίζων, οὐδὲν ἐκ τῆς ἐπωνυμίας ἀπόνατο μόνης, ἀδελφὰ τῷ μεγάλῳ φιλοσοφῶν Ἰακώβῳ, Τί τὸ ὄφελος, ἀδελφοί μου, φάσκοντι, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ μὴ ἔχῃ· μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν 1); Ὥσπερ γὰρ τῆς αὐγῆς τῶν ἀρετῶν ἐν ἡμῖν ἀστραπτούσης δοξάζεται ὁ Θεὸς, κατὰ τὸ, Λαμψάτω τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων 2), καὶ τὰ ἐξῆς, οὕτω τοῦ ζόφου προσαναχρωννύντος ἡμᾶς τῶν παθῶν, βλασφημεῖσθαι τὸν Θεὸν συμβαίνει παρὰ τοῖς ἔθνεσι.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ χωρεπισκόπων.

Ζήτει τὸ λα'. Κεφάλαιον τοῦ Ε στοιχείου.

1) Ἰάκ. Β', 14. — 2) Ματθ. Ε'. 16.

ΑΡΧΗ ΤΟΥ Ψ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Πῶς δεῖ ψάλλειν καὶ εὔχεσθαι.

Ζήτει τὸ λε'. Κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ψαλτῶν καὶ ἀναγνωστῶν.

Ζήτει ἐν τῷ θ'. Κεφ. τοῦ Ε στοιχείου κανόνα κγ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι πρὸς τοὺς ψευδομάρτυρας τῶν αἱρετικῶν οὐ δεῖ ἀπιέναι.

Ζήτει ἐν τῷ 6'. Κεφ. τοῦ Α στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ Συνόδου θ'. καὶ λδ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅπως αἱ ψῆφοι γίνονται τῶν μελλόντων χειροτονεῖσθαι.

Ζήτει τοῦ Χ στοιχείου Κεφάλαιον α'. καὶ 6'.

ΑΡΧΗ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνα δεῖ ὡράριον φέρειν.

Ζήτει ἐν τῷ θ'. Κεφ. τοῦ Ε στοιχείου κανόνας τῆς ἐν Λαοδικείᾳ Συνόδου κϐ'. καὶ κγ'.

ΔΟΞΑ ΤΩ ΘΕΩ ΕΙΣ ΤΟΥΣ ΑΙΩΝΑΣ ΑΜΗΝ 1).

---

1) Ἐν δὲ τῷ χειρογράφῳ 1375 ἀναγινώσκεται· Ἐτελειώθη ἡ παροῦσα βίβλος διὰ χειρὸς ἐλαχίστου Κυρίλλου ἀρχιερέως τοῦ Ναυπακτίου, ἔτους ,ζιμθ', ἐν μηνὶ Ὀκτωβρίῳ δ'.

ΕΛΕΓΧΟΣ

ΑΛΦΑΒΗΤΙΚΟΣ ΚΑΙ ΑΝΑΛΥΤΙΚΟΣ

ΤΩΝ ΕΝ ΤΟΙΣ ΕΞ ΤΟΜΟΙΣ ΤΟΥ ΣΥΝΤΑΓΜΑΤΟΣ ΤΩΝ ΘΕΙΩΝ ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ,

Συνταχθεὶς ὑπὸ

ΜΙΛΤΙΑΔΟΥ Κ. ΡΑΛΛΗ.

(Οἱ ἀλφαβητικοὶ ἀριθμοὶ ἐμφαίνουσι τοὺς τόμους, οἱ δὲ ἀραβικοὶ, τὰς σελίδας).

Ἀαρὼν, δικαιολόγησις τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς αὐτοῦ. Δ. 83.

Ἀβουνδάτιος, ἐπὶ τῆς ὑπ᾽ αὐτείας αὐτοῦ ἐν Ἱππῶνι Ῥηγίῳ σύνοδος. Γ.393.

Ἄγαμος, σωφρονείτω, ἢ γαμείτω ἐννόμως. Δ. 399. πότε σεμνόν; 269.

Ἀγάπαι Α. 131. Ϛ′. 75. — μὴ ποιεῖν ἀγάπας ἐν ἐκκλησίᾳ, ἢ ἐν Κυριακαῖς. Α. 131. Β. 476. Γ. 195. 407. Ϛ′. 266. 318.—μηδὲ μέρας ἐν αὐταῖς λαμβάνειν. Α. 132. — τί ὁ καταφρονῶν τῶν ἐκ πίστεως ἀγάπας ποιούντων, καὶ μὴ θέλων συγκοινωνεῖν αὐτοῖς; Α. 132. Γ. 107. Ϛ. 76.—τοὺς εἰς ἀγάπην καλουμένους μὴ μέρη αἴρειν. Γ. 194.

Ἀγάπη, ἐκ τοῦ θεοῦ. Γ. 564.— οἰκοδομεῖ, αὐτόθι.

Ἀγάπιος καὶ Βαγάδιος, ἀντιποιοῦνται ἀμφότεροι τῆς ἐπαρχίας Βόρων. Γ. 625.

Ἀγαρηνοί, νήπια ὑπ᾽ αὐτῶν αἰχμαλωτισθέντα εἰ βαπτιστέα. Β. 497.

Ἀγγελικοί, αἵρεσις. Γ. 202. Ϛ′. 69.

Ἀγγελῖται, αἵρεσις Ϛ′. 69.

Ἄγγελοι, ἢ μάρτυρες. Τί ὅταν τις καταλίπῃ τι τούτοις; Α. 101 — ἀπαγορεύεται τὸ ἀγγέλους ὀνομάζειν. Γ. 201.

Ἁγία δωρεά (ὅρα Μετάληψις). εἰ χρὴ ἐσθίειν ὑψωμένας προσφορὰς τοὺς ταύτης κεκωλυμένους; Δ. 425. προσφέρεται ἀπὸ νησικῶν. Γ. 416.

Ἁγία Τριὰς, κηρυκτέα. Γ. 299.

Ἁγιασμὸς, ἔστιν ἄξιον γίνεσθαι ἐν οἱῳδήποτε ἀγγείῳ; Ε. 371.—οὐ πιπράσκεται. Β. 356.

Ἅγιον, τὸ παρὰ γνώμην ἱερέων γεγονὸς ἱερὸν οὐκ ἔστιν ἱερὸν, ἀλλὰ ἄ-

γιον. Α. 90.— μὴ πέμπεσθαι εἰς τὰς παροικίας λόγῳ εὐλογιῶν. αὐτ. καὶ Γ. 183.— τὰ μὴ ἱερωθέντα ἅγια καὶ πωλοῦνται καὶ ἀγοράζονται. Α. 91.—οὐ πάντα τὰ ἅγια εἰσὶ καὶ ἱερά. Δ. 450.

Ἅγιον Ὄρος, δίκαια τοῦ ἐπισκόπου αὐτοῦ, Ε. 131.

Ἄγκυρα, Β. 168. 172.— σύνοδος ἐν— Γ. 20—προτέρα τῆς ἐν Νικαίᾳ Β. 114.

Ἀγορὰ καὶ πρᾶσις. Ϛ'. 76.

Ἀγρὸς ἐπισκοπῆς ἢ μοναστηρίου ἀνεκποίητος. Β. 592. Ὅρα Πρᾶγμα.

Ἀγχιάλου Μιχαήλ, Ϛ.' 343.

Ἀγχιστεία, ὁρισμός. Ε. 359. 390. Ϛ.' 126.

Ἀγχόνη, Δ. 386.

Ἀγωγὴ ὕβρεως· τί ὁ συκοφαντικῶς κινήσας αὐτήν; Α. 229.

Ἀγὼν, πέντε εἴδη Δ. 133. — περὶ τῶν παραπηδώντων εἰς τὸν ὠδίνοντα τοῦ μαρτυρίου ἀγῶνα. Δ. 25. — τί οἱ μετὰ ζήλου μὲν εἰς τὸν ἀγῶνα ἐλθόντες, ἡττηθέντες δὲ καὶ ἐπὶ τούτῳ ὀδυρόμενοι; 34. Ὅρα Πίστις.

Ἀδὰμ, ὑπὸ τοῦ θεοῦ οὔτε θνητὸς ἐπλάσθη, οὔτε ἀθάνατος. Γ. 561.

Ἀδελφιδῆ, ὁ ἀγαγόμενος ἀδελφιδῆν καὶ θείαν οὐ κληροῦται. Β. 26.

Ἀδελφόμικτος, ἐπιτίμιον αὐτοῦ. Δ. 222. 238. 405.

Ἀδελφοποιΐα, ἀπηγορευμένη. Ε. 400. Ϛ'. 126.

Ἀδελφὸς, τί οἱ δυσὶν ἀδελφοῖς, ἢ ἀδελφαῖς γαμούμενοι; Β. 26. 312. 364. Γ. 71. Δ. 154. 240.—εἰ ἔξεστιν ἀγαγέσθαι εἰς γάμον δύο ἀδελφάς; Δ. 260. 265.—μὴ λαμβάνειν δύο ἀδελφοὺς δύο πρωτεξαδέλφας. Α. 282. Ε. 11.—λαμβάνειν. Ε. 11. 45. 156. 341. — μηδὲ θείαν καὶ ἀνεψιάν. 19.—λαμβάνειν δὲ νύμφην καὶ ἀνδραδέλφην. 82.—ἔτι δὲ καὶ τὴν θυγατέρα τινὸς καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ. 100. — πρὸς δὲ καὶ θείαν πρωτεξαδέλφην καὶ ἀνεψιὰν ἐξ ἑτέρου πρωτεξαδέλφου. 389.

Ἀδιάθετος, πότε δεκτέον τὰς ὑπὲρ αὐτῶν γινομένας εὐποιΐας. Δ. 427.

Ἀδριανουπολῖται, τοῖς αἵμασι τῶν ζώων χρῶνται. Β. 463.

Ἀδρουμετινὴ σύνοδος. Γ. 393.

Ἄδυτον, ὅρα Θυσιαστήριον.

Ἄζυμα Β. 329.— ἑορτὴ Ἰουδαϊκὴ Β. 91. — μὴ λαμβάνειν ἄζυμα παρ' Ἰουδαίων. Γ. 206.— μυστικὴ θυσία δι' ἀζύμων. Β. 91.—ἐπιμερισμὸς τῶν παρὰ Λατίνοις. Γ. 183. Ϛ'. 308.—τὰ Λατίνων ἱερουργούμενα κοινὰ λογίζονται, ἢ ἅγια; Ε. 430.—μετέχειν ἀζύμων τῆς παλαιᾶς θυσίας ἐστὶν, οὐ τῆς καινῆς διαθήκης. Δ. 409.

Ἀηδία, ἡ ἐμπάθεια. Β. 127.

Ἀὴρ, τί τοῖς δακτύλοις τύπτειν; Β. 451.

Ἀθανάσιος, κανονικὰ αὐτοῦ. Γ. 369. Δ. 67.— ἐπιστολὴ πρὸς Ἀμμοῦν. Δ. 67.— ἑορταστική. 78.— πρὸς Ῥουφιανόν. 82.

Ἀθηνῶν ἐπίσκοπος. Β. 380.
Ἀθίγγανοι, τίνες λέγονται; Β. 445. 458.
Ἀθληταὶ, ἡ τούτων τέχνη οὐκ ἔστι παιγνική, οὐδ' ἀτιμοποιός. Α. 322.
Ἀθύρα ἐπίσκοπος. Γ. 439.
Αἰκύτιος ἐπίσκοπος, καθαιρεθεὶς καὶ καταναισχυντῶν κατακρίνεται. Γ. 472.
Αἰλία, μεταγενέστερον ὄνομα τῆς Ἱερουσαλήμ, δοθὲν ὑπὸ τοῦ αὐτοκράτορος Ἀδριανοῦ. Β. 130.
Αἱμομιξία, ἐπιτίμιον τοῦ εἰς ἀδελφὴν ἢ νύμφην ἀσχημονήσαντος. Α. 303 Δ. 222. 238. 405. 410. 439. — μὴ ἐᾷν ἀτιμωρήτους τοὺς ταύτῃ ἁλόντας. Ε. 123.
Αἵρεσις, ὁρισμός. Α. 261. Δ. 89.—παιδοποιΐας (ὅρα Ὑποκατάστασις)—λόγος περὶ αἱρέσεων τοῦ πατριάρχου Γερμανοῦ. Α. 339.—ἀναθεματισμὸς τῶν αἱρέσεων. Β. 165. 168.
Αἱρετικὸς, τίς ἐστι; Α. 35. 261. Β. 181. Γ. 365. Δ. 476. Ϛ'. 57. — εἴδη αὐτῶν. Α. 262—264—268. 340—368. Β. 118. 133. ἐπ. 158. 161 165. 176. 181. 187. 190. 216. 292. 302. ἐπ. 373. 529. 531 ἐπ. Γ. 119. 176. 275. 276. Δ. 89. 197. 351. 398. 407. 408. 473. Ε. 88. 90. 203 209. 307. 446. 452.——προσερχόμενοι βαπτίζονται, τινὲς δὲ μόνον χρίονται. Α. 129. 273. Β. 181. Γ. 176. 417. Δ. 473. Ε. 614.—οἱ πενόμενοι οὐ λαμβάνουσι τὰ ἀξιωματικὰ ἀπὸ τῶν δικαστηρίων, ἢ τῶν ἐκκλησιῶν. Α. 155. — οὐ καταμαρτυροῦσιν ὀρθοδόξου. 178. Γ. 596.—ἀπαγορεύεται αὐτοῖς τὸ εἰς ἐκκλησίαν εἰσιέναι. Α. 270. Γ. 176. Δ. 401 —ἢ κοιμητήρια. Γ. 179. — οὐ μαρτυρεῖ. Β. 364. 505. 529. — τί ὁ προσποιηθεὶς ὀρθοδοξίαν ὑπὲρ τοῦ τυχεῖν τινος; Α. 242. — δίκαια κληρονομίας αὐτῶν καὶ τῶν παίδων αὐτῶν. 243., 262. Γ. 365. — οἱ ἐπίσκοποι οὐ καταλιμπάνουσιν αὐτοὺς κληρονόμους. Γ. 505. — τοὺς αἱρετικοὺς παῖδας δύνανται οἱ γονεῖς ἀποκληροῦν. Α. 243. — κωλύονται ἔχειν προνόμια, ἢ διδάσκειν, ἢ κληρικοὺς ποιεῖν, ἢ στρατεύεσθαι κτλ. 262 — δίκαια τῶν αἱρετικῶν παίδων τῇ ὀρθοδοξίᾳ προσιόντων. 244 —οὐ λαμβάνουσιν ἀκίνητα ἀπ' ἐκκλησίας. 245. — τί ἂν τις ποιήσῃ καταγώγιον τῆς αὐτοῦ αἱρέσεως; αὐτ.— τί ἂν τις ἐνεφύτευσεν, ἢ ἐξεμίσθωσέ τι αἱρετικῷ; αὐτ. Γ. 366. — οἱ εἰς τὴν ὀρθοδοξίαν προσερχόμενοι κληροῦνται, εἰ ἱκανοί εἰσιν. Α. 273. Β. 103. 133. 158. Δ. 474. περὶ τῶν μετανοούντων. Α. 274. Δ. 107. Ϛ. 57.—πῶς δεκτέον τοὺς προσερχομένους τῇ ὀρθοδοξίᾳ; Β. 187. 529. Δ. 398.—ἀπαγορεύεται τὸ συναλλάττεσθαι γάμον αἱρετικοῖς. Α. 263. Β. 251. 471. Γ. 180. 198. 364. Δ. 439. 476. — οἱ εἰς πίστιν ἐπιστρέφοντες ὀφείλουσιν ἀναθεματίσαι πᾶσαν αἵρεσιν. Γ. 176. — μὴ λαμβάνειν εὐλογίας

αἱρετικῶν. 198. Δ. 459. — μηδὲ συνεύχεσθαι τούτοις. Β. 81. Γ. 198. μὴ συνεορτάζειν, μηδὲ ἄζυμα παρ' αὐτῶν λαμβάνειν, μηδὲ κοινωνεῖν τῇ αὐτῶν ἀθεότητι .Γ. 206. Δ. 82. 459.—μητροπολίτης προστεθεὶς αἱρετικοῖς ἐκπίπτει. Β. 192. — αἱρετικὸς ἱερεὺς κοινωνήσας μετὰ πιστῶν, καὶ πάλιν αἱρεσιώτης γενόμενος ἐπιστρέφων οὐχ ἱεράται. Δ. 470.—οὐ θεμιτὸν τελεῖσθαι τέκνων ἀναδοχὰς ὑφ' αἱρετικῶν. 476. — ἀκολουθία γιγνομένη εἰς τοὺς ἐκ Λατίνων ἐπιστρέφοντας. Ε. 143. — καὶ μετὰ θάνατον ἀναθεματίζονται. 211. 212.—εἰ ἔξεστιν αὐτοῖς κτίζειν ἐκκλησίας ἐν αἷς πόλεσιν οἰκοῦσιν. 415.—νόμος Θεοδοσίου κατὰ τῶν χειροτονούντων καὶ χειροτονουμένων αἱρετικῶν. Γ. 529.—νόμοι πολιτικοὶ κατ' αὐτῶν. Ϛ. 74.

Αἰσχρὰ αἰτία· τὰ διδόμενα οὐκ ἀντιστρέφονται. Β. 576.

Αἰχμάλωτος. Ϛ. 78.—τὰ πρὸς ἀνάῤῥυσιν αἰχμαλώτων καταλιμπανόμενα ἔῤῥωται. Α. 102. — τίς ὀφείλει ὑπουργῆσαι τῷ πράγματι; 102. 104-105.—εἰ ἐπιτιμᾶται ἡ ὑπὸ βαρβάρων βιασθεῖσα αἰχμάλωτος; Δ. 45. 395.— τί οἱ τοὺς διαφυγόντας αἰχμαλώτους βίᾳ κατέχοντες; 59. 396.—τί οἱ ὁμοφρονήσαντες τοῖς βαρβάροις; 60. 394. 396.—οἱ τὰ τῶν αἰχμαλωτισθέντων ἁρπάζοντες πράγματα ἐκκήρυκτοι. Δ. 52.

Ἀκάθαρτον, ἐπιτίμιον τοῦ γευομένου ὕδατος, οἴνου, ἢ ἐλαίου, ἔνθα ἔπεσεν ἀκάθαρτόν τι. Δ. 445.

Ἀκελδαμὰ, τιμὴ αἵματος. Δ. 282.

Ἀκερσεκόμης, ὁ μὴ καρείς. Β. 407.

Ἀκέφαλοι, οἱ Σεβηριανοί. Ϛ'. 65.

Ἀκοινώνητος, εἰ κοινωνεῖ μέλλων ἀποθανεῖν; Α. 334. Β. 143. Δ. 314. 393.—τί οἱ τούτῳ συνευχόμενοι; Β. 14. 126.—οὐ παραδέχεται παρ' ἄλλου, ἢ τοῦ ἰδίου αὐτοῦ ἐπισκόπου. Β. 15. 42. 43. Γ. 138. 266. 316. 379.—τοὺς ἀλλοθι ἀκοινωνήτους μὴ διατρίβειν ἐν Κωνσταντινουπόλει. Β. 269.— τί ὁ εἰπὼν κοινωνικὸν, ὃν οἶδεν ἀκοινώνητον. Β. 270. Γ. 587.— οὐ κατηγορεῖ. Γ. 595. Ϛ'. 226.—τί ἂν ὁ ἐν Ἀφρικῇ ἀκοινώνητος μεταβῇ πέραν θαλάσσης πρὸς κοινωνίαν; Γ. 554. ὁ πρὸ τοῦ ἀκουσθῆναι κοινωνῶν, κατ[illegible] δίκασται. Γ. 379.—καὶ ὁ ἀβάπτιστος. Δ. 362.—καὶ ὁ [illegible] ουργῶν. Β. 150.—ὁ ἐπὶ τρεῖς κυριακὰς μὴ κοιν[illegible] ζεται. Β. 13. [illegible]ωνῶν ἀφορί-

Ἀκολουθία εἰς τοὺς ἐκ τῶν Λατινικῶν αἱρέσεων ἐπ[illegible]

Ἀκρόασις, ἔνδον τῆς πύλης. Δ. 66. [illegible]στρέφοντας Ε. 143.

Ἀκροώμενοι. Β. 144.—ἐν τῷ νάρθηκι ἵστ[illegible]

Ἀκρωτηριαζόμενος, ὅρα Εὐνοῦχος. [illegible]νται. Δ. 66.

Ἀκούβιτα, στρωμναί, Β. 476. Ϛ'

Ἀλανία, ἐπισκοπή. Γ. 285.—Ἀλανοὶ τῆς Ποντικῆς. αὐτ.— μητροπολίτης. Β. 370.

Ἀλεξανδρείας ἐπίσκοποι διὰ χρημάτων χειροτονοῦσι τὸν Μάξιμον. Β. 176.—θρόνος τρίτος τὴν τάξιν. 387.—διχόνοια τῆς Ῥωμαϊκῆς πρὸς τὴν Ἀλεξανδρινὴν ἐκκλησίαν. Γ. 547.— πατριάρχου δικαιοδοσία. Ε. 522—μετὰ λώρου λειτουργεῖ. Α. 149.

Ἀλέξιος, πατριάρχης. Γ. 97.—διατάξεις αὐτοῦ. Ε. 20-37.— μοναστήριον ἐπώνυμον αὐτῷ Β. 675.— Κομνηνὸς, αὐτοκράτωρ. Γ. 508. Δ. 251. Ϛ.′ 275. — διατάξεις αὐτοῦ. Ε. 280-291. — νόσος τῆς συζύγου αὐτοῦ Ζωῆς. Δ. 251.— Ἀλεξιακὰ κατηχουμενεῖα. Γ. 440.

Ἀλογευόμενοι Α. 334. Γ. 53. Δ. 110. 220. 308. 405. 430. Ϛ.′ 78. — τίσι συνευκτέον; Γ. 56.

Ἀλύπιος, ἐπίσκοπος. Γ. 290. 593.

Ἀμαλήκ. Β. 609.—νέος. αὐτ.

Ἀμαθοῦντος ἐπίσκοπος, Γ. 324. — καθαίρεσις ἄκυρος. Γ. 324.

Ἁμαρτία, ποσαπλῆ. Α. 201. Δ. 112. — πολυειδής. Β. 449. 551. — πῶς μετρεῖται τὸ ἔλεος; 553.—ἐπὶ ἁμαρτίας τέσσαρες βαθμοί. Γ. 75.— τίς πρὸς θάνατον, καὶ τίς οὔ; Δ. 99. 173. 191. 206. Β. 345. 352.— τίνα εἰσὶ τὰ τῆς ἐπιθυμίας ἁμαρτήματα; Δ. 308. — πότε αἱ ἁμαρτήσαντες προσδέχονται; Γ. 173. — ἐπιτίμιον τοῦ συνεγνωκότος τινὶ τῶν ἁμαρτημάτων καὶ μὴ ὁμολογήσαντος. Γ. 68. Δ. 230. — τίτλος καὶ χρόνος τῶν ἁμαρτημάτων. Δ. 404.—δεῖ ζητεῖν εἰ κατὰ τύχην ἁμαρτία τις ἐγένετο, ἢ ἐκ προνοίας. Α. 200.—ὁ ἐπιμένων τῇ ἁμαρτίᾳ ἀνίατον πάσχει τραῦμα Δ. 242. Ϛ′. 365.

Ἀμασείας ἐπίσκοπος Βασίλειος. Γ. 21.

Ἄμβων, τίσιν ἔξεστιν ἐπ' ἄμβωνος τοὺς θείους λόγους τῷ λαῷ ἀποφωνεῖν; Β. 379. 615. Γ. 185. Δ. 417. Ϛ′. 80. 329.

Ἀμβλωθρίδια, Β. 518. Ϛ.′ 199. — ποινὴ τῶν διδόντων. Β. 518. Ὅρα Ἔκτρωσις.

Ἀμέλεια ἀσύγγνωστος. Β. 176.

Ἀμετανόητος ἐπισπᾷ τὴν τῆς συκῆς κατάραν. Δ. 18.

Ἀμμοῦν, μοναχός. Δ. 13. 67.

Ἄμμων, ἐπίσκοπος. Γ. 625.

Ἀμνός, οὐ δεῖ γράφεσθαι ἀντὶ τοῦ Χριστοῦ. Β. 492. — διατί αἵματι ἀμνοῦ αἱ φλιαὶ τῶν οἴκων τῶν Ἑβραίων ἐχρίοντο; αὐτ.

Ἀμυκλῶν ἐπίσκοπος, Νικόλαος Μουζάλων. Γ. 427.

Ἀμφιάσματος μεταβολὴ πότε ἐπιτιμᾶται. Γ. 109. Ϛ′. 197—ἐξαίρεσις. αὐτ.

Ἀμφιβάλλειν, διαφέρει τοῦ ἐναντιοῦσθαι. Β. 200.

Ἀμφιλόχιος, Ἰκονίου ἐπίσκοπος. Δ. 88. — κανονικὰ αὐτοῦ. Γ. 369.—

Βασιλείου ἐπιστολαὶ πρὸς αὐτόν. Δ. 88. 138. 257.
Ἀμφισβητήσεις κανονικαὶ ἀναφυόμεναι ἐν τῷ Ἰλλυρικῷ. Α. 143.
Ἀναβαπτίζειν, ἀπηγόρευται. Α. 126. Β. 62. 65. Ϛ'. 112. Γ. 375. 419. — τίνες μόνον ἀναβαπτίζονται; Δ. 89. 197. Β. 62. 116 — 187. 189. 529. Γ. 176. Ϛ. 61.
Ἀναγνώστης οὐ γίνεται ἧττων ιη'. ἐτῶν. Α. 66. — κατὰ δὲ τὸ Ἰουστινιάνειον δίκαιον ἱκανὰ τὰ η'. αὐτ.—ὀφφίκια αὐτοῦ. Ε. 440. Ϛ'. 80. 329.—μὴ προσκυνεῖν τῷ δήμῳ. Α. 156. Γ. 342.—ὁ δευτερογαμῶν μὴ προκοπτέτω, μὴ μὴν καὶ τριτογαμείτω. Α. 211. Β. 23. — κυβεύων ἢ μεθύων (ὅρα Κληρικός). — μὴ φορεῖν ὡράριον. Γ. 192. — ἔξεστιν αὐτῷ γαμετὴν λαμβάνειν. 342. —τί ὁ τῇ αὐτοῦ μνηστῇ συναλλάξας; ἢ κλεψιγαμήσας; Β. 33. 251. 339. Γ. 309. 369. Δ. 225.— τί ὁ ἕνεκα πορνείας ἐκβληθεὶς καὶ αὖθις χειροτονηθείς; Δ. 346. — οὐ προκάθηται, οὐδὲ μνημονεύεται πρὸ τῶν ἱερέων. 494. διατί ἡ τάξις αὐτῶν. Β. 316.
Ἀνάδοχος, οὐκ ἄγει εἰς γάμον τὴν ἰδίαν ἀναδεκτὴν, οὐδὲ τὴν ταύτης μητέρα, ἢ θυγατέρα. Α. 303.—οὐδὲ ὁ υἱὸς αὐτοῦ. 304. (ὅρα Γάμος)— οὐ κωλύονται αἱ γυναῖκες ἀναδέχεσθαι ἐκ τοῦ ἁγίου βαπτίσματος τέκνα. Ε. 380.
Ἀνάδυσις, τὸ βάπτισμα διὰ τριῶν — καὶ καταδύσεων. Β. 66. Ϛ'. 113.
Ἀνάθεμα, ὁρισμός. Β. 711. Γ. 97. Ϛ'. 16. 80. — ἀναθεματισμὸς Ναυάτου κτλ. Β. 135. Γ. 100. καὶ ἐπ.—τῶν αἱρέσεων Β. 165.
Ἀνάθημα, Ϛ.' 80.—τελεῖ ὑπὸ ἐπισκοπικὸν δίκαιον. Β. 650.—ὁ δωρούμενος οὐκέτι δεσπόζει. Β. 649. Ὅρα Σκεῦος.
Ἀναίμακτος, ὅρα Θυσία.
Ἀνάκρισις, οὐ κρατεῖ ἐπὶ εὐνούχων. Α. 54.
Ἀναπαλαίω, τί λέγεται. Δ. 29.
Ἀναπίπτειν ἐν ἐκκλησίᾳ ἀπαγορεύεται. Β. 476. Ϛ'. 76.
Ἀνάστασις, τίνι ὥρᾳ γέγονε. Δ. 1. μὴ κλίνειν γόνυ ἐν ταῖς κυριακαῖς. Β. 516.—τριήμερος Β. 515.—περὶ τῶν ἀρνουμένων αὐτήν. αὐτ.
Ἀναστασίου Πάπα Ῥώμης περὶ Δονατιστῶν. Γ. 474. 478.
Ἀνατολή, τίνος ἕνεκα πρὸς ἀνατολὰς εὐχόμεθα; Α. 114. 142. Δ. 283.
Ἀνατόλιος, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως. Β. 286.
Ἀναφορὰ ἁγία. Α. 115. — μὴ γίνεσθαι παρόντων αἱρετικῶν. 120. 268. Δ. 336.
Ἀναχειροτόνησις, ἀπαγορεύεται. Α. 63. Β. 87. Γ. 419. ἐξαίρεσις. Β. 164.
Ἀναγωρητικὸς βίος, Β. 402. — δοκιμασία. 401.
Ἀναψηλάφησις ψήφων ἐπισκόπων. Α. 180.
Ἀνδρόνικος, Παλαιολόγος. Ε. 333. Ϛ. 326.
Ἄνηβος, πότε συγγινώσκεται, καὶ πότε οὔ, καὶ τίς ὁ μετὰ τὴν ἥβην χρόνος ἐστί. Α. 128.

